[9] *τί μετ. om Δ* ‖ [10] *λύσας Φ* ‖ *προσῆλθες E ἦλθες ΔR* ‖ *ὡς om Φ* ‖ *οὐδ' ἂν] οὐ γὰρ Φ* ‖ [10–11] *ὡς ἀλ. - συνθ.] σοι συνθ. ὡς ἀλ. σου μετεγνωκότος* (*Θ*) ‖ [10] *ὡς om Φ: cf mart alt* ‖ [11] *μετεγνῶς Z* ‖ *scr ἔτι: cf laud 348, 10* ‖ *οὐδ' ἂν] οὐ γὰρ Φ* ‖ [11–12] *ἴδ. - σοι] σοι πιστεύσω (π. σοι Γ) ἴδιόν μου σαυτὸν λέγοντά σε* (*Θ*) ‖ [14] *νόμον] οὐδαμῶς Θ: scr ⟨λύεις τὸν . . .⟩ μόνον;? cf laud 348, 14* ‖ *ἔχω] γὰρ add Δ* ‖ *συνήσομαι B*(*Z?*) ‖ *ἀεί] τὸ διηνεκὲς Δ* ‖ [15] *ἄπ.] ἀποίη μοι* (*Φ*) ‖ [16] *ἀπήγομαι Φ: cf 27, 20* ‖ *μοι] μὴ ZΔΓ* ‖ [18] *σου] γὰρ add Θ* ‖ *ἐπιγνούς Θ* ‖ [19] *ἐπιτρέψαντος UVXE (fort recte: cf narr 371, 7) ἐπιγράψαντος A* ‖ *με B*(*Z?*) ‖ [20] *καὶ om Γ* ‖ *πιστεῦσαι Θ* ‖ [20–21] *ἀν. σοι κ. ὑπ. σοι* (*Θ*) ‖ [21–22] *πρὸς τὸ λ. με μόν. ἐλ. Θ* ‖ [22] *μόνω B* ‖ *τοῦ λοιποῦ ΔR* ‖ *ἔνθεν om ΔR*(*E*) ‖ [22–23] *ἐκ τ. στ. τ. om Φ* ‖ [23] *τῷ om Γ* ‖ *καθελέσθω Z κατενεχθῆναι Θ* ‖ [24] *συγγ.] συν ἐμοί (l σύναιμοί??) ZR συνεμοῖ συγκενεῖς B* ‖ *μου om BR* ‖ *ἡμέτερα Θ* ‖ [24–25] *ἐῶντες σὲ Θ* ‖ [25] *ὅπερ Θ* ‖ *ἦν E εἶ ΔR* ‖ *ὃ] οὐ R* ‖ *αὐτὸς om Θ τὰ add R* ‖ [27] *ὑμνῳδίαι R*

in corpore deponi non potero. iam enim regem meum uideo, iam adoro, iam in conspectu eius consisto. et tuis miseriis doleo, quia paratus te expectat aeternus interitus. curre pro te miser dum adhuc potes, ne tunc incipias uelle cum non poteris.

κατενεχθῆναι οὐκ ἀνέχομαι. τὸν γὰρ βασιλέα μου θεωρῶ καὶ προσκυνῶ καὶ λοιπὸν ἐνώπιον αὐτοῦ παρίσταμαι. ἀλλ᾽ ἐκ τῶν σῶν ταλαιπωριῶν πεπόνημαι ὅτι ἡτοίμασταί σοι ἡ αἰώνιος ἀπώλεια. δράμε οὖν ὑπὲρ σεαυτοῦ ταλαίπωρε ἐν ὅσῳ δύνῃ, τότε ἄρξῃ θελῆσαι ὅτε οὐ δυνήσῃ. |

ἔνθα αὐτὸς ὁ μόνος αὐτοκράτωρ βασιλεύει, ἔνθα τὸ φῶς ἄνευ νυκτός ἐστιν, ἔνθα τὰ ἄνθη οὐδέποτε μαραίνονται, ἔνθα οὐδέποτε ὀδύνη γινώσκεται οὐδὲ ὄνομα λύπης ἠκούσθη, ἔνθα εὐφροσύνη καὶ ἀγαλλίασις τέλος οὐκ ἔχουσα. ὦ σταυρὲ μακάριε, χωρὶς τοῦ σοῦ πόθου εἰς ἐκείνην τὴν χώραν οὐδεὶς πρόσεισιν οὐδ᾽ εἰσελεύσεται. ἀλλὰ περὶ τῶν σῶν Αἰγεᾶτα ταλαιπωριῶν ὀδυνῶμαι, διότι ἑτοίμως σε ἐκδέχεται αἰώνιος ἀπώλεια. δράμε ὑπὲρ σεαυτοῦ ἐλεεινὲ ἐν ὅσῳ ἔτι δύνασαι, μή πως τηνικαῦτα ἄρξεις ἐθέλειν ἐν τῷ τότε μὴ δύνασθαί σε.

14 (*Καὶ ὡς πάλιν ἐκεῖνος ἐτόλμα προσεγγίσαι τῷ ξύλῳ τοῦ σταυροῦ ὥστε λῦσαι τὸν μακάριον Ἀνδρέαν, πάσης τῆς πόλεως θορυβούσης | αὐτόν, ὁ ἅγιος Ἀνδρέας* 127 T *μετὰ φωνῆς εἶπεν· Τὸν ἐπὶ τοῦ σοῦ ξύλου δεθέντα Ἀνδρέαν μὴ ἐπιτρέψῃς λυθῆναι πάλιν δέσποτα· τὸν ἐπὶ τοῦ σοῦ μυστηρίου ὄντα μὴ δῷς με ἀναιδεῖ διαβόλῳ. Ἰησοῦ Χριστέ, τὸν ἐπὶ τῆς σῆς χάριτος κρεμασθέντα ὁ ἀντίδικός σου μὴ λυέτω με· πάτερ, τὸν ἐγνωκότα σου*

---

[2] iam ad. *om PQR* ‖ eius consp. *XΞV* ‖ adsisto *S* ubi sunt angelorum cori (concordiae *X*) ubique solus imperator regnat ubi lux sine nocte est ubi flores nunquam marcescunt ubi dolor nunquam scitur (nascitur *X*) nec nomen tristiciae auditum est (auditur *X*) ubi leticia et exultatio finem non habent o crux beata sine amore tuo ad illam regionem nullus adtingit nullus ingreditur *add XS* ‖ et] sed *XUNau* (*recte ut uid*) *om S* ‖ tuis] de tuis *mXNauSTV* egea *add XS* ‖ [3] exp. te *PQRU* ‖ [3–4] pro te *om P(Q)R* ‖ [4] p. adh. *QRUV* ‖ poteris] potes *MQT* (ri *sup scr mq*): *cf 30, 2*

[5] *οὐ θέλω O* ‖ [7] *αἰωνία YM: cf 18, 15* ‖ [8] *δύνῃ] ἵνα μὴ add Woog: malim δύνῃ <μὴ>* ‖ [9] *ἄρξαι θελήσεις O*

[10] *μόνος ὁ (Θ)* ‖ [11] *ὑπάρχει Θ* ‖ [11–12] *ὀδ. οὐδ. (Θ)* ‖ [12] *ἠκ. ὄν. λ. (Θ)* ‖ [14–15] *πρ. οὐδ᾽ om Θ* ‖ [15] *οὐδ᾽] scr οὐδεὶς? cf lat S* ‖ *εἰσπορεύεται Θ* ‖ [16] *ἕτοιμος AVUE* ‖ *αἰωνία Δ* ‖ *δράμε] οὖν add Θ* ‖ [17–18] *μή - σε om Γ* ‖ *τηνικ. - σε] τότε θελήσῃς ὅτε οὐ δύνασαι Δ* ‖ [18] *ἄρξει θέλειν Z (?)* ‖ *del τότε?* ‖ [19] *κ. ὡς π.] ὡς οὖν Θ* ‖ [19–20] *πρ. τῷ τ. στ. ξ. R τῷ τ. στ. ξ. πρ. ΔE* ‖ [20] *del τοῦ σταυροῦ?* ‖ *Ἀ. om Φ* ‖ [21] *π. τ. π.] τ. π. ὅλης Φ: cf narr 371, 13 et mart alt* ‖ [22] *φ.] μεγάλης add V (R Tischendorf): cf 23, 29* ‖ *τοῦ σοῦ om B: cf narr 371, 16 et mart alt* ‖ [23] *Ἀ. del?* ‖ *ἐπιστρέψεις B: cf narr 371, 15 et mart alt* ‖ *πάλιν om AΓ* ‖ *δέσπ. om Γ* ‖ [23–24] *τὸν - ὄντα om Φ* ‖ [24] *με om X: del? cf 22; 26; 32, 17 narr 371, 16; 17* ‖ [26] *σου] μου Δ* ‖ *με om R: del? cf 24*

14 Mittentes autem manus ad crucem carnifices non poterant penitus contingere eum. et subinde alii et alii ingerentes se ut soluerent eum nullus poterat pertingere ad eum. stupebant enim brachia eorum quicumque se extendissent ad sol-

127 T 14 *Βάλλοντες δὲ τὰς χεῖρας ἐν τῷ σταυρῷ οἱ ὑπηρέται οὐκ ἠδύναντο φθάσαι αὐτόν. καὶ ἐκ τῶν ἐκεῖσε ἕτεροι ἠγωνίων τοῦ λῦσαι αὐτόν, καὶ οὐδεὶς ἠδύνατο φθάσαι πρὸς αὐτόν. ἐξητόνουν γὰρ οἱ βραχίονες τῶν τεινομένων τοῦ λῦσαι αὐτόν. τότε*

τὸ μέγεθος ὁ μικρὸς οὗτος μηκέτι ταπεινούτω.) *Βαλόντες οὖν τὰς χεῖρας οἱ δήμιοι οὐκ ἠδύναντο τὸ παράπαν καθάψασθαι αὐτοῦ. καὶ ἄλλοι μὲν καὶ ἄλλοι ἐπιτηδεύοντες τοῦ λῦσαι αὐτόν, οὐδεὶς ἠδύνατο προσψαῦσαι αὐτοῦ· ἐναρκίων γὰρ οἱ βραχίονες αὐτῶν. τότε ὁ μακάριος Ἀνδρέας ὁ ἀπόστολος ὁρκίσας τὸν λαὸν εἶπεν· Δυσωπῶ ὑμᾶς ἀδελφοὶ ἵνα πρῶτον πρὸς τὸν κύριόν μου μίαν εὐχὴν ποιήσω· εἶθ' οὕτως με λῦσαι ἐπιτηδεύσατε. Αὐτοῦ μὲν αὐτοὺς ἐνορκίσαντος ἠρέμησεν ὁ λαός. τότε ὁ μακαριώτατος Ἀνδρέας σὺν μεγίστῃ κραυγῇ εἶπεν· Μὴ παραχωρήσῃς κύριε τὸν σὸν θεράποντα ἐκ ταύτης τῆς ὥρας ἀπὸ σοῦ χωρισθῆναι· καιρὸς γάρ ἐστιν ἵνα παραθήσω τῇ γῇ τὸ σῶμά μου· κἀμὲ πρὸς σὲ ἐλθεῖν πρόσταξον ὁ ζωὴν διδοὺς αἰώνιον, σὺ ὁ διδάσκαλός μου ὃν ἠγάπησα, ὃν ἐθεασάμην, ᾧ ἠκολούθησα, ὃν ἐπέγνων, ὃν ἐν τούτῳ τῷ σταυρῷ καθομολογῶ (ὃν οἶδα, ὃν ἔχω, ὃν φιλῶ, οὗ εἰμι·)* *δέξαι με δέσποτα, καὶ καθὼς ἐγώ σοι ἑνὶ λόγῳ ἐπήκουσα, οὕτως ἄρτι ἐν τούτῳ τῷ λόγῳ ἐπάκουσόν μου, καὶ πρὶν ἢ τὸ σῶμά μου ἀπὸ τοῦ σταυροῦ |*
128 T *καταβῇ προσλαβοῦ με, (ὅπως διὰ τῆς ἐμῆς ἐξόδου τῆς ἐπὶ σὲ ἡ τῶν πολλῶν μου συγγενῶν σύνοδος πρὸς σὲ γένηται,*

---

[1] carn. ad cr. *ΞXSU* ‖ [2] et alii] ////alii *M* (atque *in ras m*) atque alii *XΞU* ‖ [3–4] ut - se *om Q* ‖ [3] s. eum] et *add M* (*sed eras*) *Nau* ‖ [4] extendisset *Π*(*Q*)*ST* ‖ exsoluendum *EST*

[5] *βαλόντες Γ* ‖ [6–7] *αὐτὸν - φθάσαι om Y* ‖ [6]–34,[8] *κ. ἐκ - αὐτῷ] ἐξίστατο δὲ O* ‖ [6] *ἕτεροι ⟨καὶ ἕτεροι⟩?* ‖ *ἠγωνίουν S* ‖ [7] *ἐδύνατο M* ‖ *πρὸς in mg Y om S* ‖ [8] *τενομένων MS*

[9] *οὗτος om Θ* ‖ *βαλλόντες ΦΑ βάλλοντες VΓ*(?) ‖ [10] *προσψαῦσαι Θ* ‖ [11] *κ. ἄ. μ.] ἄ. οὖν Θ* ‖ *ἐπιτήδευον AE ἐπετήδευον UVXR* ‖ *αὐτόν] καὶ add Θ fort recte: cf lat M Nau* ‖ [12] *οὐδ.] ὅλως add Θ* ‖ *προσεγγίσαι Θ* ‖ *αὐτῷ ΔR* ‖ *ἐναρκίουν UVX ἐνάρκουν AE ἐναρκοῦντο R* ‖ [13] *ὁ ἀπ. om ΦR* ‖ *ἐνορκωσάμενος Θ: scr ἐνορκίσας? cf 16* ‖ [14–15] *ἵνα - ποι.] παραχωρῆσαί (-σατε Γ) μοι μικρὸν πρότερον μίαν εὐχὴν προσενέγκαι τῷ κυρίῳ μου ἰησοῦ χριστῷ καὶ (Θ)* ‖ [15] *ἐπιτηδεῦσαι (-σατε Γ) τοῦ λ. με (Θ)* ‖ [16] *αὐτοῦ - ὁ λ.] πᾶς οὖν ὁ λαὸς διὰ τὸν ὅρκον ἡσύχασεν (Θ)* ‖ [17] *μακάριος Θ* ‖ *μὴ] με add UVΓ: cf 31, 24* ‖ [19] *παραθ.] ἀποδοδῇ (Θ)* ‖ [20] *προστάξεις (Θ)* ‖ [21] *σὺ] εἶ add XR* ‖ *ὃν ἠγ. post καθομ. (22) Φ* ‖ [22] *καθομολόγησα Φ* ‖ [23] *ὃν φ. om Θ* ‖ *οὗ] σοῦ B(Z?)* ‖ *δέσπ. om Φ* ‖ [24] *ἐγώ om ΦE* ‖ *ἑ. λ. σοι ὑπήκουσα (ἐπ. E) (Θ)* ‖ [25] *ἀπὸ] ἐκ Θ* ‖ [26] *κατενεχθῇ Θ* ‖ *με] πρὸς σὲ add Θ* ‖ [26–27] *τῆς ἐ. σὲ om Θ* ‖ [27] *γέν.] ἐπιστρέψει Φ*

uendum eum. tunc uoce magna sanctus Andreas dixit: Domine Iesu Christe, magister bone, iube me de ista cruce non deponi nisi ante spiritum meum susceperis. Et cum haec dixisset, uidentibus cunctis splendor nimius sicut fulgor de caelo ueniens

φωνῇ μεγάλῃ ὁ ἅγιος Ἀνδρέας εἶπεν· Κύριε Ἰησοῦ Χριστέ, διδάσκαλε ἀγαθέ, μὴ ἐάσῃς με ἐκ τοῦ σταυροῦ τούτου κατελ-
θεῖν πρὸ τοῦ τὸ πνεῦμά μου δέξῃ. | Καὶ ταῦτα εἰπὼν βλεπόν- 128 T
των πάντων ἀπαύγασμα ὥσπερ ἀστραπὴ ἐκ τοῦ οὐρανοῦ ἐλθὸν οὕτως ἐκύκλωσεν αὐτὸν ὥστε ἐξαίφνης ἐξ αὐτοῦ τοῦ φωτὸς οἱ

ἀναπαυομένων αὐτῶν ἐν τῇ σῇ μεγαλειότητι.) *Καὶ ὡς ταῦτα εἰρήκει, ὁρώντων πάντων ἐγένετο χαίρων καὶ ἀγαλλιώμενος· λαμπηδὼν γὰρ σφοδροτάτη ὡς ἀστραπὴ ἐκ τοῦ οὐρανοῦ ἐξελθοῦσα κατηύγασεν αὐτόν, καὶ οὕτως αὐτὸν περιεκύκλωσεν*

---

[1] eum] tunc ipse beatus apostolus adiurauit (adiurans *X*) populum dicens (dixit *X*) oro uos omnes fratres ut prius unam orationem ad dominum nostrum fundam et ita me solui patiamini (patiemini *X*) eo quoque adiurante adquieuit plebs *add XS* ‖ tunc - dixit *in mg D* ‖ u. m. s. A.] beatus andreas apostolus cum ingenti clamore *XS* ‖ dixit] ne permittas (ne p. *om DV*) domine iesu christe (magister bone *add DV*) me famulum tuum qui propter nomen tuum pendeo in cruce solui (non permittas *add DV* domine iam secreta tua humanis tradidi conuersationibus *praeterea add V*) nec (non *V* ne me *D*) permittas (domine *add DV*) eum (me *V*) qui (quia *V*) iam per crucem tuam cognouit (cognoui *DV*) magnitudinem tuam ab aegea homine corruptibili (a te *add D*) humiliari (separari *D*) sed suscipe me tu magister meus iesu (*om Nau*) christe quem dilexi quem uidi (q. u. *om Nau*) quem cognoui (quem retineo *add in mg V*) quem confiteor (confessus sum *D*) quem retineo (q. r. *om NauV*) quem cernere desidero in quo sum quod sum (in - sum *om D*) suscipe domine iesu christe (d. i. ch. *om D*) spiritum meum in pace quia iam tempus est (*om V*) ut (commendes terrae corpus meum iam tempus est ut *sup scr D*) ueniam ad te (ad te *om NauV*) desiderans te uidere suscipe me (s. me *om D*) *add DNauV* ‖ [1–3] domine - suscep. *om S* ‖ [1–2] dom. - bone *om Ξ* ‖ dom. I. Ch. *om Q* ‖ [2] iube] et iube *DNauV* ‖ [3] ante] prius *Nau* ‖ suscep.] non me permittas (neque p. me *X*) domine famulum tuum ex hac hora a te separari tempus enim est ut commendes terrae corpus meum et me ad te uenire praecipias qui uitam (uiam *S corr s*) tribuis sempiternam tu es magister meus domine (christus *S*) quem dilexi quem uidi quem secutus sum quem cognoui quem in ista cruce confiteor et sicut ego te uno uerbo audiui sic modo in isto uerbo me exaudi (ex. me *X*) et antequam corpus meum de cruce soluatur adsume me *add XS* ‖ [4] uen.] emicuit et *add XS*

[6] *ἐκ] ἀπὸ S: cf 30, 7* ‖ [8] *διελθοῦσα S* ‖ [9] *ἐξαίφ. om YS*

[10] *αὐτ. om Θ* ‖ *κ. ὡς] ὡς οὖν Θ* ‖ [11] *εἴρηκεν Θ* ‖ [12] *ὡς ἀ. om ΦR* ‖ [13] *ἐλθοῦσα Θ* ‖ *καὶ - περιεκ. om Φ*

ita circumdedit eum ut penitus prae ipso splendore oculi eum non possent humani aspicere. cumque permansisset splendor fere dimidiae horae spatio, abscedente lumine emisit spiritum, simul cum ipso lumine pergens ad dominum, cui est gloria in saecula saeculorum.

ὀφθαλμοὶ τῶν ἀνθρώπων μὴ δύνασθαι ἀτενίσαι, ὡς ἐπέμενεν ἡ ἔλλαμψις ἐκείνη ἐπὶ ἡμιωρίου διαστήματος· ὑποχωροῦντος δὲ αὐτοῦ ἀφῆκε τὸ πνεῦμα σὺν αὐτῷ τῷ φωτὶ πορευόμενος πρὸς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν. |

ὥστε τὸ παράπαν ἐκ τῆς τοιαύτης λαμπρότητος ὀφθαλμοὶ ἀνθρώπινοι μὴ δύνασθαι αὐτῷ προσβλέψαι. ὡς δὲ διέμεινεν ἡ αἴγλη ὡς ἡμιωρίου διάστημα, ὑποχωροῦντος τοῦ φωτὸς δοξάσας ἐπὶ πλεῖον τὸν κύριον παρέδωκε τὸ πνεῦμα, καὶ ἅμα σὺν αὐτῇ τῇ λαμπηδόνι ᾤχετο πρὸς κύριον **(***σὺν τῇ εὐχαριστίᾳ αὐτοῦ***)**.|

[1-2] hum. e. n. poss. *S* ‖ [2] hum. n. poss. *Nau* ‖ [3] mediae *M* de medie *P* ‖ [4-5] cui - saeculorum *om XSV* ‖ [4] est *om PQ* honor et *add NauT* ‖ [5] s. saec.] amen *add MNauR* tunc (quaedam uero femina nomine *Nau*) maximilla quaedam (*om Nau*) potentissima *(om NauX)* matronarum (senatrix *Nau*) in specu (spelaeo *S*? speculis *X*) posita (diligens pudicitiam et sanctitatem *add Nau*) statim ut cognouit apostolum perrexisse ad dominum accessit ad crucem et suorum solacio cum omni reuerentia deposuit corpus et condiuit (condidit *U*) aromatibus (et c. a. *om X*) et in loco quo se constituerat sepeliendam illic eum sepeliuit *add XNauSU* postea quaedam maximilla senatrix diligens pudicitiam et sanctitatem cum reuerentia tollens corpus beati andree apostoli et conditum aromatibus in loco optimo sepeliuit *add V* (*alia e Greg Tur mir b And c 37 add v*) tunc maximilla christo amabilis matrona colligens corpusculum apostoli ac conditum aromatibus optimo in loco sepeliuit *add R*

[6] *μὴ] οὐ S* ‖ *scr ὡς <δὲ> ἐπέμεινεν??* ‖ [7] *scr διάστημα?* ‖ [8] *πορευόμενον Γ* ‖ *εἰς Γ* ‖ [9-10] *ᾧ - ἀμήν om O* ‖ [9] *κ. τὸ κρ. om YM* ‖ [10] *τῶν αἰ. om S*

[11-12] *μὴ δύν. ὀφθαλμοὺς ἀνθρωπίνους Θ* ‖ [12] *προσβλ. α. (Θ) α. προσεγγίσαι ἢ καὶ προσβλ. (Φ)* ‖ *ὡς δὲ διέμ.] διέμ. οὖν (Θ)* ‖ [13-14] *ὑπ. - κύρ.] ταῦτα δὲ αὐτοῦ εἰπόντος καὶ τ. κύρ. ἐ. πλ. δοξάσαντος ὑπ. τ. φ. ἐκείνου (Θ)* ‖ [13] *ὑποχωριζομένου Φ* ‖ [14] *ἅμα om Θ* ‖ [15] *τῇ om Φ* ‖ *πρὸς] τὸν add B(Z?): cf 35, 11* ‖ *σὺν] ἐπὶ (Z??) Θ: cf 57, 4*

15 Aegeas uero areptus a daemonio antequam perueniret ad domum suam in uia in conspectu omnium a daemonio uexatus exspirauit. frater uero eius tenens corpus sancti An-

15 *Ὁ οὖν Αἰγέας ληφθεὶς ὑπὸ δαίμονος πρὸ τοῦ φθάσαι* 129 T
εἰς τὸν οἶκον αὐτοῦ | ἐν τῇ ὁδῷ ἐνώπιον πάντων ῥαγεὶς ἐξέ- 130 T
πνευσεν· ὁ δὲ ἀδελφὸς αὐτοῦ κρατῶν τὸ σῶμα τοῦ ἁγίου Ἀνδρέου διέλαθεν. τοσοῦτος δὲ φόβος κατέσχεν ἅπαντας ὥστε

15 **(***Μετὰ δὲ τὴν ἔξοδον τοῦ μακαριωτάτου Ἀνδρέου* 129 T
*τοῦ ἀποστόλου ἡ***)** *Μαξιμίλλα, δυνατωτάτη οὖσα τῶν ἐπισήμων θηλειῶν καὶ ἐν τοῖς λεληθόσιν διάγουσα, παραυτίκα ὡς ἔμαθεν τὸν ἀπόστολον τοῦ Χριστοῦ πρὸς κύριον πορευθέντα, πρόσεισι τῷ σταυρῷ* **(***ἅμα σὺν τῷ Στρατοκλεῖ, μηδὲ ὅλως φροντίσασα τῶν παρεστώτων***)**, *καὶ μετὰ πάσης εὐλαβείας καθεῖλεν τὸ σῶμα* **(***τοῦ μακαριωτάτου Ἀνδρέου. καὶ ὀψίας γενομένης τὴν ἀναγκαίαν αὐτῷ ἐπιμέλειαν προσαγαγοῦσα ἐκήδευσεν***)** *ἀρώμασιν πολυτίμοις, καὶ ἐν τῷ τόπῳ ἐν ᾧ αὐτοὶ κατεστήσαντο θάπτεσθαι ἐκεῖ αὐτὸν κατέθετο.* **(***καὶ γὰρ κεχωρισμένη τοῦ Αἰγεάτου διὰ τὴν θηριώδη αὐτοῦ ψυχὴν καὶ ἄνομον πολιτείαν, ἑλομένη δὲ βίον σεμνὸν καὶ ἤρεμον καὶ τὴν τοῦ Χριστοῦ ἀγάπην κεχορηγημένη, μακαρίως ἅμα τοῖς ἀδελφοῖς διῆγεν. ἣν πολλὰ λιπαρήσας ὁ Αἰγεάτης καὶ ὑποσχόμενος τῶν πραγμάτων αὐτοῦ δεσπόζειν αὐτὴν καὶ μὴ δυνηθεὶς αὐτὴν πεῖσαι***)** *μεγάλως ὀργισθεὶς κατὰ παντὸς τοῦ δήμου διετίθετο διαμαρ-*

[1–3] areptus - uexatus] iratus contra populum disponebat contestationem publicam facere et ad caesarem accusationem contra maximillam et populum destinare sed dum (cum *XU*) ordinat in conspectu officii sui a diabolo arreptus (arr. a d. *U*) est et in medio foro ciuitatis uolutatus *X*) *Nau SU V* ‖ [1] a *om M: cf 2* ‖ ueniret *RQT* uenisset *P* ‖ [2] a *om M: cf 1* ‖ [3]–36,[1] frater - euasit] nuntiatum (nuntiatumque *VX*) est (autem *add S*) fratri eius cui nomen erat stratocles et misit seruos suos dixitque (et

[4] *ὁ ο. Α.] ἐγέας δὲ S* ‖ [4–5] *πρὸ - ὁδῷ om O* ‖ [6] *αὐτοῦ] στρατόκλεις add O* ‖ *κρ.] ἐπάρας Γ*

[8] *μακαρίου τούτου V μακαρίου R* ‖ [10] *τῷ λεληθότι R τοῖς ἐληλυθόσιν Φ* ‖ [11] *τ. Χρ. om Δ* ‖ *πορ.] παραγενομένη add (Θ)* ‖ [12] *σὺν] καὶ Γ om Δ* ‖ *μηδὲν Θ* ‖ [12–13] *τ. παρ. φρ. Δ* ‖ [13] *παρ.] αὐτῇ add ΦΕ* ‖ *μ. π.] μετ' (Θ)* ‖ [14] *μακαρίου R* ‖ *Ἀ.] ἀποστόλου ΑΧ τοῦ ἀποστόλου add UV ἀπὸ τοῦ σταυροῦ add Θ* ‖ *κ. ὀψ.] ὀψ. δὲ Θ* ‖ *γεναμένης B(Z?)R* ‖ [15] *ποιήσασα (Γ)* ‖ [16] *μετὰ ἀρωμάτων πολυτίμων Θ* ‖ [16–17] *τόπῳ - κατέθ.] ἰδίῳ αὐτῆς κατέθ. μνήματι (Θ)* ‖ *scr αὐτὴ κατεστήσατο?* ‖ [17] *κατέθεντο Φ* ‖ *καὶ] ἦν (Θ)* ‖ [18] *ψ.] γνώμην Θ* ‖ [19] *καὶ] τὴν add B(Z?)* ‖ *ἀνόσιον Φ: cf 28, 21* ‖ *ἑλομένης B* ‖ *ἤρ.] ἡσύχιον Δ* ‖ [20] *τῇ τ. χρ. ἀγάπῃ κεκολλημένη Θ* ‖ [21] *λιπ.] λίαν παρήσας Φ* ‖ [23] *κ. μὴ δ.] μὴ δ. δὲ (Θ)* ‖ *α. π. om B(Z?)* ‖ [24] *ὀργίσθη et add καὶ Φ* ‖ [24]–36,[6] *διετ. - κατηγ.] κατηγ. δημοσ. (Θ)*

dreae euasit. tantus autem timor inuasit uniuersos ut nullus remaneret qui non crederet saluatori nostro deo, qui uult omnes

μηδένα ἀπομεῖναι τὸν μὴ πιστεύσαντα τῷ κυρίῳ καὶ σωτῆρι ἡμῶν Ἰησοῦ Χριστῷ τῷ θέλοντι πάντας ἀνθρώπους σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν.

τυρίαν ποιῆσαι δημοσίαν καὶ πρὸς Καίσαρα κατηγορίαν κατά τε τῆς Μαξιμίλλης καὶ τοῦ λαοῦ πέμψαι. ἀλλὰ τὸν ἐν τῷ διατάσσεσθαι αὐτὸν ταῦτα κατενώπιον τῆς τάξεως αὐτοῦ,
130 T *(νυκτός τε ἀωρίᾳ | ἀναστὰς καὶ διαλαθὼν πάντας τοὺς αὐτοῦ) καὶ ὑπὸ τοῦ διαβόλου ἐνοχληθεὶς (ἀπὸ ὕψους μεγάλου κατενεχθεὶς) ἐν μέσῃ τῇ ἀγορᾷ τῆς πόλεως κυλιόμενος ἐξέπνευσεν. ἀνηγγέλθη δὲ τοῦτο τῷ ἀδελφῷ αὐτοῦ Στρατοκλεῖ, καὶ ἀπέστειλεν τοὺς παῖδας αὐτοῦ εἰρηκὼς αὐτοῖς ὅπως μεταξὺ τῶν βιοθανάτων θάψωσιν αὐτόν. αὐτὸς δὲ ἐκ τῆς ὑπάρξεως αὐτοῦ οὐδὲν ἐζήτησεν, λέγων· Μή μοι παραχωρησάτω ὁ κύριός μου Ἰησοῦς Χριστός, ᾧτινι πεπίστευκα, ἵνα ἐγὼ ἐκ τῶν ἀγαθῶν τοῦ ἀδελφοῦ μου τί ποτε καθάψωμαι, μή πως μολύνῃ με τὸ κατάκριμα αὐτοῦ, ὅστις τὸν ἀπόστολον τοῦ κυρίου ἐτόλμησεν ὑπὲρ φιλαργυρίας ἀνελεῖν.*

[2] Tim 1, 2, 4

---

dixit *X*) eis (*om U*) ut inter biothanatos sepelirent eum ipse autem de facultatibus eius nihil quaesiuit dicens non mihi permittat dominus meus iesus christus cui credidi ut ego de bonis fratris mei (*om U*) aliquid contingam ne polluat me crimen eius quia (qui *X*) apostolum domini ausus fuit pro amore pecuniae occidere haec autem gesta sunt apud achaiam (achiam *S*) prouinciam (in *add XV*) ciuitatem (ciuitate *XSV*) patras pridie kalendas decembris ubi etiam praestantur gloriosa eius (*om U*) beneficia usque in praesentem (sempiternum *U*) diem *XNauSUV* ‖ 35,[3] autem *Ξ* ‖ eius] stratocles *add D* ‖ 36,[1] euasit] et cum haec uidisset nihil de fratris sui aegeae substantia contingere uoluit dicens quae tua sunt aegea tecum pergant mihi uero sufficit unus dominus iesus christus quem per famulum eius andream cognoui postea quaedam maximilla senatrix diligens pudicitiam et sanctitatem beati andreae apostoli tulit corpus eius et conditum aromatibus optimo in loco sepeliuit *add D* ‖ uniu.] omnes *Nau* ‖ nullus] ibi *add Ξ* ‖ [2] crederit *M* credit (*corr* credidisset) *P* ‖ deo] iesu christo *Ξ* ‖ omnes] homines *add MXE*(*R*)*UV*: *recte ut uid*

[3] *τῶν O* ‖ *πιστευσάντων O* ‖ [3–4] *καὶ - Χρ. om O*

[7] *καὶ] παντὸς add (Z??) Θ* ‖ *πέμψαι] πρὸς καίσαρα ἀποστεῖλαι ἐπηγγείλατο (Θ)* ‖ *ἀ. τ. ἐν] ἐν δὲ Θ* ‖ *τὸν] scr τοι?? del?* ‖ [8] *ταῦτα διατ. α. Θ* ‖ [9] *τε om Θ* ‖ *λαθὼν B (Z?)* ‖ [10] *καὶ om Θ* ‖ *τ. δ.] δαίμονος R* ‖ *ἀπὸ] ὑπὸ B(Z?)* ‖ [11] *κατεαγεὶς Φ κατηνέχθη καὶ Δ (om E)* ‖ [12] *τῷ ἀδ. α.] το τοῦ ἀδελφός B* ‖ [13] *εἰρ. α.] λέγων B(Z?)* ‖ [14] *αὐτ. θ. AUX(Γ)* ‖ [15] *παρ.] μοι add B(Z?)* ‖ [17] *ἅψωμαι (Θ)* ‖ *μή π.] ἵνα μὴ Θ* ‖ [18] *κρίμα Γ* ‖ [19] *διὰ φιλαργυρίαν (Θ)*

saluos fieri et ad agnitionem ueritatis uenire. ipsi gloria in saecula saeculorum. amen.

Τελεῖται δὲ ἡ ἡμέρα τῆς ἀθλήσεως τοῦ ἁγίου ἀποστόλου Ἀνδρέου πρὸ μιᾶς καλανδῶν δεκεμβρίου βασιλεύοντος τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Ταῦτα δὲ ἐπράχθη ἐν τῇ Ἀχαΐᾳ τῇ ἐπαρχίᾳ τῆς πόλεως Πάτρας πρὸ μιᾶς καλανδῶν δεκεμβρίων· ὅπου εὐεργεσίαι παρέχονται μέχρι τῆς σήμερον ἡμέρας εἰς δόξαν καὶ ἔπαινον τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

---

2 amen] explicit passio sancti andreae apostoli *add NauT*

3 *ἡ om M* ‖ *τελειώσεως O* ‖ 3–4 *τοῦ - Ἀ.] αὐτοῦ O* ‖ 4 *πρὸ - δ.] μηνὶ νοεμβρίω λ′ O εἰς τὰ τριάκοντα τοῦ μηνὸς νοεμβρίου S* ‖ 5 *κ. τὸ κρ. om O* ‖ 6 *τῶν αἰ. om O* ‖ *ἀμήν] Μαρτύριον τοῦ ἁγίου ἀποστόλου ἀνδρέου μηνὶ (νο?)εμβρίω λ′ add Y*

7–8 *τ. (om δὲ) ἐπρ. ἐν τῇ ἐπ. τῆς ἀχαίας εἰς πάτ. τὴν πόλιν (Θ)* ‖ 8 *ὅπου ε. π.] ἐν ῷ γίνονται ἰάματα Φ ἔνθα ἰάσεις τελοῦνται R* ‖ 10 *κυρ. - δόξα] θεοῦ καὶ πατρὸς ἅμα τῷ μονογενεῖ αὐτοῦ υἱῷ κυρίω δὲ ἡμῶν ἰησοῦ χριστῷ σὺν τῷ παναγίω καὶ ἀγαθῷ καὶ ζωοποιῷ πνεύματι νῦν καὶ ἀεὶ καὶ (Θ)*

Ex actis Andreae.

1 ... περὶ ὑμᾶς τὸ πᾶν τῆς ἀτονίας ἐστίν; οὔπω ἐλέγχεσθε ὑφ᾽ ἑαυτῶν μηδέπω φέροντες τὴν ἐκείνου χρηστότητα; αἰδεσθῶμεν, συνησθῶμεν ἑαυτοῖς ἐπὶ τῇ ἐκείνου ἀφθόνῳ κοινωνίᾳ. εἴπωμεν ἑαυτοῖς· Μακάριον ἡμῶν τὸ γένος, ὑπὸ τίνος ἠγάπηται; μακαρία ἡμῶν ἡ ὕπαρξις, ὑπὸ τίνος ἠλέηται; οὐκ ἐσμέν τινες χαμαιρριφεῖς, ὑπὸ τοιούτου ὕψους γνωρισθέντες· οὐκ ἐσμὲν χρόνου, εἶτα ὑπὸ χρόνου λυόμενοι· οὐκ ἐσμὲν κινήσεως τέχνη, πάλιν ὑφ᾽ ἑαυτῆς ἀφανιζομένη, οὐδὲ γενέσεως αἰτία, εἰς αὐτὸ τελευτῶντες. ἐσμέν τινες ἄρα μεγέθους ἐπίβουλοι. ἐσμὲν ἴδιοι, καὶ τάχα τοῦ ἐλεοῦντος. ἐσμὲν τοῦ κρείττονος· διὰ τοῦτο ἀπὸ τοῦ χείρονος φεύγομεν. ἐσμὲν τοῦ καλοῦ, δι᾽ ὃν τὸ αἰσχρὸν ἀπωθούμενα· τοῦ δικαίου, δι᾽ οὗ τὸ ἄδικον ῥίπτομεν· τοῦ ἐλεήμονος, δι᾽ οὗ τὸν ἀνελεήμονα ἀφίεμεν· τοῦ σῴζοντος, δι᾽ οὗ τὸν ἀπολλύντα ἐγνωρίσαμεν· τοῦ φωτός, δι᾽ οὗ τὸ σκότος ἐρρίψαμεν· τοῦ ἑνός, δι᾽ οὗ τὰ πολλὰ ἀπεστράμμεθα· τοῦ ὑπερουρανίου, δι᾽ οὗ τὰ ἐπίγεια ἐμάθομεν· τοῦ μένοντος, δι᾽ οὗ τὰ μένοντα εἴδομεν· ἄξιον εὐχαριστίαν ἢ παρρησίαν ἢ ὕμνον ἢ καύχημα προελόμενοι εἰπεῖν εἰς τὸν ἐλεήσαντα ἡμᾶς θεὸν ἀλλ᾽ ἢ γνωρισθῆναι ὑπ᾽ αὐτοῦ.

2 Καὶ ὁμιλήσας τοῖς ἀδελφοῖς τὰ τοιαῦτα ἀπεπέμψατο ἕκαστον εἰς τὰ ἴδια εἰπὼν αὐτοῖς· Οὔτε ὑμεῖς ἐμοῦ ἀπολείπεσθέ ποτε ὅλως δοῦλοι τοῦ Χριστοῦ διὰ τὴν ἐν αὐτῷ ἀγάπην· οὐδ᾽ αὖ πάλιν αὐτὸς ἀπολειφθήσομαι ὑμῶν διὰ τὴν ἐκείνου μεσιτείαν. Καὶ ἀπηλλάγη ἕκαστος εἰς τὰ αὐτοῦ. καὶ ἦν ἡ τοιαύτη ἀγαλλίασις αὐτῶν ἐπὶ ἡμέρας ἱκανὰς γενομένη, ἐν αἷς οὐκ ἔσχεν ὁ Αἰγεάτης ἔννοιαν ἐπεξελθεῖν τὴν κατὰ τὸν ἀπόστολον

V Vatic gr 808 s X aut XI

[7] *scr* τοσούτου?? ‖ [8] ἐ. χρόνου ⟨ποίημα⟩ *uel* ⟨ἔκγονοι⟩?? ‖ [9] γ. αἰτ. *num sana?* ‖ [10] ἐπίβουλοι, ⟨...⟩? ‖ [12] *scr* οὗ? *cf 13 ss* ‖ [13] *scr* ἀπωθούμεθα ‖ [18] ⟨μὴ⟩ μένοντα? *cf 17* ‖ [18–20] *uidetur aliquid deesse* ‖ [26] *scr* γινομένη?

αἰτίαν. ἐστηρίζοντο οὖν ἕκαστος τότε ἐπὶ τὴν τοῦ κυρίου ἐλπίδα· καὶ συλλεγόμενοι πάντες ἀφόβως εἰς τὸ δεσμωτήριον ἅμα τῇ Μαξιμίλλῃ καὶ Ἰφιδάμᾳ καὶ τοῖς λοιποῖς ἀδιαλείπτως ἔχουσιν περισκεπτόμενοι τῇ περιβολῇ καὶ χάριτι τοῦ κυρίου.

3 Καὶ ὁ Αἰγεάτης δικάζων ἡμέρᾳ μιᾷ εἰς ὑπόμνησιν ἔσχεν τὴν περὶ τὸν Ἀνδρέαν χρείαν· καὶ ὥσπερ τις ἐμμανὴς γενόμενος ἀφίησιν ἣν ἐν χερσὶν δίκην ἔσχεν, καὶ ἀνίσταται τοῦ βήματος, καὶ δρομαίως παραγίνεται εἰς τὸ πραιτώριον, ἐμβράσσων τῇ Μαξιμίλλῃ καὶ κολακεύων. ἡ δὲ Μαξιμίλλα ἐφθάκει αὐτὸν ἀπὸ τοῦ δεσμωτηρίου εἰσβάλλουσα τῇ οἰκίᾳ· καὶ εἰσελθὼν πρὸς αὐτὴν ἔλεγεν·

4 Ἄξιον θεώμενοι οἱ σοὶ γονεῖς Μαξιμίλλα τῆς συμβιώσεώς σου κατηγγύησάν μοι τὸν σὸν γαμβρόν, μήτε πρὸς πλοῦτον ἀπιδόντες μήτε πρὸς γένος μήτε πρὸς δόξαν, ἀλλὰ τάχα πρὸς τὸ τῆς ψυχῆς μου εὔγνωμον. καὶ ἵνα πολλὰ ὧν ἐβουλόμην εἰς ὄνειδός σου ἐκφέρειν, ὧν τε ἐγὼ ὑπὸ τῶν γονέων σου ἔπαθον ὧν τε αὐτὴ ὑπ᾽ ἐμοῦ ἐν τῷ παντὶ ἡμῶν βίῳ, ἓν τοῦτο μόνον ἥκω παρὰ σοῦ μαθεῖν τὸ δικαστήριον συνετῶς· εἰ μὲν εἴης ἐκείνη ὁποία ἦσθα πάλαι, συμβιοῦσά μοι ὃν ἐπιστάμεθα τρόπον, συγκαθεύδουσά μοι, συγγινομένη, συντεκνοῦσα, καὶ σὲ εὖ κατὰ πάντα ποιήσαιμι· ἐπεὶ μᾶλλον καὶ ὃν ἔχω ἐν τῷ δεσμωτηρίῳ ξένον ἀπολύσω. εἰ δὲ μὴ βούλει, σοὶ μὲν χαλεπὸν οὐδὲν ἀγάγοιμι, οὐδὲ γὰρ δύναμαι· ἐκεῖνον δὲ ὃν μάλιστα ἐμοῦ στέργεις πλεῖον ἀνιάσω. πρὸς ὁπότερον τοιγαροῦν ὃ βούλει Μαξιμίλλα σκεψαμένη αὔριον ἀποκρίνου· ἐγὼ γὰρ πρὸς τοῦτο ὅλως ὥπλισμαι.

5 Καὶ εἰπὼν ταῦτα ἔξεισιν. ἡ δὲ Μαξιμίλλα πάλιν κατὰ τὴν συνήθη ὥραν ἅμα τῇ Ἰφιδάμᾳ παραγίνεται πρὸς τὸν Ἀνδρέαν· καὶ τὰς χεῖρας αὐτοῦ εἰς τὰς ἰδίας ὄψεις θεῖσα καὶ τῷ στόματι προσφέρουσα ἤρξατο τὸ πᾶν τῆς ἀξιώσεως Αἰγεάτου προσαναφέρειν αὐτῷ. καὶ ὁ Ἀνδρέας αὐτῇ ἀπεκρίνατο· Ἐπίσταμαι μὲν ὦ Μαξιμίλλα παιδίον μου καὶ αὐτὴν κεκινημένην σε ἀντιβαίνειν πρὸς τὸ πᾶν τῆς συνουσίας ἐπάγγελμα, μυσαροῦ

---

[1] ἕκ. τ.] *scr* ἑκάστοτε? ‖ [3] *interciderunt non pauca: cf narr 364, 19* | [4] ἔχουσιν *corrupt uid* ‖ *scr* περισκεπόμενοι ‖ [6] τις ⟨ἵππος⟩?? *cf Ph c 118* ‖ [7] *scr* εἶχεν?? ‖ [8] *scr* δρομαῖος? ‖ [9] ἐφθάκοι *V* ‖ [10] *scr* εἰσβαλοῦσα?? ‖ [13] *scr* τ. σ. γάμον??? σε πρὸς γάμον??? (*cf narr 361,12*) τ. σ. ⟨...⟩ γ.?? ‖ [15] ⟨παρῶ⟩ πολλὰ? πολλὰ ⟨ἀφῶ⟩? ‖ [18] τὸ δικαστήριον ⟨καταλιπών· εἰπέ μοι οὖν⟩ συνετῶς? *cf narr 361, 21* ‖ [20] *del* συγκ. - συντ.?? ‖ [23] *scr* ἐπαγάγοιμι? ‖ [23–24] *scr* μάλ. ὃν ἐ. πλ. στ.?? ὃν πλ. ἐ. στ. μάλ.? *cf narr 361, 28* ‖ [24] *del* ὃ? ‖ [33] πᾶν] *scr* παμμίαρον?? πάγκακον??

βίου καὶ ῥυπαροῦ βουλομένη χωρίζεσθαι· καὶ τοῦτό μοι ἐκ πολλοῦ κεκράτηντο τῆς ἐννοίας· ἤδη δὲ καὶ τὴν ἐμὴν γνώμην ἐπιμαρτυρῆσαι βούλει. ἐπιμαρτυρῶ Μαξιμίλλα, μὴ πράξῃς τοῦτο· μὴ ἡττηθῇς Αἰγεάτου ἀπειλῆς· μὴ νικηθῇς ὑπὸ τῆς ἐκείνου ὁμιλίας· μὴ φοβηθῇς τὰς αἰσχρὰς αὐτοῦ συμβουλίας· μὴ νικηθῇς ταῖς ἐντέχνοις αὐτοῦ κολακείαις· μὴ θελήσῃς ἐκδοῦναι ἑαυτήν σου ταῖς ῥυπαραῖς αὐτοῦ γοητείαις· ἀλλ᾽ ὑπόμεινον πᾶσαν αὐτοῦ βάσανον ὁρῶσα εἰς ἡμᾶς πρὸς ὀλίγον, καὶ ὅλον αὐτὸν ὄψῃ ναρκῶντα καὶ μαραινόμενον ἀπό τε σοῦ καὶ πάντων τῶν συγγενῶν σου. ὃ γὰρ μάλιστα ἐχρῆν με εἰπεῖν πρός σε, οὐ γὰρ ἡσυχάζω καὶ διὰ σοῦ ὁρώμενον καὶ γινόμενον πρᾶγμα ποιήσας, ὑπέδραμέν με· καὶ εἰκότως ἐν σοὶ τὴν Εὔαν ὁρῶ μετανοοῦσαν καὶ ἐν ἐμοὶ τὸν Ἀδὰμ ἐπιστρέφοντα· ὃ γὰρ ἐκείνη ἔπαθεν ἀγνοοῦσα, σὺ νῦν, πρὸς ἣν ἀποτείνομαι ψυχήν, κατορθοῖς ἐπιστρέφουσα· καὶ ὅπερ ὁ σὺν ἐκείνῃ καταχθεὶς καὶ ἀπολισθήσας ἑαυτοῦ νοῦς ἔπαθεν, ἐγὼ σὺν σοί, τῇ γνωριζούσῃ ἑαυτὴν ἀναγομένην, διορθοῦμαι. τὸ γὰρ ἐκείνης ἐνδεὲς αὐτὴ ἰάσω μὴ τὰ ὅμοια παθοῦσα· καὶ τὸ ἐκείνου ἀτελὲς ἐγὼ τετέλεκα προσφυγὼν θεῷ· καὶ ὃ ἐκείνη παρήκουσεν σὺ ἤκουσας· καὶ ὃ ἐκεῖνος συνέθετο ἐγὼ φεύγω· καὶ ἃ ἐκεῖνοι ἐσφάλησαν ἡμεῖς ἐγνωρίσαμεν. τὸ γὰρ διορθῶσαι ἑκάστου τὸ ἴδιον πταῖσμα ἐπανορθοῦν τέτακται.

6 ἐγὼ μὲν οὖν ταῦτα εἰπὼν ὡς εἶπον, εἴποιμι ἂν δὲ καὶ τὰ ἑξῆς· εὖ γε ὦ φύσις σῳζομένη μὴ ἰσχύσασα ἑαυτὴν μηδὲ ἀποκρύψασα· εὖ γε ψυχὴ βοῶσα ἃ ἔπαθες καὶ ἐπανιοῦσα ἐφ᾽ ἑαυτήν· εὖ γε ἄνθρωπε καταμανθάνων τὰ μὴ σὰ καὶ ἐπὶ τὰ σὰ ἐπειγόμενος· εὖ γε ὁ ἀκούων τῶν λεγομένων· ὡς μείζονά σε καταμανθάνω νοούμενον ἢ λεγόμενον· ὡς δυνατώτερόν σε γνωρίζω τῶν δοξάντων καταδυναστεύειν σου· ὡς ἐμπρεπέστερον τῶν εἰς αἴσχη καταβαλλόντων σε, τῶν εἰς αἰχμαλωσίαν ἀπαγαγόντων σε. ταῦτα οὖν ἅπαντα καταμαθὼν ἄνθρωπε ἐν ἑαυτῷ, ὅτι ἄυλος ὑπάρχεις, ὅτι ἅγιος, ὅτι φῶς, ὅτι συγγενὴς τοῦ ἀγεννήτου, ὅτι νοερός, ὅτι οὐράνιος, ὅτι διαυγής, ὅτι καθαρός, ὅτι

1 scr βουλομένην? ‖ 2 scr κεκράτητο? κεκράτυντο? ‖ scr τῇ ἐννοίᾳ?? ‖ 4 ἡττηθῇς <τῆς>?? <ταῖς>? ‖ scr ἀπειλαῖς? cf 41, 13; 42, 2 et narr 362, 13 ‖ 6 scr κινηθῇς? cf 4 ‖ 7 <. . .> σου?? del σου? cf 41, 20; 27 ‖ 8 scr ἀφορῶσα? cf narr 362, 19 et 361, 13 ‖ 9 <καὶ ἀπαλλαττόμενον> ἀπό?? an est ἀπό comparationis? ‖ 11–12 ὑπ. με ante οὐ γὰρ??? ‖ 11 ἡσυχάζω <τὸ>?? ‖ 14 scr ἧς??? cf 25 ‖ 19 scr ὑπήκουσας?? ‖ 21 scr τῷ γ.? ‖ 23 scr δὴ?? del?? ‖ 24 scr ἰσχυρώσασα??? ‖ 28 scr νοουμένων ἢ λεγομένων? ‖ 30 scr καταβαλόντων? ‖ σε· <ὡς ἐγκρατέστερον> τῶν??

ὑπὲρ σάρκα, ὅτι ὑπὲρ κόσμον, ὅτι ὑπὲρ ἀρχάς, ὅτι ὑπὲρ ἐξουσίας, ἐφ' ὧν ὄντως εἶ, συλλαβὼν ἑαυτὸν ἐν καταστάσει σου καὶ ἀπολαβὼν νόει ἐν ᾧ ὑπερέχεις· καὶ ἰδὼν τὸ σὸν πρόσωπον ἐν τῇ οὐσίᾳ σου, τὰ πάντα διαρρήξας δεσμά, οὐ λέγω τὰ περὶ γενέσεως ἀλλὰ καὶ τὰ ὑπὲρ γένεσιν, ὧν σοι προσηγορίας θέμεθα ὑπερμεγέθεις οὔσας, πόθησον ἐκεῖνον ἰδεῖν ὀφθέντα σοι, οὐ γενόμενον, ὃν τάχα εἷς μόνος γνωρίσει θαρρῶν.

7 ταῦτα εἶπον ἐπὶ σοῦ Μαξιμίλλα· τῇ γὰρ δυνάμει καὶ εἰς σὲ τείνει τὰ εἰρημένα. ὅνπερ τρόπον ὁ Ἀδὰμ ἐν τῇ Εὔᾳ ἀπέθανεν συνθέμενος τῇ ἐκείνης ὁμολογίᾳ, οὕτως καὶ ἐγὼ νῦν ἐν σοὶ ζῶ φυλασσούσῃ τὴν τοῦ κυρίου ἐντολὴν καὶ διαβιβαζούσῃ ἑαυτὴν πρὸς τὸ τῆς οὐσίας σου ἀξίωμα. τὰς δὲ Αἰγεάτου ἀπειλὰς ἐκπάτει Μαξιμίλλα, εἰδυῖα ὅτι θεὸν ἔχομεν τὸν ἐλεοῦντα ἡμᾶς. καὶ μή σε οἱ ἐκείνου ψόφοι κινείτωσαν, ἀλλὰ μεῖνον ἁγνή· κἀμὲ μὴ μόνον τιμωρείσθω βασάνοις ταῖς κατὰ τὰ δεσμά, ἀλλὰ καὶ θηρσὶ παραβαλλέτω καὶ πυρὶ φλεξάτω καὶ κατὰ κρημνοῦ ῥιψάτω· καὶ τί γάρ; ἑνὸς ὄντος τούτου τοῦ σώματος ὅπως θέλει τούτῳ καταχρησάσθω συγγενοῦς ὄντος αὐτοῦ.

8 πρὸς σὲ δέ μοι πάλιν ὁ λόγος Μαξιμίλλα· λέγω σοι, μὴ ἐκδώῃς ἑαυτὴν τῷ Αἰγεάτῃ· στῆθι πρὸς τὰς ἐκείνου ἐνέδρας· καὶ μάλιστα θεασαμένου μου Μαξιμίλλα τὸν κύριόν μοι λέγοντά μοι· Ὁ τοῦ Αἰγεάτου πατὴρ Ἀνδρέα διάβολος τούτου σε τοῦ δεσμωτηρίου ἐκλύσει. Σὸν οὖν ἔστω λοιπὸν φυλάξαι σεαυτὴν ἁγνὴν καὶ καθαράν, ἁγίαν, ἄσπιλον, εἰλικρινῆ, ἀμοίχευτον, ἀσυνδιάθετον ταῖς ὁμιλίαις τοῦ ἀλλοτρίου ἡμῶν, ἄθρυπτον, ἄθραυστον, ἄκλαυστον, ἄτρωτον, ἀχείμαστον, ἀμέριστον, ἀσκανδάλιστον, ἀσυμπαθῆ πρὸς τὰ τοῦ Κάϊν ἔργα. ἐὰν γὰρ μὴ ἐκδῷς ἑαυτὴν Μαξιμίλλα πρὸς τὰ τούτων ἐναντία, καὶ αὐτὸς ἀναπαύσομαι οὕτως βιασθεὶς ἀναλῦσαι τοῦ βίου τούτου ὑπὲρ σοῦ, τοῦτ' ἔστιν ὑπὲρ ἐμαυτοῦ. εἰ δὲ ἐγὼ ἀπελαθείην ἐντεῦθεν, τάχα καὶ ἑτέρους εὐγενεῖς μου ὠφελῆσαι δυνάμενος διὰ σέ, αὐτὴ δὲ πεισθῇς ταῖς Αἰγεάτου ὁμιλίαις καὶ τοῦ πατρὸς αὐτοῦ ὄφεως κολακείαις, ὥστε ἐπὶ τὰ πρότερά σου ἔργα τραπῆναι, ἴσθι με ἕνεκέν σου κολασθησόμενον μέχρις ἂν αὐτὴ γνῷς ὅτι μὴ ὑπὲρ ἀξίας ψυχῆς τὸ τοῦ βίου ζῆν ἀπέπτυσα.

9 δέομαί σου οὖν τοῦ φρονίμου ἀνδρὸς ὅπως διαμείνῃ εὔοψις νοῦς· δέομαί σου τοῦ μὴ φαινομένου νοῦ ὅπως αὐτὸς

[1] cf Col 1, 16

---

[5] *γενέσεως <μόνον>?? ‖ scr ἐθέμεθα ‖* [16] *scr παραβαλέτω? ‖* [18] *scr συγγενεῖ ὄντι?? ‖* [21] *μοι] scr μου? del?? ‖* [26] *scr ἄκλαστον? ‖* [31] *scr συγγενεῖς? ‖ scr σοῦ?? ‖* [32] *scr πεισθείης? cf 30 ‖* [37] *νοῦς] ν ex μ V*

διαφυλαχθῇ· παρακαλῶ, σοῦ τὸν Ἰησοῦν φίλησον, μὴ ἡττηθῇς τῷ χείρονι· συλλαβοῦ κἀμοὶ ὃν παρακαλῶ ἄνθρωπον, ἵνα τέλειος γένωμαι· βοήθησον καὶ ἐμοί, ἵνα γνωρίσῃς τὴν ἀληθῆ σου φύσιν· συμπάθησόν μου τῷ πάθει, ἵνα γνωρίσῃς ὃ πάσχω καὶ τοῦ παθεῖν φεύξῃ. ἴδε ἃς αὐτὸς ὁρῶ, καὶ ἃς ὁρᾷς πηρώσεις· ἴδε ἃ δεῖ, καὶ ἃ μὴ δεῖ οὐκ ὄψει· ἄκουσον ὧν λέγω, καὶ ἅπερ ἤκουσας ῥῖψον.

10 ταῦτα εἶπον πρὸς σὲ καὶ πάντα τὸν ἀκούοντα, εἰ ἄρα ἀκούσῃ· σὺ δὲ ὁ Στρατοκλῆς, ἀπιδὼν πρὸς αὐτὸν ἔλεγεν, τί οὕτως συνέχῃ πολλοῖς δακρύοις καὶ στένεις εἰς ἐξάκουστον; τίς ἡ περὶ σὲ δυσθυμία; τί τὸ πολύ σου ἄλγος ἢ ἡ πολλὴ ἄνοια; γνωρίζεις τὰ λεγόμενα, καὶ διὰ τί σε εὔχομαι τέκνον ὅπως διατεθῇ; μανθάνεις πρὸς τίνας εἴρηται τὰ εἰρημένα; ἥψατό σου ἕκαστον τῆς διανοίας; ἔθιγέν σου τοῦ διανοητικοῦ μέρους; ἐχόμενον τὸν τὸν ἀκούσαντά μου; εὑρίσκω ἐν σοὶ ἐμαυτόν; ἔστιν τις ἐν σοὶ ὁμιλῆσαι ὃν ἐγὼ ὁρῶ ἴδιόν μου; ἀγαπητὸν ἐν ἐμοὶ λαλήσαντα, καὶ βούλεται αὐτῷ κοινωνῆσαι; θέλει αὐτῷ συνενωθῆναι; σπεύδει αὐτῷ φιλωθῆναι; ποθεῖ αὐτῷ συζυγῆναι; εὑρίσκει τινὰ ἐν αὐτῷ ἀνάπαυσιν; ἔχει ποῦ κλῖναι τὴν κεφαλήν; μὴ ἐναντιοῦταί τι αὐτῷ ἐκεῖ; μὴ τραχύνεται; μὴ ἀντικρούει; μὴ ἀπεχθάνεται; μὴ φεύγει; μὴ ἀγριοῦται; μὶ ἐκκλίνει; μὴ ἀπέστραπται; μὴ ἐξορμᾷ; μὴ βαρύνεται; μὴ πολεμεῖ; μὴ πρὸς ἑτέρους ὁμιλεῖ; μὶ ὑφ᾽ ἑτέρων κολακεύεται; μὴ ἑτέροις συντίθεται; μὴ ἄλλα αὐτῷ διοχλεῖ; μή τις ἀλλότριός μου ἔσω; μὴ ἀντίδικος; μὴ λυμεών; μὴ ἐχθρός; μὴ γόης; μὴ περίεργος; μὴ στρεβλός; μὴ ὕπουλος; μὴ δόλιος; μὴ μισάνθρωπος; μὴ μισολόγος; μὴ τυράννοις ὅμοιος; μὴ ἀλαζών; μὴ ἐπηρμένος; μὴ μανιώδης; μὴ ὄφεως συγγενής; μὴ διαβόλου ὅπλον; μὴ πυρὸς συνήγορος; μὴ σκότους ἴδιος; μή τις ἐν σοὶ ὃς οὐκ ἀνέξεταί μου Στρατοκλῆ λέγοντος ταῦτα; τίς γάρ; ἀπόκρινε· μὴ μάτην λαλῶ; μὴ μάτην εἶπον; οὔ φησιν ὁ ἐν σοὶ Στρατοκλῆ πάλιν δακρύσας ἄνθρωπος.

11 Καὶ λαβόμενος ὁ Ἀνδρέας τῆς χειρὸς Στρατοκλέος εἶπεν· Ἔχω ὃν ἠγάπων. ἀναπαύσομαι ἐφ᾽ ὃν προσεδόκουν· τὸ γὰρ ἔτι

[18] cf Matth 8, 20

---

[1] scr διαφυλαχθῇς??? || scr παρακαλῶ σε, τὸν? || [2] scr τοῦ χείρονος?? cf 40, 4 et 38, 12 || [5] scr ἃ? || scr κ. ἃ σὺ? || scr πηρὰς ὅσας?? πηρώσεις?? πηρωθῆναι??? || [9] del εἰς?? || [10] scr ἄνοια: cf 43, 9 || [11] scr διατεθῇς? cf 43, 28 || [13] ἔθηγέν V || [13-14] ἐχ. τ. τ.] ἔχω (cf 32) μένοντα τ.??? ἔχω διακείμενον τ.?? cf 11 || [15] scr ὁμιλήσας? || ἀγ.] scr ἀγαπᾷ τὸν? || [20] scr ἃς? || [29] scr Στρατοκλεῖ? an Στρατόκλη uocatiuo? cf 30; 59, 25; (61, 17) narr 366, 29 || [30] ὁ sup scr V || scr Στρατοκλέους? || [33] scr προσεδόκων??

μᾶλλον στένειν σε καὶ ἀκαθέκτως δακρύειν σύμβολόν με πεποίηται πρὸς τὸ ἤδη ἀναπεπαῦσθαι, ὅτι οὐ μάτην πεποίημαι πρὸς σὲ τοὺς συγγενεῖς μου λόγους.

12 Καὶ ὁ Στρατοκλῆς αὐτῷ ἀπεκρίνατο· Μὴ νόμιζε μακαριώτατε Ἀνδρέα ὅτι ἕτερόν τί ἐστιν τὸ ἀνιῶν με ἀλλ' ἢ σύ· οἱ γὰρ διὰ σοῦ ἐξιόντες λόγοι πυρὶ ἀκοντιζόμενοι εἰς ἐμὲ ἐοίκασιν, καὶ ἐμοῦ ἕκαστος αὐτῶν καθικνεῖται ὡς ἀληθῶς ἐκκαίων με· τῆς ψυχῆς μου τὸ πρὸς τοῖς ἠκουσμένοις ὃν τὴν μετὰ τούτων ἀνίαν μαντευόμενος κολάζεται· ἀπαλλάσσῃ γὰρ αὐτός, καὶ εὖ οἶδα ὅτι καλῶς· τὴν δὲ μετὰ ταῦτά σου ἐπιμέλειαν καὶ στοργὴν ζητῶν ποῦ εὕρω ἢ ἐν τίνι; τὰ μὲν σπέρματα τῶν σωτηρίων λόγων δέδεγμαι σοῦ ὄντος τοῦ σπορέως· τὸ δὲ ἀναβλαστῆσαι ταῦτα καὶ ἐκφῦναι οὐχ ἑτέρου ἀλλὰ σοῦ δεῖται Ἀνδρέα μακαριώτατε. καὶ τί γὰρ ἔχω σοι εἰπεῖν ἀλλ' ἢ τοῦτο; πολλοῦ ἐλέου δέομαι καὶ βοηθείας τῆς παρὰ σοῦ, ὅπως δυναίμην ἄξιος γενέσθαι ὧν ἔχω σου σπερμάτων· ἃ οὐκ ἄλλως ἐπιδώσει ἄληκτα καὶ εἰς τὸ φανερὸν ἀνίσχοντα μὴ οὐχὶ σου βουληθέντος καὶ εὐξαμένου ὑπὲρ αὐτῶν καὶ ἐμοῦ ὅλου.

13 Καὶ ὁ Ἀνδρέας αὐτῷ ἀπεκρίνατο· Ταῦτα ἦν τέκνον ἃ καὶ αὐτὸς ἑώρων ἐν σοί· καί μου τὸν κύριον δοξάζω ὅτι μου ἡ περὶ σὲ ἔννοια οὐ κενεμβάτησεν, ἀλλ' οἶδεν ὃ εἶπεν. ὅπως δὲ εἰδῆτε, αὔριόν με ὁ Αἰγεάτης εἰς τὸ ἀνασκολοπισθῆναι παραδίδωσιν. ἡ γὰρ τοῦ κυρίου δούλη Μαξιμίλλα ταράξει τὸν ἐν αὐτῷ ἐχθρόν, οὗ ἐστιν ἐκεῖνος ἴδιος, μὴ συντιθεμένη αὐτῷ τὰ αὐτῆς ἀλλότρια· καὶ εἰς ἐμὲ στραφεὶς δόξει ἑαυτὸν παρηγορεῖν.

14 Ἡ δὲ Μαξιμίλλα ταῦτα τοῦ ἀποστόλου λέγοντος οὐ παρῆν· ἐκείνη γὰρ τοὺς λόγους κατακούσασα οὓς πρὸς αὐτὴν ἀπεκρίνατο, καὶ τρόπον τινὰ διατεθεῖσα ἐπ' αὐτῶν καὶ γενομένη τοῦτο ὅπερ οἱ λόγοι ἐδείκνυον, ἐξορμήσασα οὐκ ἀκρίτως οὐδὲ ἀστοχάστως παρεγένετο εἰς τὸ πραιτώριον. καὶ τῷ παντὶ βίῳ ἅμα τῆς σαρκὸς χαίρειν φράσασα, καὶ τοῦ Αἰγεάτου ἀνενεγκόντος αὐτῇ τὴν ὁμοίαν ἀξίωσιν περὶ ἧς ἔφησεν αὐτῇ διασκέψασθαι, εἰ ἄρα βούλοιτο αὐτῷ συγκαθεύδειν, ἀπειπαμένης δέ, περὶ τὴν τοῦ Ἀνδρέου ἀναίρεσιν λοιπὸν ἐτέτραπτο, καὶ ἐσκέπτετο ποίῳ θανάτῳ αὐτὸν περιβάλοι. καὶ ὡς ἐπεκράτησεν αὐτῷ τῶν πάντων μόνον τὸ ἀνασκολοπισθῆναι, ἀπιὼν μὲν αὐτὸς ἅμα τοῖς ὁμοίοις ἐσιτίζετο· ἡ δὲ Μαξιμίλλα προηγουμένου αὐτῆς

[1] scr μοι? ‖ [6] scr ἀκοντιζομένῳ? cf narr 363, 17 ‖ [8] με· <καὶ>? ‖ [9] scr ταῦτα?? cf 10 ‖ ante ἀνίαν eras κ V ‖ scr μαντευόμενον? ‖ [21] scr οὐκ ἐκενεμβάτησεν? ‖ [28] τινὰ in mg V ‖ scr ἐν αὐτῷ?? (cf Th c 26) an ἐπ' αὐτόν?

τοῦ κυρίου ἰδέᾳ τοῦ Ἀνδρέου ἅμα τῇ Ἰφιδάμᾳ πάλιν παραγίνεται εἰς τὸ δεσμωτήριον. καὶ ὄχλου πλείονος ὄντος ἔνδον τῶν ἀδελφῶν καταλαμβάνει αὐτὸν λόγους ποιούμενον τοιούτους·

15 Ἐγὼ ἀδελφοὶ ἐξεπέμφθην ὑπὸ τοῦ κυρίου ἀπόστολος εἰς τὰ κλίματα ταῦτα ὧν με κατηξίωσεν ὁ κύριός μου, διδάξαι μὲν οὐδένα, ὑπομνῆσαι δὲ πάντα τὸν συγγενῆ τῶν λόγων ἄνθρωπον, ὅτι ἐν κακοῖς τοῖς προσκαίροις διάγουσι, τερπόμενοι ταῖς ἐπιβλαβέσιν αὐτῶν φαντασίαις· ὧν ἀεὶ καὶ ὑμᾶς παρεκάλεσα ἐκστῆναι καὶ ἐπὶ τὰ μόνιμα ἐπείγεσθαι προτρέψασθαι καὶ πάντων ῥευστῶν τὴν φυγὴν ποιήσασθαι· ὁρᾶτε γὰρ μηδένα ὑμῶν ἱστάμενον, ἀλλὰ τὰ πάντα εὐμετάβολα μέχρι ἠθῶν ἀνθρωπίνων· τοῦτο δὲ συμβαίνει διὰ τὴν ἀπαίδευτον ψυχὴν τὴν εἰς φύσιν πλανηθεῖσαν καὶ κατὰ τῆς πλάνης ἐνέχυρα κατέχουσαν. μακαρίους οὖν ἐκείνους τίθεμαι τοὺς κατηκόους τῶν κεκηρυγμένων λόγων γεγονότας καὶ δι᾽ αὐτῶν μυστήρια ὀπτριζομένους περὶ τὴν ἰδίαν φύσιν, ἧς ἕνεκεν τὰ πάντα ᾠκοδόμηται.

16 ἐντέλλομαι τοιγαροῦν ἠγαπημένα τέκνα, ἐποικοδομεῖσθε ἑδραίως ἐπὶ τῷ θεμελίῳ τῷ καταβεβλημένῳ ὑμῖν, ὄντι ἀσαλεύτῳ καὶ ἀνεπιβουλεύτῳ παντὶ τῷ πονηρευομένῳ. ἐπὶ τοῦτον τὸν θεμέλιον ῥιζώθητε· στηρίχθητε μνημονεύοντες ὧν ὅσα τε γεγόνασιν συναναστρέφοντός μου πᾶσιν ὑμῖν. εἴδετε δι᾽ ἐμοῦ ἔργα γεγονότα οἷς οὐκ ἔχετε ἀπιστῆσαι αὐτοῖς, γεγονότα σημεῖα τοιαῦτα ἃ καὶ τάχα ἡ ἄλαλος φύσις κεκράξεται· λόγους ὑμῖν παρέδωκα οὓς εὔχομαι οὕτως καταδέχεσθαι ὑφ᾽ ὑμῶν ὡς αὐτοὶ οἱ λόγοι θέλουσιν. στηρίζεσθε οὖν ἀγαπητοὶ ἐπὶ πᾶσιν οἷς εἴδετε, οἷς ἠκούσατε, οἷς ἐκοινωνήσατε· καὶ ὑμᾶς ὁ θεὸς εἰς ὃν ἐπιστεύσατε ἐλεήσας εὐαρέστους παραστήσει ἑαυτῷ ἀναπεπαυμένους εἰς ἅπαντας αἰῶνας.

17 τὸ δὲ περὶ ἐμὲ μέλλον συμβαίνειν μὴ ὄντως ταρασσέτω ὑμᾶς ὥς τι ξένον θαῦμα, ὅτι ὁ τοῦ θεοῦ δοῦλος, ᾧ πολλὰ παρέσχετο αὐτὸς ὁ θεὸς δι᾽ ἔργων καὶ λόγων, οὗτος βίᾳ ὑπὸ ἀνθρώπου πονηροῦ ἀπελαύνεται τούτου τοῦ προσκαίρου βίου· οὐ μόνον γὰρ περὶ ἐμὲ τὸ τοιοῦτον συμβήσεται, ἀλλὰ καὶ εἰς πάντας τοὺς ἠγαπηκότας καὶ εἰς αὐτὸν πεπιστευκότας καὶ αὐτὸν ὁμολογοῦντας· ὁ πάντα ἀναιδὴς διάβολος τὰ ἴδια τέκνα ὁπλίσει κατ᾽ αὐτῶν, ὅπως αὐτῷ συνθῶνται· καὶ οὐχ ἕξει ὃ βούλεται. καὶ διὰ τί ταῦτα ἐπιχειρεῖ ἐγὼ φράσω· ἀπὸ μὲν τῆς

---

9 *scr* προέτρεψα? ‖ 10 πάντων <τῶν>? ‖ *scr* μηδὲν?? ‖ 11 *scr* μέχρις? *cf* 41, 34 ‖ 13 κατὰ] *scr* κακὰ?? τὰ? ‖ 15 *scr* κατοπτριζομένους?? ‖ 17 *scr* τέκνα ἐποικοδομεῖσθαι? *cf* 20 *et narr* 364, 28 ‖ 20 ὧν <ἐθεάσασθε> *uel* <ἠκούσατε>? ‖ 29 *scr* οὕτως?? ‖ 30 *scr* θέαμα? ‖ 34 τοὺς <αὐτὸν>?

πάντων ἀρχῆς, καὶ ἤδη λέγειν ἐξ οὗπερ ὁ ἄναρχος τῇ ὑπ᾽ αὐτὸν ἀρχῇ κατῆλθεν, ἀπωθῆσαι ὁ πολέμιος εἰρήνης ἀλλότριος τὸν μὴ ἴδιον, ἀλλὰ μόνον τινὰ τῶν ἀσθενεστέρων καὶ περιφανῆ καὶ μηδέπω δυνάμενον γνωρίζεσθαι· καὶ διὰ τὸ μηδὲ αὐτὸν ἐπίστασθαι, τούτου ἕνεκεν ἐκεῖνον ὑπ᾽ αὐτοῦ ἐχρῆν πολεμεῖσθαι· δόξας γὰρ αὐτὸν ἔχειν καὶ δεσπόζειν αὐτοῦ εἰσαεὶ τοσοῦτον αὐτῷ ἀντιφέρεται ὡς τὴν αὐτῶν ἔχθραν φιλίας παραπλησίας ἐργάζεσθαι. ὑποβάλλων γὰρ αὐτῷ τὰ ἴδια πολλάκις διέγραψεν ἐνήδονα ὄντα καὶ ἀπατηλά, δι᾽ ὧν αὐτοῦ περ.κρατεῖν ἐδόκει· ἐχθρὸς μὲν οὖν ἐδείκνυτο εἰς τὸ φανερόν, προσποιούμενος φιλίαν τὴν αὐτοῦ ἀξίαν.

18 καὶ τοῦτο ἦν αὐτῷ ἔργον ἐπὶ πολὺ γινόμενον, ὡς εἰς λήθην γνωρίζεσθαι ἐκείνῳ, γνωρίσαι αὐτόν· τοῦτ᾽ ἔστιν οὗτος διὰ τὰ ἑαυτοῦ δῶρα. ἀλλ᾽ ὅτε τῆς χάριτος μυστήριον ἐξήφθη, καὶ ἡ βουλὴ τῆς ἀναπαύσεως ἐφανερώθη, καὶ τὸ τοῦ λόγου φῶς ἐδείχθη, καὶ τὸ σῳζόμενον γένος ἠλέγχθη πολλαῖς ἡδοναῖς πολεμούμενον, τὸν ἀλλότριον αὐτὸν καταφρονούμενον, ἑαυτὸν εἰς τὰ ἑαυτοῦ δῶρα διαγελώμενον, δι᾽ ὧν αὐτοῦ ἐδόκει καταφρυοῦσθαι διὰ τὴν τοῦ ἐλεήσαντος χρηστότητα, ἤρξατο πρὸς ἡμᾶς μίσει καὶ ἔχθρᾳ καὶ ἐπεξαναστάσει ἀντιπλέκειν· καὶ τοῦτο ἐν ἔργῳ τέθειται, μὴ παύσασθαι ἀφ᾽ ἡμῶν μέχρις ἂν νομίζῃ χωρίζειν. τότε μὲν γὰρ ἀμέριμνος ἦν ὁ ἡμῖν ἀλλότριος, καὶ φιλίαν προσεποιεῖτο στέλλεσθαι πρὸς ἡμᾶς τὴν αὐτοῦ ἀξίαν· εἶχεν δὲ καὶ τὸ μὴ φοβεῖσθαι μὴ ἀποστῶμεν πεπλανημένοι ὑπ᾽ αὐτοῦ. τὸ δὲ τῆς οἰκονομίας χρῆμα ἐξαφθὲν οὐ λέγω ἰσχυροτέραν· τὸ γὰρ κρυπτόμενον αὐτοῦ τῆς φύσεως καὶ τὸ δοκοῦν λανθάνειν, τοῦτο ἤλεγξεν καὶ ὁμολογεῖν ὅ ἐστιν παρεσκεύασεν. ἐπιστάμενοι τοιγαροῦν τὸ μέλλον ἔσεσθαι ἀδελφοὶ διυπνιζώμεθα, μὴ δυσφοροῦντες, μηδὲ σχηματιζόμενοι, μηδὲ ἀποκομίζοντες αὐτοῦ ἴχνη ἐπὶ τῶν ψυχῶν τὰ μὴ ἴδια ἡμῶν· ἀλλὰ ὅλοι ἐν ὅλῳ τῷ λόγῳ ἐπεωρούμενοι τὸ τέλος πάντες ἀσμένως προσδεξώμεθα καὶ τὴν ἀπ᾽ αὐτοῦ φυγὴν ποιήσωμεν, ὅπως καὶ αὐτὸς λοιπὸν δειχθῇ ὡς ἐστὶν τὴν φύσιν ἡμῶν ἐπὶ τὰ ἡμέτερα . . .

---

[1] ἤδη] *scr* εἰ δεῖ? ‖ [2] *aliquid deesse uidetur* ‖ *scr* ἀπειθῆσαι?? ‖ πολέμιος, ⟨ὁ⟩? ‖ [3] ⟨μὴ⟩ περιφανῆ? ‖ [7] *scr* παραπλησίαν ‖ [9] *scr* περικρατεῖν (*post* περ *membrana pertusa est V*) ‖ [10] οὖν ⟨οὐκ⟩? ‖ [13] γνωρίσαι ⟨δὲ⟩? ‖ [14] δῶρα ⟨. . .⟩? *cf 18* ‖ ὅτε ⟨τὸ⟩? ‖ [17] τὸν ἀλλ. *et q s anacoluthon uid* (ἠλέγχθη *16*) ‖ ἑαυτὸν] *scr* αὐτὸν? ‖ [18] *scr* κατοφρυοῦσθαι ‖ [25] ἰσχυροτέραν ⟨ἀλλ᾽ ἐμφανεστέραν ἀπέδειξεν αὐτοῦ τὴν ἔχθραν⟩?

Μαρτύριον τοῦ ἁγίου Ἀνδρέου τοῦ ἀποστόλου.

1 Τῶν μακαρίων ἀποστόλων τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ τὴν ἀνάληψιν αὐτοῦ καθημένων ἐν Ἱερουσαλὴμ ἀναστὰς ἐν μέσῳ αὐτῶν ὁ μακάριος Πέτρος εἶπεν· Ἄνδρες οἱ κληθέντες ὑπὸ τοῦ λόγου τοῦ θεοῦ καὶ ἐκλεχθέντες ὑπ' αὐτοῦ καὶ μαθητευθέντες ὑπὸ τῆς αὐτοῦ σοφίας, δυνάμεις τε καὶ σημεῖα καὶ τέρατα ποιήσαντες διὰ τῆς ἐκείνου ἐνεργείας, πάντως μέμνησθε ὡς ἐνετείλατο ἡμῖν λαβοῦσιν τὸ πνεῦμα τὸ ἅγιον διασπαρῆναι εἰς ὅλην τὴν οἰκουμένην κηρύσσοντας μετάνοιαν καὶ ἄφεσιν ἁμαρτιῶν τοῖς πιστεύουσιν εἰς τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ· καὶ νῦν ἐπιπέπτωκεν ἐπὶ ἕνα ἕκαστον ἡμῶν ἡ δύναμις ἐξ οὐρανοῦ κατελθοῦσα, καὶ ἐκκέχυται ἐφ' ἡμᾶς ἡ δωρεὰ τοῦ ἁγίου πνεύματος, καὶ τῷ ὅπλῳ τῆς εὐσεβείας καλῷ λόγῳ ἐστεφανώθημεν, καὶ ἡ χάρις τοῦ ἡμετέρου δεσπότου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ πλουσίως ἔφθασεν εἰς ἡμᾶς· ἡμεῖς δὲ ὀκνοῦμεν καὶ ῥαθυμοῦμεν ἐξελθεῖν ἐπὶ τὸ ἔργον εἰς ὃ προσκέκληται ἡμᾶς καὶ εἰς ὃ ἐξελέξατο ἡμᾶς;

2 Καὶ ἀναστάντες ἔβαλον κλήρους τίς ποῦ ἀπέλθῃ καὶ ὁποῖον ἔθνος περιποιήσειαν αὐτῶν. καὶ ἐκληρώθη Πέτρος τὴν

V Vaticanus gr 807 s IX aut X
C Petroburgensis Caesareus gr 94 s XII

[1] ἀπ. ἀνδ. (om τοῦ) C ‖ [3] καθ.] αὐτῶν add V ‖ εἰς C ‖ [4] ἐν - Π.] πετρὸς ἐν μέσω C ‖ [5–6] ὑπὸ - μαθ. om C ‖ [6] δυνάμει C ‖ [7] πάντες V ‖ [8] λαβόντων C ‖ [9] κηρύσσιν C ‖ [11] ἐπιπ. om V ‖ ἐπὶ ἕ. ἕκ.] ἑνῆ ἑκάστω C ‖ ὑμῶν V ‖ [11–12] ἡ - κατ. om C: del?? ‖ [11] δύναμις <τοῦ θεοῦ>?? ‖ [12] ἐφ'] εἰς C ‖ [13] τὸ ὅπλον τῆς εὐδοκίας τοῦ λόγου ἐστεφάνωσεν ἡμᾶς C: cf 54, 8 ‖ [14] ἡ] μὲν add C ‖ δ. καὶ] δ. C ‖ [15] εἰς ἡμ. ἔ. C ‖ [16] καὶ ῥ. om C: del? ‖ εἰσελθεῖν εἰς V ‖ εἰς ὃ] ὡς C ‖ προκέκληκεν C: scr προκέκληται? ‖ [17] καὶ εἰς - ἡμᾶς] καὶ ἀμελοῦμεν τῆς σωτηρίας ἡμῶν δεῦτε οὖν δοῦλοι τοῦ παντοκράτορος θεοῦ καὶ ἀγαπητοὶ τοῦ λόγου καὶ υἱοὶ τῆς μακαρίας δυνάμεως μετὰ προθυμίας πολλῆς δυνάμει τοῦ θεοῦ C: cf 48, 16; 51, 10; 52, 4; 23; 53, 6 ‖ [18] καὶ om C ‖ βάλλωμεν C ‖ τί ὅπου ἀπελθὼν V ‖ [19] οἷον C ‖ ἔθνος π. α.] τοῦ χριστοῦ περιποιήσιται λαὸν C ‖ scr περιποιήσῃ? περιποιήσηται? ‖ Π.] εἰς add C

περιτομήν· Ἰάκωβος καὶ Ἰωάννης τὴν ἀνατολήν· Φίλιππος τὰς πόλεις τῆς Σαμαρείας καὶ τὴν Ἀσίαν· Βαρθολομαῖος τὴν Ἀλβανόπολιν· Ματθαῖος τὴν Παρθίαν καὶ τὴν Μυρμηνίδα πόλιν· Θωμᾶς τὴν μεγάλην Ἀρμενίαν καὶ τὴν Ἰνδικὴν χώραν· Λεβέος καὶ Θαδδαῖος τὴν Βερονικίδα· Σίμων ὁ Κανανίτης τὴν Βαρβαρίαν· μετὰ τοὺς πάντας ἔλαχεν καὶ τὸν Ἀνδρέαν ἡ Βυθινία καὶ ἡ Λακεδαιμονία καὶ Ἀχαΐα.

3 Διασπαρέντες οὖν πάντες εἰς τὰ κλίματα τῆς οἰκουμένης ἔρχεται Ἀνδρέας ὁ ἀπόστολος διελθεῖν τὴν Βυθινίαν καὶ διδάξαι τοὺς πολλοὺς τὸν λόγον τοῦ θεοῦ· ἐκεῖθεν εἰσῆλθεν εἰς Πάτρας τῆς Ἀχαΐας. καὶ εἰσελθόντος αὐτοῦ εἰς τὴν πόλιν φήμη ἐξῆλθεν ὡς ἄνθρωπος ξένος εἰσῆλθεν εἰς τὴν πόλιν μηδὲν ἐπιφερόμενος εἰ μὴ μόνον ὄνομα ἀνθρώπου τινὸς Ἰησοῦ, δι᾽ οὗ σημεῖα ποιεῖ καὶ τέρατα μεγάλα καὶ νόσους θεραπεύει καὶ δαίμονας ἐκβάλλει καὶ νεκροὺς ἐγείρει καὶ λεπροὺς καθαρίζει καὶ πᾶν πάθος θεραπεύει. ἀκούσας δὲ ὁ ἀνθύπατος Λέσβιος ἐταράχθη λέγων· Μάγος ἐστὶν καὶ ἀπατεών· οὐ χρὴ ἡμᾶς προσέχειν αὐτόν, ζητεῖν δὲ μᾶλλον παρὰ τῶν θεῶν τὴν εὐεργεσίαν. Καὶ ἐζήτει συλλαβόμενος αὐτὸν ἀνελεῖν.

4 Νυκτὸς δὲ ἐπιστὰς ἄγγελος κυρίου τῷ ἀνθυπάτῳ λέγει μετὰ ἐπιστασίας μεγάλης καὶ ἀπειλῆς φοβερᾶς· Τί παθὼν παρὰ τοῦ ξένου ἀνδρὸς κακὸν ἐλογίσω ἔνεδρα καὶ παρελογίσω τὸν θεὸν ὃν κηρύττει; καὶ νῦν ἰδοὺ χεὶρ κυρίου αὐτοῦ ἐπὶ σὲ καὶ

---

[1] Ἰω.] εἰς add C ‖ Φ.] εἰς add C ‖ [2] κ. τ. Ἀσ. om C ‖ Β. τ. om V ‖ Β.] εἰς add C ‖ [3] βουνόπολιν V ‖ Μ.] εἰς add C ‖ κ. τ. Μ. π. om C ‖ [4] Θ.] εἰς add C ‖ κ. τ. Ἰ. χ.] τῆς ἰνδίας C ‖ Λ. om C: scr Λεββαῖος ⟨ὁ⟩? ‖ [5] καὶ om C ‖ θαδέος V εἰς add C ‖ βερονικίαδαν C ‖ Κ.] εἰς add C ‖ [6] μ. τ. π. ἔλ. κ.] ἔλ. δὲ μ. π. τ. ἀποστόλους C ‖ βυθυνία C: scr Βιθυνία? cf 9 ‖ [6–7] κ. ἡ Λ. κ. Ἀ. om C ‖ [8] διασπαρέντων C ‖ πάντες om C ‖ [9] scr ἄρχεται? ‖ διελθὼν V ‖ τὴν om C ‖ βυθυνίαν C βυθηνίαν V: scr Βιθυνίαν? cf 6 ‖ [9–10] καὶ δ. - εἰσῆλθεν om C ‖ [9] διδάξαι||| V ‖ [11] ἐν τῇ πόλει C ‖ [12] ἐξ.] ἐδόθη C: scr διεδόθη?? cf laud 335, 21; 26 ‖ ὅτι C (λεγόντων ὅτι laud 335, 22) ‖ εἰσ.] γυμνὸς ἦλθεν C ‖ ἐν τῇ πόλει C ‖ [12–13] μηδὲν - μόνον] φησὶν ἔρημος διδύκων φησὶν C ‖ [13] ἀνθρ. om C: del? ‖ [14] ποιεῖ post τέρ. C ‖ [14–16] καὶ δ. - θερ. om C ‖ [16] ὁ δὲ ἀνθ. λέσβ. ταῦτα ἀκ. C ‖ [17] μάγ. ἐ. κ. ἀπ.] μάγ. τις κ. ἀπ. ἐ. οὕτως ὅτινι C ‖ πιστεύειν C: cf laud 335, 29 ‖ [18] αὐτόν om C: scr αὐτῷ? cf laud 335, 30 ‖ μᾶλλον] ὃν add V ‖ παρὰ om C: cf laud 335, 30 ‖ [19] ἐζ.] εὐθέως ἠβουλήθην C ‖ ἀν. α. C ‖ [20] δὲ] γενομένης add C ‖ ἐπ.] ὁ add C ‖ λ. τῷ ἀ. C ‖ [21] μετὰ - φοβ. om C ‖ [21–22] κακὸν π. τ. ξ. ἀ. C ‖ [22] del κακὸν? (δεινὸν laud 336, 4) ‖ ἀνδρέου V ‖ ἔν.] διαχειρίσασθαι αὐτὸν C (κενὰ κατ᾽ αὐτοῦ laud 336, 4 e psalmo 2, 1) ‖ [22–23] καὶ - κηρύττει om C ‖ [23] νῦν om C ‖ αὐτοῦ om C (θεοῦ αὐτοῦ laud 336, 5)

διαφυλαχθῇ· παρακαλῶ, σοῦ τὸν Ἰησοῦν φίλησον, μὴ ἡττηθῇς τῷ χείρονι· συλλαβοῦ κἀμοὶ ὃν παρακαλῶ ἄνθρωπον, ἵνα τέλειος γένωμαι· βοήθησον καὶ ἐμοί, ἵνα γνωρίσῃς τὴν ἀληθῆ σου φύσιν· συμπάθησόν μου τῷ πάθει, ἵνα γνωρίσῃς ὃ πάσχω καὶ τοῦ παθεῖν φεύξῃ. ἴδε ἃς αὐτὸς ὁρῶ, καὶ ἃς ὁρᾷς πηρώσεις· ἴδε ἃ δεῖ, καὶ ἃ μὴ δεῖ οὐκ ὄψει· ἄκουσον ὧν λέγω, καὶ ἅπερ ἤκουσας ῥῖψον.

10 ταῦτα εἶπον πρὸς σὲ καὶ πάντα τὸν ἀκούοντα, εἰ ἄρα ἀκούσῃ· σὺ δὲ ὁ Στρατοκλῆς, ἀπιδὼν πρὸς αὐτὸν ἔλεγεν, τί οὕτως συνέχῃ πολλοῖς δακρύοις καὶ στένεις εἰς ἐξάκουστον; τίς ἡ περὶ σὲ δυσθυμία; τί τὸ πολύ σου ἄλγος ἢ ἡ πολλὴ ἄνοια; γνωρίζεις τὰ λεγόμενα, καὶ διὰ τί σε εὔχομαι τέκνον ὅπως διατεθῇ; μανθάνεις πρὸς τίνας εἴρηται τὰ εἰρημένα; ἥψατό σου ἕκαστον τῆς διανοίας; ἔθιγέν σου τοῦ διανοητικοῦ μέρους; ἐχόμενον τὸν τὸν ἀκούσαντά μου; εὑρίσκω ἐν σοὶ ἐμαυτόν; ἔστιν τις ἐν σοὶ ὁμιλῆσαι ὃν ἐγὼ ὁρῶ ἴδιόν μου; ἀγαπητὸν ἐν ἐμοὶ λαλήσαντα, καὶ βούλεται αὐτῷ κοινωνῆσαι; θέλει αὐτῷ συνενωθῆναι; σπεύδει αὐτῷ φιλωθῆναι; ποθεῖ αὐτῷ συζυγῆναι; εὑρίσκει τινὰ ἐν αὐτῷ ἀνάπαυσιν; ἔχει ποῦ κλῖναι τὴν κεφαλήν; μὴ ἐναντιοῦταί τι αὐτῷ ἐκεῖ; μὴ τραχύνεται; μὴ ἀντικρούει; μὴ ἀπεχθάνεται; μὴ φεύγει; μὴ ἀγριοῦται; μὴ ἐκκλίνει; μὴ ἀπέστραπται; μὴ ἐξορμᾷ; μὴ βαρύνεται; μὴ πολεμεῖ; μὴ πρὸς ἑτέρους ὁμιλεῖ; μὴ ὑφ' ἑτέρων κολακεύεται; μὴ ἑτέροις συντίθεται; μὴ ἄλλα αὐτῷ διοχλεῖ; μή τις ἀλλότριός μου ἔσω; μὴ ἀντίδικος; μὴ λυμεών; μὴ ἐχθρός; μὴ γόης; μὴ περίεργος; μὴ στρεβλός; μὴ ὕπουλος; μὴ δόλιος; μὴ μισάνθρωπος; μὴ μισολόγος; μὴ τυράννων ὅμοιος; μὴ ἀλαζών; μὴ ἐπηρμένος; μὴ μανιώδης; μὴ ὄφεως συγγενής; μὴ διαβόλου ὅπλον; μὴ πυρὸς συνήγορος; μὴ σκότους ἴδιος; μή τις ἐν σοὶ οἷς οὐκ ἀνέξεταί μου Στρατοκλῆ λέγοντος ταῦτα; τίς γάρ; ἀπόκριναι· μὴ μάτην λαλῶ; μὴ μάτην εἶπον; οὔ φησιν ὁ ἐν σοὶ Στρατοκλῆ πάλιν δακρύσας ἄνθρωπος.

11 Καὶ λαβόμενος ὁ Ἀνδρέας τῆς χειρὸς Στρατοκλέος εἶπεν· Ἔχω ὃν ἠγάπων. ἀναπαύσομαι ἐφ' ὃν προσεδόκουν· τὸ γὰρ ἔτι

[18] cf Matth 8, 20

---

[1] *scr διαφυλαχθῇς??? ‖ scr παρακαλῶ σε, τὸν? ‖* [2] *scr τοῦ χείρονος?? cf 40, 4 et 38, 12 ‖* [5] *scr ἃ? ‖ scr κ. ἃ σὺ? ‖ scr πηρὸς ἔσει?? πεπηρώσει?? πηρωθήσει??? ‖* [9] *del εἰς?? ‖* [10] *scr ἀνία: cf 43, 9 ‖* [11] *scr διατεθῇς? cf 43, 28 ‖* [13] *ἔθηγέν V ‖* [13–14] *ἐχ. τ. τ.] ἔχω (cf 33) μένοντα τ.??? ἔχω διακείμενον τ.?? cf 11 ‖* [15] *scr ὁμιλήσας? ‖ ἀγ.] scr ἀγαπᾷ τὸν? ‖* [28] *scr ὃς? ‖* [29] *scr Στρατοκλεῖ? an Στρατόκλη uocatiuo? cf 30; 59, 25; (61, 17) narr 366, 20 ‖* [32] *ὁ sup scr V ‖ scr Στρατοκλέους? ‖* [33] *scr προσεδόκων??*

μᾶλλον στένειν σε καὶ ἀκαθέκτως δακρύειν σύμβολόν με πεποίηται πρὸς τὸ ἤδη ἀναπεπαῦσθαι, ὅτι οὐ μάτην πεποίημαι πρὸς σὲ τοὺς συγγενεῖς μου λόγους.

12 Καὶ ὁ Στρατοκλῆς αὐτῷ ἀπεκρίνατο· Μὴ νόμιζε μακαριώτατε Ἀνδρέα ὅτι ἑτερόν τί ἐστιν τὸ ἀνιῶν με ἀλλ' ἢ σύ· οἱ γὰρ διὰ σοῦ ἐξιόντες λόγοι πυρὶ ἀκοντιζόμενοι εἰς ἐμὲ ἐοίκασιν, καὶ ἐμοῦ ἕκαστος αὐτῶν καθικνεῖται ὡς ἀληθῶς ἐκκαίων με· τῆς ψυχῆς μου τὸ πρὸς τοῖς ἠκουσμένοις ὂν τὴν μετὰ τούτων ἀνίαν μαντευόμενος κολάζεται· ἀπαλλάσσῃ γὰρ αὐτός, καὶ εὖ οἶδα ὅτι καλῶς· τὴν δὲ μετὰ ταῦτά σου ἐπιμέλειαν καὶ στοργὴν ζητῶν ποῦ εὕρω ἢ ἐν τίνι; τὰ μὲν σπέρματα τῶν σωτηρίων λόγων δέδεγμαι σοῦ ὄντος τοῦ σπορέως· τὸ δὲ ἀναβλαστῆσαι ταῦτα καὶ ἐκφῦναι οὐχ ἑτέρου ἀλλὰ σοῦ δεῖται Ἀνδρέα μακαριώτατε. καὶ τί γὰρ ἔχω σοι εἰπεῖν ἀλλ' ἢ τοῦτο; πολλοῦ ἐλέου δέομαι καὶ βοηθείας τῆς παρὰ σοῦ, ὅπως δυναίμην ἄξιος γενέσθαι ὧν ἔχω σου σπερμάτων· ἃ οὐκ ἄλλως ἐπιδώσει ἄληκτα καὶ εἰς τὸ φανερὸν ἀνίσχοντα μὴ οὐχὶ σου βουληθέντος καὶ εὐξαμένου ὑπὲρ αὐτῶν καὶ ἐμοῦ ὅλου.

13 Καὶ ὁ Ἀνδρέας αὐτῷ ἀπεκρίνατο· Ταῦτα ἦν τέκνον ἃ καὶ αὐτὸς ἑώρων ἐν σοί· καί μου τὸν κύριον δοξάζω ὅτι μου ἡ περὶ σὲ ἔννοια οὐ κενεμβάτησεν, ἀλλ' οἶδεν ὃ εἶπεν. ὅπως δὲ εἰδῆτε, αὔριόν με ὁ Αἰγεάτης εἰς τὸ ἀνασκολοπισθῆναι παραδίδωσιν. ἡ γὰρ τοῦ κυρίου δούλη Μαξιμίλλα ταράξει τὸν ἐν αὐτῷ ἐχθρόν, οὗ ἐστιν ἐκεῖνος ἴδιος, μὴ συντιθεμένη αὐτῷ τὰ αὐτῆς ἀλλότρια· καὶ εἰς ἐμὲ στραφεὶς δόξει ἑαυτὸν παρηγορεῖν.

14 Ἡ δὲ Μαξιμίλλα ταῦτα τοῦ ἀποστόλου λέγοντος οὐ παρῆν· ἐκείνη γὰρ τοὺς λόγους κατακούσασα οὓς πρὸς αὐτὴν ἀπεκρίνατο, καὶ τρόπον τινὰ διατεθεῖσα ἐπ' αὐτῶν καὶ γενομένη τοῦτο ὅπερ οἱ λόγοι ἐδείκνυον, ἐξορμήσασα οὐκ ἀκρίτως οὐδὲ ἀστοχάστως παρεγένετο εἰς τὸ πραιτώριον. καὶ τῷ παντὶ βίῳ ἅμα τῆς σαρκὸς χαίρειν φράσασα, καὶ τοῦ Αἰγεάτου ἀνενεγκόντος αὐτῇ τὴν ὁμοίαν ἀξίωσιν περὶ ἧς ἔφησεν αὐτῇ διασκέψασθαι, εἰ ἄρα βούλοιτο αὐτῷ συγκαθεύδειν, ἀπειπαμένης δέ, περὶ τὴν τοῦ Ἀνδρέου ἀναίρεσιν λοιπὸν ἐτέτραπτο, καὶ ἐσκέπτετο ποίῳ θανάτῳ αὐτὸν περιβάλοι. καὶ ὡς ἐπεκράτησεν αὐτῷ τῶν πάντων μόνον τὸ ἀνασκολοπισθῆναι, ἀπιὼν μὲν αὐτὸς ἅμα τοῖς ὁμοίοις ἐσιτίζετο· ἡ δὲ Μαξιμίλλα προηγουμένου αὐτῆς

---

[1] *scr* μοι? ‖ [6] *scr* ἀκοντιζομένῳ? *cf narr* 363, 17 ‖ [8] με· ⟨καὶ⟩? ‖ [9] *scr* ταῦτα?? *cf* 10 ‖ *ante* ἀνίαν *eras* κ *V* ‖ *scr* μαντευόμενον? ‖ [21] *scr* οὐκ ἐκενεμβάτησεν? ‖ [28] τινὰ *in mg V* ‖ *scr* ἐν αὐτῷ?? (*cf Th c* 26) *an* ἐπ' αὐτόν?

τοῦ κυρίου ἰδέᾳ τοῦ Ἀνδρέου ἅμα τῇ Ἰφιδάμᾳ πάλιν παραγίνεται εἰς τὸ δεσμωτήριον. καὶ ὄχλου πλείονος ὄντος ἔνδον τῶν ἀδελφῶν καταλαμβάνει αὐτὸν λόγους ποιούμενον τοιούτους·

15 Ἐγὼ ἀδελφοὶ ἐξεπέμφθην ὑπὸ τοῦ κυρίου ἀπόστολος εἰς τὰ κλίματα ταῦτα ὧν με κατηξίωσεν ὁ κύριός μου, διδάξαι μὲν οὐδένα, ὑπομνῆσαι δὲ πάντα τὸν συγγενῆ τῶν λόγων ἄνθρωπον, ὅτι ἐν κακοῖς τοῖς προσκαίροις διάγουσι, τερπόμενοι ταῖς ἐπιβλαβέσιν αὐτῶν φαντασίαις· ὧν ἀεὶ καὶ ὑμᾶς παρεκάλεσα ἐκστῆναι καὶ ἐπὶ τὰ μόνιμα ἐπείγεσθαι προτρέψασθαι καὶ πάντων ῥευστῶν τὴν φυγὴν ποιήσασθαι· ὁρᾶτε γὰρ μηδένα ὑμῶν ἱστάμενον, ἀλλὰ τὰ πάντα εὐμετάβολα μέχρι ἠθῶν ἀνθρωπίνων· τοῦτο δὲ συμβαίνει διὰ τὴν ἀπαίδευτον ψυχὴν τὴν εἰς φύσιν πλανηθεῖσαν καὶ κατὰ τῆς πλάνης ἐνέχυρα κατέχουσαν. μακαρίους οὖν ἐκείνους τίθεμαι τοὺς κατηκόους τῶν κεκηρυγμένων λόγων γεγονότας καὶ δι᾽ αὐτῶν μυστήρια ὀπτριζομένους περὶ τὴν ἰδίαν φύσιν, ἧς ἕνεκεν τὰ πάντα ᾠκοδόμηται.

16 ἐντέλλομαι τοιγαροῦν ἠγαπημένα τέκνα, ἐποικοδομεῖσθε ἑδραίως ἐπὶ τῷ θεμελίῳ τῷ καταβεβλημένῳ ὑμῖν, ὄντι ἀσαλεύτῳ καὶ ἀνεπιβουλεύτῳ παντὶ τῷ πονηρευομένῳ. ἐπὶ τοῦτον τὸν θεμέλιον ῥιζώθητε· στηρίχθητε μνημονεύοντες ὧν ὅσα τε γεγόνασιν συναναστρέφοντός μου πᾶσιν ὑμῖν. εἴδετε δι᾽ ἐμοῦ ἔργα γεγονότα οἷς οὐκ ἔχετε ἀπιστῆσαι αὐτοῖς, γεγονότα σημεῖα τοιαῦτα ἃ καὶ τάχα ἡ ἄλαλος φύσις κεκράξεται· λόγους ὑμῖν παρέδωκα οὓς εὔχομαι οὕτως καταδέχεσθαι ὑφ᾽ ὑμῶν ὡς αὐτοὶ οἱ λόγοι θέλουσιν. στηρίζεσθε οὖν ἀγαπητοὶ ἐπὶ πᾶσιν οἷς εἴδετε, οἷς ἠκούσατε, οἷς ἐκοινωνήσατε· καὶ ὑμᾶς ὁ θεὸς εἰς ὃν ἐπιστεύσατε ἐλεήσας εὐαρέστους παραστήσει ἑαυτῷ ἀναπεπαυμένους εἰς ἅπαντας αἰῶνας.

17 τὸ δὲ περὶ ἐμὲ μέλλον συμβαίνειν μὴ ὄντως ταρασσέτω ὑμᾶς ὥς τι ξένον θαῦμα, ὅτι ὁ τοῦ θεοῦ δοῦλος, ᾧ πολλὰ παρέσχετο αὐτὸς ὁ θεὸς δι᾽ ἔργων καὶ λόγων, οὗτος βίᾳ ὑπὸ ἀνθρώπου πονηροῦ ἀπελαύνεται τούτου τοῦ προσκαίρου βίου· οὐ μόνον γὰρ περὶ ἐμὲ τὸ τοιοῦτον συμβήσεται, ἀλλὰ καὶ εἰς πάντας τοὺς ἠγαπηκότας καὶ εἰς αὐτὸν πεπιστευκότας καὶ αὐτὸν ὁμολογοῦντας· ὁ πάντα ἀναιδὴς διάβολος τὰ ἴδια τέκνα ὁπλίσει κατ᾽ αὐτῶν, ὅπως αὐτῷ συνθῶνται· καὶ οὐχ ἕξει ὃ βούλεται. καὶ διὰ τί ταῦτα ἐπιχειρεῖ ἐγὼ φράσω· ἀπὸ μὲν τῆς

---

[9] *scr* προέτρεψα? ‖ [10] πάντων ⟨τῶν⟩? ‖ *scr* μηδὲν?? ‖ [11] *scr* μέχρις? *cf* 41, 34 ‖ [13] κατὰ] *scr* κακὰ?? τὰ? ‖ [15] *scr* κατοπτριζομένους?? ‖ [17] *scr* τέκνα ἐποικοδομεῖσθαι? *cf* 20 *et narr* 364, 28 ‖ [20] ὧν ⟨ἐθεάσασθε⟩ *uel* ⟨ἠκούσατε⟩? ‖ [29] *scr* οὕτως?? ‖ [30] *scr* θέαμα? ‖ [34] τοὺς ⟨αὐτὸν⟩?

πάντων ἀρχῆς, καὶ ἤδη λέγειν ἐξ οὗπερ ὁ ἄναρχος τῇ ὑπ' αὐτὸν ἀρχῇ κατῆλθεν, ἀπωθῆσαι ὁ πολέμιος εἰρήνης ἀλλότριος τὸν μὴ ἴδιον, ἀλλὰ μόνον τινὰ τῶν ἀσθενεστέρων καὶ περιφανῆ καὶ μηδέπω δυνάμενον γνωρίζεσθαι· καὶ διὰ τὸ μηδὲ αὐτὸν ἐπίστασθαι, τούτου ἕνεκεν ἐκεῖνον ὑπ' αὐτοῦ ἐχρῆν πολεμεῖσθαι· δόξας γὰρ αὐτὸν ἔχειν καὶ δεσπόζειν αὐτοῦ εἰσαεὶ τοσοῦτον αὐτῷ ἀντιφέρεται ὡς τὴν αὐτῶν ἔχθραν φιλίας παραπλησίας ἐργάζεσθαι. ὑποβάλλων γὰρ αὐτῷ τὰ ἴδια πολλάκις διέγραψεν ἐνήδονα ὄντα καὶ ἀπατηλά, δι' ὧν αὐτοῦ περ.κρατεῖν ἐδόκει· ἐχθρὸς μὲν οὖν ἐδείκνυτο εἰς τὸ φανερόν, προσποιούμενος φιλίαν τὴν αὐτοῦ ἀξίαν.

18 *καὶ τοῦτο ἦν αὐτῷ ἔργον ἐπὶ πολὺ γινόμενον, ὡς εἰς λήθην γνωρίζεσθαι ἐκείνῳ, γνωρίσαι αὐτόν· τοῦτ' ἔστιν οὗτος διὰ τὰ ἑαυτοῦ δῶρα. ἀλλ' ὅτε τῆς χάριτος μυστήριον ἐξήφθη, καὶ ἡ βουλὴ τῆς ἀναπαύσεως ἐφανερώθη, καὶ τὸ τοῦ λόγου φῶς ἐδείχθη, καὶ τὸ σῳζόμενον γένος ἠλέγχθη πολλαῖς ἡδοναῖς πολεμούμενον, τὸν ἀλλότριον αὐτὸν καταφρονούμενον, ἑαυτὸν εἰς τὰ ἑαυτοῦ δῶρα διαγελώμενον, δι' ὧν αὐτοῦ ἐδόκει καταφρυοῦσθαι διὰ τὴν τοῦ ἐλεήσαντος χρηστότητα, ἤρξατο πρὸς ἡμᾶς μίσει καὶ ἔχθρᾳ καὶ ἐπεξαναστάσει ἀντιπλέκειν· καὶ τοῦτο ἐν ἔργῳ τέθειται, μὴ παύσασθαι ἀφ' ἡμῶν μέχρις ἂν νομίζῃ χωρίζειν. τότε μὲν γὰρ ἀμέριμνος ἦν ὁ ἡμῖν ἀλλότριος, καὶ φιλίαν προσεποιεῖτο στέλλεσθαι πρὸς ἡμᾶς τὴν αὐτοῦ ἀξίαν· εἶχεν δὲ καὶ τὸ μὴ φοβεῖσθαι μὴ ἀποστῶμεν πεπλανημένοι ὑπ' αὐτοῦ. τὸ δὲ τῆς οἰκονομίας χρῆμα ἐξαφθὲν οὐ λέγω ἰσχυροτέραν· τὸ γὰρ κρυπτόμενον αὐτοῦ τῆς φύσεως καὶ τὸ δοκοῦν λανθάνειν, τοῦτο ἤλεγξεν καὶ ὁμολογεῖν ὅ ἐστιν παρεσκεύασεν. ἐπιστάμενοι τοιγαροῦν τὸ μέλλον ἔσεσθαι ἀδελφοὶ διυπνιζώμεθα, μὴ δυσφοροῦντες, μηδὲ σχηματιζόμενοι, μηδὲ ἀποκομίζοντες αὐτοῦ ἴχνη ἐπὶ τῶν ψυχῶν τὰ μὴ ἴδια ἡμῶν· ἀλλὰ ὅλοι ἐν ὅλῳ τῷ λόγῳ ἐπεωρούμενοι τὸ τέλος πάντες ἀσμένως προσδεξώμεθα καὶ τὴν ἀπ' αὐτοῦ φυγὴν ποιήσωμεν, ὅπως καὶ αὐτὸς λοιπὸν δειχθῇ ὡς ἐστὶν τὴν φύσιν ἡμῶν ἐπὶ τὰ ἡμέτερα ...*

---

[1] *ἤδη] scr εἰ δεῖ?* ‖ [2] *aliquid deesse uidetur* ‖ *scr ἀπειθῆσαι??* ‖ *πολέμιος, ⟨ὁ⟩?* ‖ [3] *⟨μὴ⟩ περιφανῆ?* ‖ [7] *scr παραπλησίαν* ‖ [9] *scr περικρατεῖν (post περ membrana pertusa est V)* ‖ [10] *οὖν ⟨οὐκ⟩?* ‖ [13] *γνωρίσαι ⟨δὲ⟩?* ‖ [14] *δῶρα ⟨...⟩? cf 18* ‖ *ὅτε ⟨τὸ⟩?* ‖ [17] *τὸν ἀλλ. et q s anacoluthon uid (ἠλέγχθη 16)* ‖ *ἑαυτὸν] scr αὐτὸν?* ‖ [18] *scr κατοφρυοῦσθαι* ‖ [25] *ἰσχυροτέραν ⟨ἀλλ' ἐμφανεστέραν ἀπέδειξεν αὐτοῦ τὴν ἔχθραν⟩?*

Μαρτύριον τοῦ ἁγίου Ἀνδρέου τοῦ ἀποστόλου.

1 *Τῶν μακαρίων ἀποστόλων τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ τὴν ἀνάληψιν αὐτοῦ καθημένων ἐν Ἱερουσαλὴμ ἀναστὰς ἐν μέσῳ αὐτῶν ὁ μακάριος Πέτρος εἶπεν· Ἄνδρες οἱ κληθέντες ὑπὸ τοῦ λόγου τοῦ θεοῦ καὶ ἐκλεχθέντες ὑπ᾽ αὐτοῦ καὶ μαθητευθέντες ὑπὸ τῆς αὐτοῦ σοφίας, δυνάμεις τε καὶ σημεῖα καὶ τέρατα ποιήσαντες διὰ τῆς ἐκείνου ἐνεργείας, πάντως μέμνησθε ὡς ἐνετείλατο ἡμῖν λαβοῦσιν τὸ πνεῦμα τὸ ἅγιον διασπαρῆναι εἰς ὅλην τὴν οἰκουμένην κηρύσσοντας μετάνοιαν καὶ ἄφεσιν ἁμαρτιῶν τοῖς πιστεύουσιν εἰς τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ· καὶ νῦν ἐπιπέπτωκεν ἐπὶ ἕνα ἕκαστον ἡμῶν ἡ δύναμις ἐξ οὐρανοῦ κατελθοῦσα, καὶ ἐκκέχυται ἐφ᾽ ἡμᾶς ἡ δωρεὰ τοῦ ἁγίου πνεύματος, καὶ τῷ ὅπλῳ τῆς εὐσεβείας καλῷ λόγῳ ἐστεφανώθημεν, καὶ ἡ χάρις τοῦ ἡμετέρου δεσπότου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ πλουσίως ἔφθασεν εἰς ἡμᾶς· ἡμεῖς δὲ ὀκνοῦμεν καὶ ῥαθυμοῦμεν ἐξελθεῖν ἐπὶ τὸ ἔργον εἰς ὃ προσκέκληται ἡμᾶς καὶ εἰς ὃ ἐξελέξατο ἡμᾶς;*

2 *Καὶ ἀναστάντες ἔβαλον κλήρους τίς ποῦ ἀπέλθῃ καὶ ὁποῖον ἔθνος περιποιήσειαν αὐτῶν. καὶ ἐκληρώθη Πέτρος τὴν*

V Vaticanus gr 807 s IX aut X
C Petroburgensis Caesareus gr 94 s XII

[1] *ἀπ. ἀνδ. (om τοῦ) C ‖ [3] καθ.] αὐτῶν add V ‖ εἰς C ‖ [4] ἐν - Π.] πετρὸς ἐν μέσω C ‖ [5–6] ὑπὸ - μαθ. om C ‖ [6] δυνάμει C ‖ [7] πάντες V ‖ [8] λαβόντων C ‖ [9] κηρύσσιν C ‖ [11] ἐπιπ. om V ‖ ἐπὶ ἕ. ἕκ.] ἐνῆ ἑκάστω C ‖ ὑμῶν V ‖ [11–12] ἡ - κατ. om C: del?? ‖ [11] δύναμις <τοῦ θεοῦ>?? ‖ [12] ἐφ᾽] εἰς C ‖ [13] τὸ ὅπλον τῆς εὐδοκίας τοῦ λόγου ἐστεφάνωσεν ἡμᾶς C: cf 54, 8 ‖ [14] ἡ] μὲν add C ‖ δ. καὶ] δ. C ‖ [15] εἰς ἡμ. ἔ. C ‖ [16] καὶ ῥ. om C: del? ‖ εἰσελθεῖν εἰς V ‖ εἰς ὃ] ὡς C ‖ προκέκληκεν C: scr προκέκληται? ‖ [17] καὶ εἰς - ἡμᾶς] καὶ ἀμελοῦμεν τῆς σωτηρίας ἡμῶν δεῦτε οὖν δοῦλοι τοῦ παντοκράτορος θεοῦ καὶ ἀγαπητοὶ τοῦ λόγου καὶ υἱοὶ τῆς μακαρίας δυνάμεως μετὰ προθυμίας πολλῆς δυνάμει τοῦ θεοῦ C: cf 48, 16; 51, 10; 52, 4; 23; 53, 6 ‖ [18] καὶ om C ‖ βάλλωμεν C ‖ τί ὅπου ἀπελθὼν V ‖ [19] οἷον C ‖ ἔθνος π. α.] τοῦ χριστοῦ περιποιήσιται λαὸν C ‖ scr περιποιήσῃ? περιποιήσηται? ‖ Π.] εἰς add C*

περιτομήν· Ἰάκωβος καὶ Ἰωάννης τὴν ἀνατολήν· Φίλιππος τὰς πόλεις τῆς Σαμαρείας καὶ τὴν Ἀσίαν· Βαρθολομαῖος τὴν Ἀλβανόπολιν· Ματθαῖος τὴν Παρθίαν καὶ τὴν Μυρμηνίδα πόλιν· Θωμᾶς τὴν μεγάλην Ἀρμενίαν καὶ τὴν Ἰνδικὴν χώραν· Λεβέος καὶ Θαδδαῖος τὴν Βερονικίδα· Σίμων ὁ Κανανίτης τὴν Βαρβαρίαν· μετὰ τοὺς πάντας ἔλαχεν καὶ τὸν Ἀνδρέαν ἡ Βυθινία καὶ ἡ Λακεδαιμονία καὶ Ἀχαΐα.

3 Διασπαρέντες οὖν πάντες εἰς τὰ κλίματα τῆς οἰκουμένης ἔρχεται Ἀνδρέας ὁ ἀπόστολος διελθεῖν τὴν Βυθινίαν καὶ διδάξαι τοὺς πολλοὺς τὸν λόγον τοῦ θεοῦ· ἐκεῖθεν εἰσῆλθεν εἰς Πάτρας τῆς Ἀχαΐας. καὶ εἰσελθόντος αὐτοῦ εἰς τὴν πόλιν φήμη ἐξῆλθεν ὡς ἄνθρωπος ξένος εἰσῆλθεν εἰς τὴν πόλιν μηδὲν ἐπιφερόμενος εἰ μὴ μόνον ὄνομα ἀνθρώπου τινὸς Ἰησοῦ, δι' οὗ σημεῖα ποιεῖ καὶ τέρατα μεγάλα καὶ νόσους θεραπεύει καὶ δαίμονας ἐκβάλλει καὶ νεκροὺς ἐγείρει καὶ λεπροὺς καθαρίζει καὶ πᾶν πάθος θεραπεύει. ἀκούσας δὲ ὁ ἀνθύπατος Λέσβιος ἐταράχθη λέγων· Μάγος ἐστὶν καὶ ἀπατεών· οὐ χρὴ ἡμᾶς προσέχειν αὐτόν, ζητεῖν δὲ μᾶλλον παρὰ τῶν θεῶν τὴν εὐεργεσίαν. Καὶ ἐζήτει συλλαβόμενος αὐτὸν ἀνελεῖν.

4 Νυκτὸς δὲ ἐπιστὰς ἄγγελος κυρίου τῷ ἀνθυπάτῳ λέγει μετὰ ἐπιστασίας μεγάλης καὶ ἀπειλῆς φοβερᾶς· Τί παθὼν παρὰ τοῦ ξένου ἀνδρὸς κακὸν ἐλογίσω ἔνεδρα καὶ παρελογίσω τὸν θεὸν ὃν κηρύττει; καὶ νῦν ἰδοὺ χεὶρ κυρίου αὐτοῦ ἐπὶ σὲ καὶ

---

[1] Ἰω.] εἰς add C ‖ Φ.] εἰς add C ‖ [2] κ. τ. Ἀσ. om C ‖ Β. τ. om V ‖ Β.] εἰς add C ‖ [3] βουνόπολιν V ‖ Μ.] εἰς add C ‖ κ. τ. Μ. π. om C ‖ [4] Θ.] εἰς add C ‖ κ. τ. Ἰ. χ.] τῆς ἰνδίας C ‖ Λ. om C: scr Λεββαῖος ⟨ὁ⟩? ‖ [5] καὶ om C ‖ θαδέος V εἰς add C ‖ βερονικίαδαν C ‖ Κ.] εἰς add C ‖ [6] μ. τ. π. ἔλ. κ.] ἔλ. δὲ μ. π. τ. ἀποστόλους C ‖ βυθυνία C: scr Βιθυνία? cf 9 ‖ [6–7] κ. ἡ Λ. κ. Ἀ. om C ‖ [8] διασπαρέντων C ‖ πάντες om C ‖ [9] scr ἄρχεται? ‖ διελθὼν V ‖ τὴν om C ‖ βυθυνίαν C βυθηνίαν V: scr Βιθυνίαν? cf 6 ‖ [9–10] καὶ δ. - εἰσῆλθεν om C ‖ [9] διδάξαι||| V ‖ [11] ἐν τῇ πόλει C ‖ [12] ἐξ.] ἐδόθη C: scr διεδόθη?? cf laud 335, 21; 26 ‖ ὅτι C (λεγόντων ὅτι laud 335, 22) ‖ εἰσ.] γυμνὸς ἦλθεν C ‖ ἐν τῇ πόλει C ‖ [12–13] μηδὲν - μόνον] φησὶν ἔρημος διδύκων φησὶν C ‖ [13] ἀνθρ. om C: del? ‖ [14] ποιεῖ post τέρ. C ‖ [14–16] καὶ δ. - θερ. om C ‖ [16] ὁ δὲ ἀνθ. λέσβ. ταῦτα ἀκ. C ‖ [17] μάγ. ἐ. κ. ἀπ.] μάγ. τις κ. ἀπ. ἐ. οὕτως ὅτινι C ‖ πιστεύειν C: cf laud 335, 29 ‖ [18] αὐτόν om C: scr αὐτῷ? cf laud 335, 30 ‖ μᾶλλον] ὃν add V ‖ παρὰ om C: cf laud 335, 30 ‖ [19] ἐζ.] εὐθέως ἠβουλήθην C ‖ ἀν. α. C ‖ [20] δὲ] γενομένης add C ‖ ἐπ.] ὁ add C ‖ λ. τῷ ἀ. C ‖ [21] μετὰ - φοβ. om C ‖ [21–22] κακὸν π. τ. ξ. ἀ. C ‖ [22] del κακὸν? (δεινὸν laud 336, 4) ‖ ἀνδρέου V ‖ ἔν.] διαχειρίσασθαι αὐτὸν C (κενὰ κατ' αὐτοῦ laud 336, 4 e psalmo 2, 1) ‖ [22–23] καὶ - κηρύττει om C ‖ [23] νῦν om C ‖ αὐτοῦ om C (θεοῦ αὐτοῦ laud 336, 5)

ἔσῃ παραπλὴξ ἕως οὗ ἐπιγνῷς δι' αὐτοῦ τὴν ἀλήθειαν. Καὶ γενόμενος ἀπ' αὐτοῦ ὁ ἄγγελος ἀφανής, ἐκεῖνος ἐτέθη ἄφωνος· καὶ μετ' ὀλίγον ἀνανήψας ἐκάλει τοὺς διακονοῦντας αὐτῷ στρατιώτας καὶ ἔλεγεν αὐτοῖς μετὰ δακρύων· Ἐλεήσατέ με· σπεύσατε, ἀναζητήσατε ἐν τῇ πόλει ξένον ἄνθρωπον ὀνόματι Ἀνδρέαν καλούμενον ὃς κηρύττει ξένον θεόν· δι' οὗ δυνήσομαι ἐπιγνῶναι τὴν ἀλήθειαν. Καὶ μετὰ σπουδῆς ἀναζητήσαντες τὸν μακάριον Ἀνδρέαν τὸν ἀπόστολον καὶ εὑρόντες αὐτὸν ἄγουσιν πρὸς τὸν ἀνθύπατον· ὁ δὲ ἀνθύπατος θεασάμενος αὐτὸν πίπτει πρὸς τοὺς πόδας αὐτοῦ καὶ δεόμενος αὐτοῦ ἔλεγεν· Ἄνθρωπε τοῦ θεοῦ, ξένε καὶ γνῶστα ξένου θεοῦ, ἐλέησον ἄνθρωπον πεπλανημένον, ἄνθρωπον τῆς ἀληθείας ξένον, ἄνθρωπον κατεστιγμένον ταῖς κηλῖσι τῶν ἁμαρτημάτων, ἄνθρωπον θεοὺς εἰδότα πολλοὺς ψευδεῖς καὶ τὸν μόνον θεὸν τὸν ἀληθινὸν ἀγνοοῦντα· δέομαι τοῦ ἐν σοὶ θεοῦ, ὄρεξόν μοι χεῖρα σωτηρίας· ἄνοιξόν μοι θύραν γνώσεως· ἐπίλαμψόν μοι φῶς δικαιοσύνης.

5 *Καὶ ὁ μακάριος ἀπόστολος κατανυγεὶς καὶ ἐπιδακρύσας τοὺς λόγους τοῖς τοῦ ἱκέτου, ὑψώσας τοὺς ὀφθαλμοὺς αὐτοῦ εἰς τὸν οὐρανόν, ἐπιτιθεὶς τὴν χεῖρα αὐτοῦ τὴν δεξιὰν τῷ παντὶ σώματι αὐτοῦ εἶπεν· Ὁ ἐμὸς θεὸς Ἰησοῦς Χριστός, ὁ ἀγνοούμενος ὑπὸ τοῦ κόσμου, νῦν δὲ δι' ἡμῶν φανερούμενος· ὁ υἱὸς τοῦ θεοῦ τοῦ λόγου· ὁ πρὸ πάντων καὶ ἐν πᾶσιν χωρῶν· ἅψαι*

---

[1] *παρ.] καὶ παραλελυμένος add C ‖ οὗ] ἐπιστρέψας διὰ τῆς μετανοίας add C ‖ τ. ἀλ. διάυτοῦ C ‖ [1–2] καὶ - ἀφαν.] ταῦτα δὲ εἰπῶν ὁ ἄγγελος ἀπῆλθεν ἀπαυτοῦ C ‖ [2] ἐκ.] ὁ δὲ ἀνθύπατος λέσβιος C ‖ ἄφ.] δεινῶς βασανιζόμενος add C ‖ [3] μ. ὀλ.] μετὰ πολλοὶ C: scr μετ' οὐ πολύ?? (μετὰ μικρὸν laud 336, 8) ‖ ἀναν.] καὶ εἰς ἑαυτὸν ἐλθῶν add C ‖ καλεῖ C ‖ διακ. α.] ἑάυτοῦ C ‖ στρ.] μεγάλη τῇ φωνῇ add C ‖ [4] λέγει C ‖ α. μ. δ. om C ‖ με] δέομαι ὑμῶν add C ‖ [4–5] σπ. ἀν.] καὶ ζητήσατε σπουδῇ C: cf 7 ‖ [5–6] ὀν. - θεόν om C ‖ [5] ὀνόμ. del? ‖ [6] οὗ] ἐπιστραφεὶς add C ‖ [6–7] δυνήσωμεν γνῶναι V: cf laud 336, 12 ‖ [7] καὶ] εὐθέως add C ‖ σπ.] οἱ στρατιῶται add C ‖ [8] μακ.] μέγαν V ‖ τ. ἀπ. om C: del? ‖ [9–10] πίπτει - ἔλ] ἐβόα λέγων C ‖ [11] τ. θ. om C ‖ γν. ξ. θ.] ἄγνωστε τῶν ἡμετέρων τόπων θεοῦ δοῦλε C ‖ ἐλ.] με δαίομε σου add C ‖ [11–12] ἄνθ. π. - ξ.] τὸν πλανημένον ἀπὸ τῆς ἀλ. C ‖ [13] ταῖς - ἁμ.] τοῖς ἁμαρτίμασι C ‖ [14] ψ. - ἀλ.] τὸν δὲ ἀλ. θ. C ‖ [15] ἐν σοί] σοῦ C ‖ ὄρ.] δῶς C ‖ χεῖραν C ‖ [16] ἐπ. - δικ.] φιλόξενός μοι φάνιθι ἐταζωμένω καὶ μὴ ἀποκλήσις με τοῦ οἴκου σου τοῦ ἁγίου ἀλλησδέξαι με ἐν τῇ σκηνή σου ὡς χριστὸς (compendio: l χρηστὸς) καὶ φιλευσεβῆς ἀνήρ C: cf 46, 17 ‖ [17] καὶ ὁ] ὁ δὲ C: cf 50, 4; 10; 18; 51, 7; cet ‖ ἀπ.] ἀνδρέας C ‖ [17–18] ἐπιδ. - αὐτοῦ] ἀνανεύσας C ‖ [18] scr τοῖς λόγοις: cf laud 336, 21 ‖ οἰκέτου V ‖ [19–20] ἐπιτ. - σώμ. α.] καὶ C ‖ [20] Ἰ. om V: cf laud 336, 24 ‖ Χρ.] ἐστὶν add C ‖ [21] φαν. δι' ὑμῶν C ‖ [22] θ. τ. λ.] εὐλογητοῦ C fort recte (θυ compend ex εὐ): cf laud 336, 25 ‖ πάντων<ὢν>? cf laud 336, 26 ‖ χορῶν C χειρῶν V*

τοῦ δούλου σου καὶ σκεῦος σὸν ἀπεργασάμενος ἴασαι, ἵνα καὶ αὐτὸς ἔσται τῶν σῶν ἀνθρώπων, κηρύσσων τὴν σὴν δραστήριον δύναμιν. Καὶ παραχρῆμα πιάσας αὐτὸν τῆς δεξιᾶς χειρὸς ἀνέστησεν· ἀναστὰς δὲ ἀνθωμολογεῖτο τῷ κυρίῳ λέγων· Ὄντως οὗτος θεὸς ἄνθρωπε ξένε, οὗ δεόμενος ὡρῶν οὔτε ἡμερῶν οὔτε χρόνων· διὰ τοῦτο πρόσκειμαί σοι μετὰ παντὸς τοῦ οἴκου μου· πιστεύω εἰς τὸν ἀποστείλαντά σε πρὸς ἡμᾶς. Καὶ ὁ Ἀνδρέας πρὸς αὐτὸν ἔφη· Ἐπειδὴ μεγάλως πεπίστευκας εἰς τὸν ἀποστείλαντά με, περισσοτέρως καὶ τῆς γνώσεως ἐμπλησθήσῃ.

6 Ὡς δὲ ἐν τούτοις ἦν, πᾶσα ἡ πόλις ἔχαιρεν ἐπὶ τῇ σωτηρίᾳ τοῦ ἀνθυπάτου, πανταχόθεν συνήρχοντο ὄχλοι ἐπιφερόμενοι τοὺς ἀσθενοῦντας ποικίλοις νόσους· καὶ εὐξάμενος αὐτοῖς καὶ ἐπικαλεσάμενος τὸν κύριον Ἰησοῦν Χριστὸν ἐπιθεὶς τὰς χεῖρας ἰάσατο πάντας· καὶ θάμβος κατέλαβεν πάντας τοὺς κατοικοῦντας τὴν πόλιν, καὶ βοῶντες ἔκραζον· Μεγάλη ἡ δύναμις τοῦ ξένου θεοῦ· μέγας ὁ θεὸς ὁ κηρυττόμενος παρὰ τοῦ ξένου Ἀνδρέα· ἡμεῖς ἀπὸ τὴν σήμερον τὰ ξόανα ἡμῶν τῶν εἰδώλων ἀπόλλυμεν, τὰ ἄλση αὐτῶν συγκόψωμεν, τὴν πολύθεον γνῶσιν τῶν ματαίων εἰδώλων καὶ δαιμόνων ἐκτρεπόμεθα· τὸν θεὸν δὲ μᾶλλον τὸν ἀληθινὸν τὸν ὑπὸ Ἀνδρέου κηρυττόμενον ἐπιγινώ-

[3] cf act ap 3, 7

[1] *καὶ om C* ‖ *ἴ.] καὶ βοήθησον αὐτὸν add C* ‖ [1–2] *ἔστιν κ. α. C* ‖ [2] *ἀνθ.] δούλων C (προβάτων laud 336, 30)* ‖ *κ. τ. σ.] ἰσχύρωσόν σου τὴν C* ‖ [3] *δυναστείαν C* ‖ *π. α.] λαβὼν αὐτοῦ C* ‖ *δεξ. om C* ‖ *ἀν.] αὐτὸν ἀπὸ τὴν γὴν add C* ‖ [4] *δὲ] ὁ ἀνθύπατος add C* ‖ *τῷ κ. om V: cf laud 336, 32* ‖ [5] *οὗτος - οὗ] ξ. ἄνθ. μέγας ἐστὶν ὁ θ. σου μὴ C* ‖ *ὡρῶν οὔτε om C* ‖ [5–6] *ἡμέρας μήτε χρόνου et add ἃ δὲ θέλει ποιεῖ καὶ ὧ ἐνθυμήτε πράττη ἀντιλέγει δὲ ἀυτῶ οὐδὲν C* ‖ [6] *πρόημί C* ‖ [7] *σε] θεὸν add C* ‖ [7–8] *καὶ - ἔφη] ὁ δὲ ἀπόστολος ἀνδ. εἶπεν C* ‖ [8] *ἐπεὶ V: cf laud 337, 4* ‖ *ἐπίστευσας C* ‖ [9] *καὶ om C: del?? cf laud 337, 5* ‖ *γν.] αὐτοῦ add C* ‖ [11] *⟨καὶ⟩ πᾶσα??* ‖ *scr χαίρουσα??? cf laud 337, 7* ‖ *ἐν C* ‖ [12] *ὄχλοι] πλείωνες C* ‖ *φέροντες C* ‖ [13] *ἀσθ.] κακῶς ἔχοντας C* ‖ *π. ν. om V (cf laud 337, 9): scr ποικίλαις νόσοις?? an ⟨ἔχοντας⟩ ποικίλας νόσους?* ‖ *scr ἐπευξάμενος? cf laud 337, 9* ‖ *αὐτ.] ὁ ἅγιος ἀνδρέας add C* ‖ [14] *τ. κύρ. om V: cf laud 337, 10* ‖ *Χρ. del? cf laud 337, 10* ‖ [14–15] *ἐπ. τ. χ. om C* ‖ [15] *ἰ. π.] π. ὑγιεῖς ἀπεκατέστησεν C* ‖ *κ. θ. κ. π.] θ. δὲ μέγας ἔλαβες C* ‖ [16] *καὶ] πάντες add C* ‖ *ἔκραξαν V: cf laud 337, 12* ‖ [17] *ξ. θ.] θ. τοῦ ξ. ἀνθρώπου τούτου V: cf laud 337, 13* ‖ [17–18] *π. - Ἀ.] ὑπ' αυτοῦ C* ‖ [18] *ἡμ.] δὲ add C* ‖ *τὴν] scr τῆς?* ‖ *τὰ - εἰδ.] τῶν ξοάνων ἡμῶν C* ‖ *scr τ. εἰδ. ἡμ.? del τ. εἰδ.??* ‖ [19] *ἀπολέσαμεν V: scr ἀπολέσωμεν??* ‖ *τὰ - συγκ. om C* ‖ *scr συγκόπτομεν?* ‖ [20] *ματ. - δαιμ.] μιαρῶν θεῶν C* ‖ *ἐκτρ. om C* [20–21] *τὸν θ. - ἀλ.] καὶ ἕνα θεὸν C* ‖ [21] *κηρ. om C* ‖ *ἐπιγ.] διότι add C*

σκομεν· μέγας ὁ θεὸς Ἀνδρέου. Καὶ πάντες ὁμοθυμαδὸν ὁρμήσαντες ἐπὶ τοὺς ναοὺς τοὺς θεοὺς αὐτῶν ἐνέπρησαν, ἐλέπτυναν, ἐξέκοψαν, ἐξουθένησαν, κατεπάτησαν, ἀπώλεσαν λέγοντες· Μόνος ὁ Ἀνδρέου θεὸς ὀνομαζέσθω. Καὶ ὁ ἀνθύπατος Λέσβιος συνέχαιρεν τῇ βοῇ τοῦ δήμου καὶ τῶν ἔργων τοῦ λαοῦ ἠγαλλιᾶτο.

7 Ὡς δὲ χρόνος ἱκανὸς παρῴκησεν, καὶ ὁ λόγος τοῦ μακαρίου Ἀνδρέα καὶ τὸ κήρυγμα αὐτοῦ ἀκωλύτως εἰς πάντας διέδραμεν, ὁ δὲ Καῖσαρ διάδοχον τῷ Λεσβίῳ πέμψας παύει τῆς ἀρχῆς. καὶ ὁ Λέσβιος δεξάμενος τὸ πρόσταγμα τοῦ βασιλέως μετὰ χαρᾶς ἦλθεν πρὸς τὸν μακάριον Ἀνδρέαν λέγων· Νῦν μᾶλλον πιστεύσω τῷ κυρίῳ ἀποδυσάμενος τὴν κενὴν δόξαν καὶ τὸ ἄνθος τοῦ κόσμου ἀποθέμενος καὶ τὸν περισπασμὸν τοῦ βίου ἀπορρίψας. δέξαι με οὖν συνέκδημόν σου ἄνθρωπε τοῦ θεοῦ· δέξαι με πιστὸν πιστῶς λαλοῦντα καὶ διαμαρτυρούμενον πᾶσιν ἀνθρώποις τὰ περὶ τοῦ κοινοῦ σωτῆρος Χριστοῦ. Καὶ καταλιπὼν τὸ πραιτώριον σὺν τῷ Ἀνδρέᾳ διῆγεν.

8 Καὶ ὅραμα ἐν τούτοις εἶδεν ὁ ἀπόστολος Ἀνδρέας· ἔδοξεν τὸν σωτῆρα Χριστὸν ἑστάναι ἄντικρυς αὐτοῦ καὶ λέγει αὐτῷ· Ἀνδρέα ἐπίθες τὸ πνεῦμα ἐπὶ τὸν Λέσβιον καὶ δὸς αὐτῷ τῆς χάριτός σου· καὶ ἄρας τὸν σταυρόν σου ἀκολούθει μοι· ὁ γὰρ ἐκβαλῶν σε ἐκ τοῦ κόσμου σπεύδει ἐν Πάτραις. Λυπνισθεὶς δὲ ὁ ἀπόστολος τὴν ὄψιν τοῦ ὁράματος τοῖς παροῦσιν ἐγνώρισεν· καὶ τὸ τέλος ἐξεδέχετο τοῦ λόγου. καὶ ἰδού τις εἰσπη-

[21] cf Matth 16, 24

---

[1] ὁ] *μ sup scr et θ add C* ‖ πάντες *om C* ‖ ὁμ. *om C* ‖ ὥρμησαν *C* ‖ [2] ἐπὶ] εἰς *C* ‖ τ. να. *om V: cf laud 337, 15* ‖ τ. θ. α. *om C: cf laud 337, 16* ‖ [3] ἐξέκ. *om C* ‖ κατεπ. *om C* ‖ ἀπ.] αὐτοὺς *add C* ‖ [4] θεὸς ἀνδρέου (*om* ὁ) *C* ‖ ὀνομαζέτω *V: scr* νομιζέσθω?? ‖ καὶ ὁ] ὁ δὲ *C: cf 48, 17* ‖ [5] τὸ ἔργον *C: scr* τῷ ἔργῳ? ‖ τ. λ. *om C* ‖ [6] ἠγ. *om V: del?? cf laud 337, 20* ‖ [7] χρ.] ὄχλος *V* (πλήθη *laud 337, 21*) ‖ παρενόχλησεν *V* (συνηθροίζετο *laud*): *scr* παρῴχηκεν ‖ [8] Ἀ.] *fort uerbum intercidit: cf laud 337, 22* ‖ ἀ. ἀκ. *om C* ‖ [9] δὲ *del??* ‖ Κ.] ἕτερον *add C* ‖ τοῦ λεσβίου ἀπέστειλεν *C* ‖ [9–10] π. τ. ἀ. *om C* ‖ [10] καὶ ὁ] ὁ δὲ *C: cf 48, 17* ‖ καίσαρος *C* ‖ [11] νυνὶ *C* ‖ [12] δουλεύσω *C non male* ‖ ἀποθέμενος *C* ‖ κεν.] ματαιάνθρωπίνην *C* ‖ [13] ἀποθ.] τούτου *C* ‖ [13–14] π. τ. β.] βίον τ. πειρασμοῦ *C* ‖ [14] οὖν *om C* ‖ συνέκδικόν *C* ‖ [15] πιστὸν *om V* ‖ πιστοῖς *V* (*laud*) ‖ διαμαρτυράμενον *V: scr* διαμαρτυρόμενον? *cf laud 337, 29* ‖ [16] π. ἀ. τὰ] τῷ ὄχλῳ *C* ‖ σ. Χρ.] σταυροῦ *C* ‖ [17] ἤγετο *C* ‖ [18] καὶ ὅρ.] ὥραμα δὲ *C: cf 48, 17* ‖ βλέπη *C* ‖ ἀπ.] μακάριος *C* ‖ [19] κ. λ.] λέγοντα *C* ‖ *scr* λέγειν? ‖ [20] Ἀ. *om C* ‖ τὸ πν.] τὴν χεῖρα σου *C* ‖ *scr* μετάδος?? *cf 51, 17 et laud 338, 4* ‖ [21] ἄρ. - μοι] δεῦρο ἀκ. μοι ἐπάρας τ. στ. σου *C* ‖ ὁ] αὔριον *V* ‖ [22] ἐκβαλῶ *V* ‖ σπεῦδε *V* ‖ πάτρας *V* ‖ [23] ἀπ.] μακάριος ἀνδρέας *C* ‖ τοῖς *om V* ‖ παρ.] πᾶσιν *V: cf laud 338, 7* ‖ [24] λόγου] τέλους *V*

δήσας τῷ ἀποστόλῳ λέγει· Ὁ Αἰγεάτης ὁ τὴν ἀνθυπατείαν κεχειρισμένος ἀποσταλεὶς παρὰ τοῦ Καίσαρος ἀνηνέχθη εἰς τὰ μέρη τῆς Ἀχαΐας παρά τινων δούλων τοῦ δια..λου κακῶν καὶ ἐχθρῶν ἀνθρώπων· ἀνεδίδαξαν αὐτὸν ὡς ὅτι τοὺς θεοὺς ἀπώλεσας τῆς πόλεως καὶ τοὺς ναοὺς αὐτῶν κατέστρεψας καὶ τὰ ἄλση αὐ... ἐξέκοψας καὶ ἕνα τινὰ ἐσταυρωμένον ἔπεισας προσκυνεῖν. καὶ ἀπέστειλεν δημίους συλλαβέσθαι σε. Καὶ ὁ μακάριος Ἀνδρέας θεὶς τὰ γόνατα εἶπεν· Ἀψευδὴς θεὲ ὁ δηλώσας ἡμῖν τὰ ἐσόμενα, ὁ ἐμὸς δεσπότης, δός μοι μετὰ παρρησίας πρὸς τὰς μηχανὰς τοῦ ἀντικειμένου Αἰγεάτου στῆναι.

9 Καὶ ὡς ἔτι τὴν εὐχὴν ηὔχετο, πρὸ τ.. θυρῶν οἱ δήμιοι ἑστῶτες οἱ .πεσταλμένοι παρὰ τοῦ μι.... Αἰγεάτου ἐθορύβουν τὸν οἶκον ἔνθα ἐξενίζετο ὁ μακάριος ἀπόστολος· καὶ κρατήσαντες Ἀντιφάνην τὸν ξενοδόχον τοῦ δούλου τοῦ θεοῦ ἔσυραν βίᾳ λέγοντες· Ξένον τινὰ μάγον καὶ ἀπατεῶνα καὶ λυμαντὴν τῶν θεῶν καὶ ἀφανιστὴν τῶν ναῶν ἔνδον εἰσαγαγὼν ξένον πλουσίων μετέδωκας καὶ πᾶσαν ἡμῶν τὴν πόλιν μετὰ τῶν θεῶν ἠρήμωσας· τοιγαροῦν εὔθυνον τὸν ξένον καὶ πρόφερε τὸν δοῦλον τοῦ ἐσταυρωμένου οὗ τὸ ὄνομα Ἀνδρέας. ὁ γὰρ Αἰγεάτης ὁ μέγας ἀνθύπατος καὶ περίβλεπτος χρῄζει αὐτοῦ. Σὺν δὲ τῇ βίᾳ παραχρῆμα συνήχθη πᾶσα ἡ πόλις πρὸς τὰς θύρας τοῦ Ἀντιφάνους βοῶσα καὶ λέγουσα· Καῖσαρ ἀπέστειλεν τὸν ..θύ-

---

[1] τῷ ἀπ. *om* C: *del?* ‖ αἰγιάτης C ‖ ἀθυπατείαν C ‖ [2] ἐγχειρισθεὶς C: *scr* ἐγκεχειρισμένος? ‖ ἀπ.] ὁ ἀπ. C ‖ κέσαρ ... ἐνέχθη (*abscisis litteris*) V ‖ [3] Ἀχαΐας· ⟨παρεπείσθη δὲ⟩? ‖ τοῦ δ. κακ. *om* C ‖ *scr* διαβόλου ‖ [4] ⟨οἳ⟩ ἀνεδ.? (*in primore uersu* V) ‖ τοὺς *om* V ‖ θε... (*litt absc*) V ‖ [5] τ. πόλ.] πατρόων C: *scr* Πατρῶν?? *cf* 53, 5 ‖ τ. να. α.] ν... (? *absc*) V ‖ [5–6] καὶ τὰ - ἐξέκ. *om* C ‖ [6] *scr* αὐτῶν ‖ τινὰ ⟨θεὸν⟩?? ‖ ἐσταυρω. νον V (*item multa abscisis litteris usque ad* 52, 5) πάντας *add* C ‖ [7] καὶ] ἰδοὺ *add* C ‖ στρατιώτας C ‖ σ. σε] ὥστε συλληφθέντα ἄγεσθαι πρὸς αὐτὸν C ‖ καὶ ὁ] ὁ δὲ C: *cf* 48, 17 ‖ [8] Ἀ.] ἀκούσας τοὺς λόγους τούτους *add* C ‖ θεὶς] κλήνας C ‖ εἶπεν] πρὸσηύξατο οὕτως C ‖ ἀψ. (ἀψευδῆ V?? *an* ς *abscis?*) θ.] ὁ ἀψ. θεὸς ἡμῶν C ‖ δηλῶν C ‖ [9] ὁ ἐ. δ.] ὁ θεὸς ὁ ἐ. C ‖ [10] τὰ μιχανίματα C ‖ ἀντικ. *om* C ‖ αἰγιάτου C ‖ στ.] ἵνα σὺ δοξασθεὶς ἐκεῖνος δὲ ἐντραπῇ *add* C: *cf* 46, 17 ‖ [11–12] καὶ - παρὰ] ὡς δὲ (*cf* 48, 17) ἡ εὐχὴ ἦν ἐν τῷ στόματι τοῦ ἀποστόλου ἐλθόντες πρῶτον οἱ δῆμοι C ‖ [11] *scr* τῶν ‖ [12] *scr* ἀπεσταλμένοι ‖ μι...] *om* C: *scr* μιαροῦ, *cf* 52, 7 ‖ αἰγιάτου C ‖ [13] κατέμενεν C ‖ ἀπ. *om* C: *cf* 52, 5 ‖ [14] δ. τ. θ.] ἀνθυπάτου C ‖ [14–15] ἔσ. β. λ.] λέγουσιν αὐτῷ C ‖ [15] μάγ.] μέγα C ‖ [15–16] λ. τ. θ.] τ. θ. καθαιρέτην C ‖ [16] τ. ν. *om* C ‖ ἔνδ. ε.] ε. εἰστὸν οἶκον σου C ‖ [16–19] ξέν. - Ἀ.] ἀνδρέαν ὀνόματι τοῦ ἐσταυρωμένου πρὸς φέρωμεν τῷ ἀνθυπάτῳ C ‖ [16] *scr* ξενίων? ‖ [17] *del* μετὰ? ‖ [20] κ. περ. *om* C ‖ αὐτόν C ‖ [20–21] σὺν δὲ τ. β.] εὐθέως οὖν καὶ C ‖ [21] ἐπὶ C ‖ [21–22] τ. Ἀ.] ἀ. τ. ξενοδόχου C ‖ [22] βοῶντες C *fort recte*: *cf* 52, 6 ‖ λέγοντες C ‖ Κ.] ὁ θεὸς C ‖ ..θύπ.] ξένον C: *scr* ἀνθύπατον

πατον εἰς ἄμυναν μὲν τῶν κακῶν, ἔπαινον δὲ τῶν ἀγαθῶν. τί οὖν τὸν δοῦλον τοῦ θεοῦ ζητεῖ ὁ Αἰγεάτης; μαθεῖν βουλόμεθα. ἡμῶν γὰρ Ἀνδρέας ὁ ἀπόστολος τοῦ ξένου θεοῦ καὶ πατὴρ καὶ διδάσκαλος καὶ ἰατρὸς καθέστηκεν.

10 Ταῦτα αὐτῶν βοώντων φοβηθεὶς ὁ μακάριος ἀπόστολος μήποτε τὸ πλῆθος τῆς πόλεως διαχειρίσηται τοὺς ἀποσταλέντας παρὰ τοῦ μιαροῦ Αἰγεάτου, ἐξελθὼν τῆς οἰκίας καὶ μέσον σταθεὶς τῶν ὄχλων κατέσεισεν αὐτοὺς τῇ χειρὶ σιγᾶν· καὶ στὰς ἐπί τινος ὑψηλοῦ τόπου ἤμελλεν ἀνοίγειν τὸ στόμα αὐτοῦ, καὶ πάντες μιᾷ φωνῇ ἐβόησαν· Μέγας ὁ θεὸς τοῦ ξένου ἀνθρώπου ὃς διῆλθεν διὰ τοῦ δούλου αὐτοῦ εὐεργετῶν πάντας τοὺς καταδυναστευομένους ὑπὸ τοῦ διαβόλου. Καὶ φησὶν ὁ Ἀνδρέας· Ἀδελφοὶ οἱ κληθέντες ὑπὸ τοῦ λόγου καὶ ἐκλεχθέντες ὑπὸ τοῦ ὀνόματος αὐτοῦ· οὐ τοῦτο μόνον χάρις ἐστὶν ἵνα εἰς τὸν ἀποστείλαντά με πιστεύσητε, ἀλλ' ἵνα καὶ ὑπὲρ αὐτοῦ ἀποθάνητε. παύσασθε οὖν θορύβους ποιοῦντες, μήποτε ὡς αἴτιοι στάσεως καὶ ἀρχηγοὶ πολέμου εὐθύνας ἀποδῶμεν καὶ οὐχ ὡς πολῖται θεοσεβείας· ἄφετε πορευθῶ πρὸς τὸν Αἰγεάτην· συγχωρήσατε τοῖς κρατοῦσίν με· ἀποθανὼν γὰρ μᾶλλον ὀφθήσομαι ὑμῖν σήμερον τὴν ὁδὸν τῆς ἀναστάσεως ὑποδεικνύων. Καὶ οὕτως μόλις καταπαύσας τοὺς ὄχλους παρέδωκεν ἑαυτὸν τοῖς δημίοις. οἱ δὲ θῆρες καὶ οὐκ ἄνθρωποι ὡς λύκοι εὑρόντες ἁπαλὸν ἀρνίον καὶ καλὸν ἁρπάσαντες ἀπήνεγκαν τῷ παμμιάρῳ Αἰγεάτῃ.

11 Καὶ ὁ Αἰγεάτης ἰδὼν τὸν μακάριον Ἀνδρέαν εἶπεν·

---

1 ἐπὶ ἐκδικῆσει C ‖ μὲν om C ‖ ἔπ.] εἰς ἔπ. C ‖ 2 θέλωμεν C ‖ 3 ὁ ἀπ. ἀνδ. C ‖ πατ.] καὶ μήτηρ add C ‖ 4 ἰ.] ἀγαθὸς add C ‖ καθ.] μὴ βιάζεσθαι οὖν ἡμᾶς τὸν καλὸν ἴατρὸν μὴ σκοτίσιτε ἡμῶν τὸν φωστῆρα μὴ στερίσητε ἡμῶν τὴν ζωὴν μὴ ἀδικῆσιτε ἡμῶν τὸν ποιμένα καὶ γὰρ ἡμεῖς πάντες ἕτοιμοι ἐμὲν ὑπὲρ αὐτοῦ ἀποθανεῖν ἐπιδὴ πάντας ἡμᾶς τῶ ζωοποιῶ χριστῶ ὡς ἀρνία παρέστησεν add C: cf 46, 17 sed haec fort om V propter homoeotel (?) ‖ 5 ταῦτα] δὲ add C ‖ ἀπ. om C: cf 51, 13 ‖ 6 τ. πόλ. om C ‖ διαχειρίσονται C: cf 51, 22 ‖ 7 μιαρωτάτου αἰγιάτου C ‖ τῆς] ἀπὸ τῆς C ‖ 7–8 μέσων αὐτῶν ἐνθεὶς τῶ ὄχλω κατασίσας C ‖ 8 scr αὐτοῖς? ‖ σιγῆσαι C ‖ 8–9 σταθεὶς ἐφ' C ‖ 9 τινὸς om C ‖ λῖθν ἔμελλεν C ‖ αὐτ. τὸ στ. C ‖ 10 ἔκραξαν C ‖ ἀνθ.] ἀνδρέα V ‖ 11 ἦλθεν C ‖ 13 λ.] χριστοῦ V: cf 46, 5 ‖ 13–14 κ. ἐ. - αὐτοῦ om C ‖ 13 scr ὑπὲρ?? ‖ 14 ὀνόμ. corruptum? ‖ μ. τούτω C ‖ 15 ἀλλ' - ἀποθ. om C ‖ 16–17 κ. ἀρχ. στ. C ‖ 17 πολ. εὐθ. ἀπ.] εὑρεθῶμεν C ‖ 18 θεοσεβεῖς C ‖ πορευθῶμεν C ‖ 19 με om V ‖ 19–20 ἀποθ. - ὑποδ. om C ‖ 20 μόλις om C ‖ 21 τ. ὄ.] τὸν δῆμον C ‖ 22 δὲ] δήμιοι ὡς add C ‖ θ.] ἄγριοι add C ‖ λ.] τοῦ διαβόλου add C ‖ εὑρ. om C ‖ 22–23 κ. καλ. ἀρν. C ‖ 23 ἀπ.] τοῖς ὀδοῦσιν ἐν πληγαῖς ἀνικέστοις καὶ μάστιξι φοβεροῖς ὥσπερ κύνα οὕτως συνέτριβον πάντα τὰ μέλη αὐτοῦ μετὰ δὲ ταῦτα ἤγαγον αὐτὸν C: cf 46, 17 ‖ μιαρωτάτω C ‖ 24 καὶ ὁ] ὁ δὲ C: cf 48, 17 ‖ ἔφη C

Εἰπὲ ὦ ξένε ἄνθρωπε καὶ τοῦ τόπου καὶ τοῦ τρόπου καὶ τοῦ ἡμετέρου αἵματος, τίνι πεποιθὼς εἰσῆλθες εἰς τοὺς βασιλευομένους τόπους Καίσαρος καὶ τὴν σεβάσμιον προσκαύησιν τῶν θεῶν ἡμῶν ἀπώλεσας; τινὶ δὲ ἐσταυρωμένῳ προσέχειν ὅλην τὴν Ἀχαΐαν προσέταξας· καὶ τὴν πόλιν Πάτραν ἄνευ δόρατος εἰληφότας.

12 Καὶ ὁ μακάριος Ἀνδρέας ἐκτείνας τὴν χεῖρα εἶπεν· Εὖ γε, εὖ γε· καλὸς θεός μου ἤγαγέν σε, ᾧ πέποιθα, δι' οὗ τὸ μὲν στῖφος τῶν δαιμόνων εἰς ἄβυσσον ῥέριπται, ἡ δὲ φάλαγξ τῶν θεῶν ἡμῶν εἰς καπνὸν ἀναλέλυται, τὰ δὲ εἴδωλα ὑμῶν ὡς ὁρᾷς εἰς οὐδὲν μεταπεποίηνται· ὅρα τὸ ἔργον ἀνθύπατε καὶ στόχασαι τὸν θεόν μου· ἐννόησον τὴν ἀπώλειαν τῶν θεῶν ὑμῶν καὶ τὸν ἐμὸν θεὸν δόξασον. αὐτὸς γάρ ἐστιν ὁ παντοκράτωρ θεὸς λόγος, ὁ πρὸ πάντων αἰώνων ὑποστάς· ὁ τὴν ἐξουσίαν καὶ κυρίαν λαβὼν παρὰ τοῦ πατρὸς κρῖναι ζῶντας καὶ νεκρούς· ὁ θεὸς ὢν τῇ ἰδίᾳ δυνάμει σῶμα ἀναλαβὼν ἦλθεν εἰς τὸν κόσμον καὶ ἡμᾶς τοὺς ἀποστόλους ἐξελέξατο καὶ ἔδωκεν ἡμῖν ἐξουσίαν διαδραμεῖν εἰς πάντα τὰ ἔθνη κηρῦξαι τῷ ὀνόματι αὐτοῦ μετάνοιαν καὶ ἄφεσιν ἁμαρτιῶν, ὅπως ἀποστραφεῖσα ἡ ἀνθρωπότης τὴν θεομάχον πολυθεΐαν, τὸν ἕνα καὶ μόνον θεὸν ἐπιγνοῦσα, αὐτῷ προσκυνήσῃ καὶ αὐτῷ μόνῳ λατρεύσῃ· διὰ τοῦτο καὶ σὲ ἐξαπέστειλεν ἐνταῦθα, ἵνα ἐὰν ἀκούσας εἰς αὐτὸν

---

[1] εἰπὲ *om* C ‖ τὸν τόπον V ‖ τὸν τρόπον V ‖ [1–2] τ. αἵμ. τοῦ ἡμ. C ‖ [2] τί πεποθος C ‖ [3] Κ.] τοῦ κ. C ‖ προσκ. *om* V: *scr* προσκύνησιν? *post* ἀπώλεσας (4) *ponend?* ‖ [4] ἡμ. ἀπ. *om* V ‖ τινὶ - προσέχειν] καὶ C ‖ τινὶ] προσ τινὶ V: προσ *uocis* προσκύνησιν *reliquias puto* ‖ πᾶσαν C ‖ [5] προσέτ. *om* C ‖ πατρώων C: *scr* Πατρῶν? *cf* 51, 5 ‖ [6] εἰληφῶτας V εἴληφας καὶ ⟨ὡς⟩(?) τὰ τῶν ἐχθρῶν διέθηκας ἰδοῦ γὰρ καὶ οἱ θεοὶ τῆς πόλεως ἐφυγαδεύθησαν ὑπὸ σοῦ οἱ ναοὶ κατεστράφησαν τὰ ὡραία ἄλσι τῶν ἀφιερωμάτων κατεκάεισαν καὶ σάκκον καὶ κόνην περιέβαλας ἡμῶν πᾶσαν τὴν πόλιν ἐνοὶς ὀνόματα (*l* μνήματα?) βασιλέων καὶ εἰκόνες αὐτοκρατόρων ἵστανται καὶ τρόπαια κατεχθρῶν C: *cf* 46, 17 *illud tamen* εἴληφας *nescio an recte coniectatum sit* ‖ [7] καὶ ὁ] ὁ δὲ C: *cf* 48, 17 ‖ ἐκτ. τ. χ.] φαιδρῶ τῶ προσώπω C ‖ [7–8] εἶπεν - καλ. *om* C ‖ [8] *scr* καλῶς ⟨ὁ⟩? *cf* 54, 7 ‖ θ. μου] ὁ ἐμὸς θ. C ‖ ἤγ. σε] *post* ᾧ πέπ. V ἰνεγκάσαι C ‖ [9] ἄβ.] ἄσβεστον πῦρ C ‖ ἐρρίφην C ‖ φάλαξ C ‖ [10] ἡμ. *om* V: *scr* ὑμῶν ‖ λέληται C ‖ δὲ *om* C ‖ ἡμῶν C ‖ [10–11] ὡς ὁρ. *om* C ‖ [12] στόχ.] θέασαι C ‖ μου] σου *et add* τὴν ἀνδρείαν C ‖ ἐνν.-ὑμ. *om* C ‖ [13] ἐμὸν] μόνον V ‖ οὗτος V ‖ [13–14] π. θ.] τοῦ παντοκράτορος θεοῦ V ‖ [14] πάντων] τῶν C ‖ ὑπ.] ὑποτάσσων τὴν οἰκουμένην V ‖ [15] κυρ.] τὴν κυριότητα C ‖ ἔχων C *fort recte: cf* 56, 1 ‖ [16] ὁ] ὅστις C: *scr* ὃς? ‖ [18] ἔθνη] καὶ *add* C ‖ κηρ.] ἐπὶ *add* C ‖ [19] πῶς V ‖ [20] πολυθ.] καὶ *add* C ‖ [21] α. πρ. κ. *om* V ‖ λατρεύει V ‖ [21–22] καὶ διὰ τ. με C ‖ [22] ἀκούσης C ‖ ε. α.] αὐτῶ C

πιστεύσῃς σωθήσει, εἰ δὲ ἀπιστήσας ἀνανεύσεις κατακριθήσει μετὰ τῶν λεγομένων θεῶν σου.

13 *Ὁ δὲ παμμίαρος Αἰγεάτης ὡς ἀσπὶς βύσας τὰ ὦτα μὴ θελήσας τοῦ ἀληθινοῦ σοφοῦ ἀκοῦσαι εἶπεν· Ὦ ματαιόφρον καὶ ξένου τινὸς ὀνόματος ἐφευρετά, ἀπόλαυε τῶν ἐμῶν δωρεῶν. Καὶ μάστιξιν μαστιγώσας αὐτὸν ἐκέλευσεν σταυρωθῆναι. καὶ ὁ μακάριος ἀπόστολος ἐξερχόμενος εἶπεν· Καλὸς εἶ Ἰησοῦ Χριστὲ ὅτι ἐκόσμησας ἡμᾶς τῷ σῷ ὅπλῳ καὶ ἐστεφάνωσας ἡμᾶς τῇ σῇ χάριτι· δέχου με λοιπὸν εἰς τὰς αἰωνίους σου σκηνάς· ἀνάπαυε ἀπὸ τοῦ νῦν ἀπὸ τῶν ἀνιάτων μου πόνων· λυσιπόνιόν μου γενοῦ καὶ λῦσόν μου τὸ σῶμα, ἵνα ἡ ψυχή μου μετὰ ἀγγέλων χορεύουσα αἰνέσῃ σε. Ὡς δὲ ἦλθεν ἐπὶ τὸν σταυρόν, πᾶν τὸ πλῆθος ἐβόα· Ἀνοσία κρίσις τοῦ Αἰγεάτου· ξένον ἄνδρα μηδὲν ἀδικήσαντα κατέκρινεν σταυρῷ· ὢ ἄδικος κρίσις· αἶρε ἀνθύπατε κἂν ἡμᾶς τοὺς πολλὰ ἁμαρτήσαντας καὶ μὴ τὸν δίκαιον.*

14 *Ὡς δὲ ἦλθεν ἐπὶ τὸν τόπον, βλέπει τὸ ξύλον πεπηγμένον· καὶ ἀπολιπὼν πάντας πρόσεισι τῷ σταυρῷ καὶ φησὶν αὐτῷ μετὰ φωνῆς· Χαῖρε ὦ σταυρέ· καὶ γὰρ χαίροις· εὖ γε οἶδα καὶ ἀναπαυόμενόν σε λοιπὸν ἐκ πολλοῦ κεκμηκότα πεπηγμένον καὶ ἀναμένοντά με· ἧκον ἐπὶ σὲ ὃν ἐπίσταμαι ἴδιόν μου· ἧκον πρὸς σὲ τὸν ποθήσαντά με· γνωρίζω σου τὸ μυστήριον δι' ὃ καὶ πέπηγας· πέπηξαι γὰρ ἐν τῷ κόσμῳ ἵνα τὰ ἄστατα στηρίξῃς· καὶ τὸ μέν σου εἰς οὐρανοὺς ἀνατείνεται ἵνα τὸν ἄνθρωπον λόγον σημαίνῃς· τὸ δέ σου ἥπλωτο δεξιᾷ καὶ*

---

[1] *πιστεύσεις V ‖ σωθ. om C ‖ ἀπιστήσις C ‖ ἀνανεύσῃς V om C ‖* [3] *μιαρότατος C ‖ βυοῦσα C ‖ ὦτα] καὶ add C ‖* [4] *θέλουσα C ‖ ἀκ.] ἐπάδοντος ἐπακούσαι C ‖* [5] *ὀνόμ. om C ‖ ἀπόλαβε C ‖* [6] *μάστ. om V: ⟨ζ⟩ μάστιξιν? cf 58, 13 pass alt 375, 26 ‖* [6–7] *καὶ ὁ] ὁ δὲ C: cf 48, 17 ‖* [7] *καλῶς VC: recte (del εἶ et ὅτι)?? cf 53, 8 ‖ εἶ om C ‖* [8] *Χρ.] μου C ‖ κεκόσμικας C ‖ ἡμ. om C ‖* [9] *σου om C ‖* [10] *ἀ. τ. ν.] λοιπῶν C ‖ τ. ἀν. μου] πολλῶν C ‖* [10–11] *λυσ. - σῶμα om C ‖* [11] *scr μοι γ.? ‖ μετ C ‖* [12] *χορ. om C ‖* [13] *ἄπαν C ‖ ἀνεβόα C ‖* [14] *κέκρικεν C ‖* [14–16] *ὢ - δίκ. om C ‖* [14] *del ὢ? ‖* [17] *τ. τ.] τὸ σταυρὸν C ‖ βλ.] ἀναβλέπῃ καὶ θεωρεῖ C ‖ τὸ ξ. om C ‖* [18] *προσῆν (ex προσῄει corrupt? cf narr 367, 4 F) V: cf 60, 8 laud 346, 15 ‖* [18–19] *κ. φ. - φω.] λέγων C ‖* [19] *χαῖρε om C ‖ κ. γ. χ. om V: κ. γ. χ. ⟨ὄντως⟩? cf 25, 24 Epiphan 76 ‖ del γε? cf 60, 10 ‖* [20] *λοιπὸν om V: cf 25, 25 Epiphan 76 ‖ πολλῶν V ‖* [21] *et* [22] *scr ἥκω?? cf 60, 11 laud 346, 16 ‖* [21] *ἐπὶ] εἰς C ‖ ἐπ.] ἐγνώρισα C ‖* [22] *ἧκον - με om C ‖* [23] *δι' ὃ] τί C ‖ καὶ om C ‖ πέπηγας om V ‖ γὰρ] καὶ γὰρ C ‖ τῷ om C ‖* [24] *μέν] ὄμμα C ‖ οὐρανὸν C ‖* [24–25] *ἵνα - ἡπλ. om C in ima pagina ‖* [25] *ἄνθρ. (conpendio V)] scr ἄνω: cf laud 346, 19 ‖ scr σημάνῃς? cf laud 346, 19 ‖ scr ἥπλωται? cf laud 346, 20*

ἀριστερᾷ ἵνα τὴν φοβερὰν καὶ ἀντικειμένην δύναμιν τροπώσῃ καὶ τὸν κόσμον συναγάγῃ εἰς ἕν· τὸ δέ σου πέπηκται εἰς γῆν ἵνα τὰ εἰς γῆν καὶ τὰ ἐν τοῖς καταχθονίοις συνάψῃς τοῖς ἐπουρανίοις· ὦ σταυρὲ μηχάνημα σωτηρίας τοῦ ὑψίστου· ὦ σταυρὲ τρόπαιον νίκης Χριστοῦ κατ' ἐχθρῶν· ὦ σταυρὲ ἐπὶ γῆς φυτευθεὶς καὶ τὸν καρπὸν ἐν οὐρανοῖς ἔχων· ὦ ὄνομα σταυροῦ, πρᾶγμα ἀνάμεστον ὅλων· εὖ γε ὦ σταυρὲ τὴν περιφέρειον τοῦ κόσμου πεδήσας· εὖ γε μορφὴ συνέσεως τὴν ἄμορφον τὴν σὴν μορφώσας· εὖ γε ἀφανὴς κόλασις χαλεπῶς κολάζουσα τὴν ὑπόστασιν τῆς πολυθέου γνώσεως καὶ τὸν αὐτῆς ἐφευρετὴν ταύτην ἐκ τῆς ἀνθρωπότητος ἐκδιώκων· εὖ γε ὦ σταυρὲ τὸν δεσπότην ἐκδυσ.μενος καὶ τὸν λῃστὴν καρποφορήσας καὶ τὸν ἀπόστολον εἰς μετάνοιαν καλέσας καὶ ἡμᾶς δέξασθαι μὴ ἀπαξιώσας. ἀλλὰ μέχρι πόσου λέγω ταῦτα καὶ οὐ περιπλέκομαι τῷ στ...., ἵνα ἐν τῷ σταυρῷ ζωοποιηθῶ, διὰ σταυροῦ τὸν κοινὸν θάνατον τοῦ βίου ἐξέλθω. προσέρχεσθε οἱ ὑπηρέται τῆς ἐμῆς χαρᾶς καὶ οἱ διάκονοι τοῦ Αἰγεάτου καὶ πληροῦτε τῶν ἀμφοτέρων τὸ βούλημα καὶ προσδεσμεῖτε τὸν ἀμνὸν τῷ πάθει, τὸν ἄνθρωπον τῷ δημιουργῷ, τὴν ψυχὴν τῷ σωτῆρι.

15 *Καὶ εἰπόντος αὐτοῦ ταῦτα προσελθόντες οἱ δήμιοι κατέδησαν αὐτοῦ τοὺς πόδας καὶ τὰς χεῖρας, καὶ οὐ καθήλωσαν*

---

[1] *φοβ. κ. om C* ‖ *τροπώσιτε C* ‖ [2] *συναγάγοι V: scr συναγάγῃς? cf laud 346, 22* ‖ *ἐπὶ τῆς γῆς C* ‖ [3] *τὰ ε. γ. om C* ‖ *συν. τ. ἐ. om C* ‖ [4] *σωτήριον C* ‖ *τοῦ om C* ‖ [5] *Χρ. om C: del?? cf laud 346, 27* ‖ [6] *καρπὸν] σταυρὸν C* ‖ *ἔχ. ἐν ο. C* ‖ *πραγμάτων C: ⟨προσκυνητὸν καὶ⟩ πρᾶγμα? cf laud 346, 29* ‖ [7] *ἀναμ... item usque ad 56, 6 non pauca litteris abscisis mutila V* ‖ *ὅλον C: scr ⟨τῶν⟩ ὅλων??* ‖ [7–8] *τὴν περ. - συνέσ. om C* ‖ [7] *περιφέριον V: scr περιφέρειαν?* ‖ [8] *scr μορφῇ??* ‖ *τ. σ. μ.] scr γῆν συνμορφώσασα??* ‖ *τὴν σὴν om V* ‖ *scr μορφώσασα?? cf 11* ‖ [9] *ἀφανῆ V* ‖ *χαλ.] φανερῶς δὲ C* ‖ [10] *αὐτῆς om C* ‖ *ταύτης C fort recte (cf 1, 6 αὐτῶν V) nisi quid intercidit: cf ἐκδιώκων(11)* ‖ [11] *εὖ γε om V* ‖ *ἐνδεδυμένος C: scr ἐνδυσάμενος?* ‖ [12] *εἰς] ἐ.. V: scr ἐπὶ? cf 54, 21* ‖ [13] *εἰσδέξασθαι C fort recte: cf laud 347, 4* ‖ [13–15] *ἀπαξ. - τὸν] ἀπατὸν C* ‖ [13] *scr ἀπαξιώσῃς?? cf laud 347, 4* ‖ [14] *scr σταυρῷ: cf laud 347, 5* ‖ [15] *⟨καὶ⟩ διὰ ⟨τοῦ⟩? cf laud 347, 6* ‖ *τοῦ β. θάν. C: θάν. ⟨...⟩ τοῦ β.??* ‖ *scr ἐξελθών??* ‖ [16] *προσ.] δεῦτε οὖν προσέρχεσθαι C προσέλθετε V: cf laud 347, 7* ‖ *οἱ prius om C: ⟨οὖν⟩ οἱ? cf laud 347, 7* ‖ *ἐπέρετε C* ‖ *οἱ alt del? cf laud 347, 7* ‖ [17] *αἰγιάτου C* ‖ *πληρώσατε C (laud)* ‖ *τῶν om V: cf laud 347, 8* ‖ *βούλευμα C* ‖ *πρόσδεσμήσατε C: cf laud 347, 8* ‖ [18] *τὸν] μετὰ (ex με τὸν corrupt?) C* ‖ *τῷ π. τὸν] τῶ π.θειτὸν (litt abscis) V τὸν παθητὸν C* ‖ *π.] (ξύλῳ laud 347, 9) scr ποιμένι??* ‖ [19] *τὴν ψ. τῷ σ.] καὶ σ. τῶν ψυχῶν C* ‖ *δοτῆρι laud 347, 10* ‖ [20] *δήμοι C: cf 51, 11 C 59, 1 P* ‖ *ἔδησαν C fort recte: cf 26, 16; 60, 14 laud 347, 13 narr 367, 26 Epiphan 76* ‖ [21] *τ. χ. κ. τ. π. C*

αὐτόν· ταύτην γὰρ τὴν ἐντολὴν εἶχον παρὰ τοῦ Αἰγεάτου· ἐβούλετο γὰρ αὐτὸν ἠρτημένον ἀνι.σαι καὶ νυκτὸς ζῶντα ὑπὸ κυνῶν ἀναλωθῆναι. τετάρτης δὲ ἡμέρας διαγενομένης καὶ τῶν αὐτῶν νυκτῶν διελθουσῶν οὐ συνέπεσεν τὸ πρόσωπον τοῦ ἀποστόλου, οὐκ ἠσθένησεν τῇ φωνῇ, οὐκ ἠτόνησεν τοῖς μέλεσιν, οὐκ ἐστέναξεν οὐδὲ ἐδάκρυσεν· ὥστε πάντα τὸν ὄχλον μακαρίζειν αὐτόν, δοξάζειν δὲ τὸν θεὸν τὸν τρέφοντα καὶ ἐνδυναμοῦντα τοὺς ἐπ' αὐτὸν ἠλπικότας.

16 Καὶ ὁ Αἰγεάτης ἀκούσας ὅτι ἔτι ζῇ ἐθαύμασεν καὶ δρομαῖος ὥρμα πρὸς αὐτόν· καὶ ὡς εἶδεν ὁ ἀπόστολος ἑστῶτα αὐτὸν ἄντικρυς αὐτοῦ, εἶπεν αὐτῷ μεγάλῃ τῇ φωνῇ· Τί ἐλήλυθας Αἰγεᾶτα πρὸς τὸν μὴ σόν; τί κατανοεῖς τὸν κρεμάμενον; τί ἐκπλήσσῃ τὸν δεθέντα; ῥῦσαι σεαυτοῦ τὴν ψυχήν· πίστευσον εἰς τὸν ἀποστείλαντά με Χριστόν· ἀνάβλεψον τοῖς ὀφθαλμοῖς καὶ ἴδε τὸ μακάριον φῶς Ἰησοῦν· ἅπλωσόν σου τὸ ἡγεμονικὸν τῆς ψυχῆς καὶ δέξαι τὴν γνῶσιν τοῦ πρώτου λόγου· ἀπόθου τὴν ἄγνοιαν· μὴ πηρώσῃς σου τοὺς λογισμούς· μὴ ἀπολέσῃς σου τοὺς κατ' εἰκόνα· μὴ στερήσῃς τῶν ἀγαθῶν· μὴ κατακριθῇς μᾶλλον ἀπειθήσας· μὴ καταποθῇς ὑπὸ τοῦ ὄφεως· μή σε ἁρπάσῃ ὡς λέων· ἡδυνθήτω ἡ ζωὴ τὰ ἐν τῷ ξύλῳ. καὶ πίστευσον τῷ σταυρωθέντι· καλὸς ὁ σταυρός· ζωοποιὸς γάρ ἐστιν. καλὸς ὁ ἐπὶ σταυροῦ κρεμασθείς· καθαιρέτης γὰρ τῶν δαιμόνων ἐστίν. λυτρωτὴς γάρ ἐστιν τῶν ψυχῶν καὶ βραβευτὴς τῶν ἀθλούντων. ἀλλὰ τί τοσαῦτα λέγω; δεῦρο Χριστὲ πρός με· ἀπόλυσον τὸν δοῦλον ἐλεύθερον, τὸν ἀσθενῆ ὑγιῆ, τὸν θνητὸν ἀθάνατον, τὸν φθαρτὸν ἄφθαρτον, τὸν δεθέντα λελυμένον, τὸν γήινον ἐπου-

---

[1] τὴν om C ‖ αἰγιάτου C ‖ [2] αὐτὸν om C ‖ κρεμάμενον V: scr ἀνηρτημένον? cf 60, 17 ‖ ἀν.] litt abscis V ἐᾶσαι C: scr ἀνιᾶσαι cf 60, 17 ‖ κ. ν. ζ.] ν. ζ. κ. C ‖ [4] διαγενομένων C ‖ πρόσ.] αυτοῦ φημὶ add V ‖ τ. ἀπ.] scr αὐτοῦ?? ‖ [5] τῇ - ἠτ. om C ‖ [6] οὐδὲ] οὐκ C: cf laud 347, 28 ‖ [7] αὐτόν] τον ἀνδρέαν V: cf laud 347, 29 ‖ χριστὸν C: scr κύριον? cf laud 347, 30 ‖ ἐπιστρέφοντα C ‖ καὶ] τὸν add V ‖ [8] ἐλπίζοντας ἐ. α. C ‖ [9] καὶ ὁ] ὁ δὲ C: cf 48, 17 ‖ ἀκ. om C ‖ ἔτι ζῇ] ἔζη C ‖ ἐθαύμαζεν et add σφόδρα C ‖ [10] ὅρμα V ὁρμᾶ C ‖ [10–11] ὁ ἀπ. - ἄ. α.] αὐτὸν ὁ ἀπ. ἀνδρέας ἄ. α. ἑστῶτα C ‖ [11] μεγ. φ. οὕτως εἶπεν (om αὐτῷ et τῇ) C ‖ [12] Α.] ὦ αἰγιάτα C ‖ τ. μὴ σ.] τὰ μισᾶ C ‖ [13] τί ἐκπλ.] ἐκπλάγηθη C ‖ δεθὲν λύσε ἑαυτοῦ C ‖ πιστεύσας C ‖ [14] Χρ. om C: del? ‖ [16] πρώτου] πατρὸς καὶ V ‖ [18] σου om C ‖ τ. κ. ε. corrupta? ‖ τοὺς] τὸ C ‖ στερηθεῖς C ‖ [18–19] μὴ κ. μ. ἀπ. om C ‖ [20] ὡς] ὁ C ‖ ἡδ. - ξ. καὶ om C: mutila potius putauerim quam corrupta ‖ [21–23] καλὸς - ἐστὶν om C ‖ [23] ante λυτρ. aliquid intercidisse uid ‖ γάρ - βραβ. om V ‖ [24] ἀπόλυε C ‖ [25] ἀσθενῆν V ‖ τ. θν. ἀθ. om C ‖ [25–26] τ. φθ. ἄ. om V: del??

ράνιον, ἵνα δι' ἐμοῦ οἱ πιστεύοντες σωθῶσιν καὶ γένωμαι κἀγὼ μάρτυς ἀληθὴς τῆς σῆς θεότητος.

17 Καὶ εἰπὼν ταῦτα καὶ δοξάσας ἐπὶ πλεῖον τὸν κύριον παρέδωκεν τὸ πνεῦμα σὺν τῇ εὐχαριστίᾳ. καὶ θαυμάσαντες πάντες ἔκραξαν· Μέγας ὁ θεὸς Ἀνδρέου· εἷς ὁ θεὸς τοῦ ξένου· ἀγαθὸς ὁ θεὸς τῶν χριστιανῶ.· Χριστὲ σῷζε πάντας ἡμᾶς καθώ. ἔσωσας τὸν Ἀνδρέαν τὸν ἐπ. σοὶ ἠλπικότα.

18 Μετὰ δὲ τὴν ἔξοδον τοῦ ἀποστόλου ἡ γυνὴ τοῦ ..γεάτου ἅμα τῷ Στρατοκλεῖ π...ελθοῦσα τῷ σταυρῷ ἐξέλυσεν τὸ λείψανον τοῦ ἀποστόλου· καὶ κηδεύσαντες πιστῶς ἀπέθεντο ἔξω τῆς πόλεως. καὶ αὐτὴ κατακολουθήσασα τῷ Χριστῷ ἐχωρίσθη τοῦ Αἰγεάτου διὰ τὴν θηριώδη αὐτοῦ ψυχὴν καὶ πολιτείαν· ἑλομένη βίον σεμνὸν καὶ ἤρεμον ἀγάπῃ Χριστοῦ μακάριον ζῶσα σὺν τοῖς ἀδελφοῖς διῆγεν. ὁ δὲ Αἰγεάτης δηχθεὶς τὴν ψυχὴν καὶ τὸ συνειδὸς κεκακωμένος ἀναστὰς νυκτὸς καὶ λαθὼν πάντας ἔρριψεν ἑαυτὸν ἀπὸ ὕψους μεγάλου καὶ συντριβεὶς διερράγη καὶ διαρρηχθεὶς κατέστρεψεν τὸν βίον· καὶ ὁ Στρατοκλῆς ὁ τοῦ Αἰγεάτου ἀδελφὸς παραλαβὼν τὴν κτῆσιν αὐτοῦ καὶ πωλήσας πτωχοῖς ἅπασαν διέσπειρεν, προσδεχόμενος καὶ αὐτὸς τὴν βασιλείαν τῶν οὐρανῶν.

19 Ἐμαρτύρησεν δὲ ὁ ἅγιος ἀπόστολος κατὰ Ἀσιανοὺς μηνὸς περὶτ ἕκτῃ, κατὰ δὲ Ῥωμαίους μηνὶ νοεμβρίῳ λ', βασιλεύοντος τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

---

[1] *δι' ἐμοῦ om C* ‖ *πιστ. σ.] πολλοὶ πιστεύσωσιν εἰς σέ C* ‖ *κἀγὼ om C* ‖ [2] *ἀλ. μ. C* ‖ [3] *ἐ. πλ. om C* ‖ [4] *σὺν τ. ε. om C* ‖ [4–5] *θαυμάζοντες οἱ ὄχλοι ἔκραζον λέγοντες C* ‖ [5] *scr θεὸς ὅ?* ‖ *τ. ξ. θ. C* ‖ [6–7] *ἀγ. - ἠλπ.] ὁ ἐν τοῖς οὐρανοῖς C* ‖ [6] *scr χριστιανῶν (litt absc V)* ‖ [7] *scr καθὼς* ‖ *scr ἐπὶ* ‖ [8] *ἀνθυπάτου C: scr Αἰγεάτου* ‖ [9] *π...ελθοῦσα om C: scr προσελθοῦσα* ‖ *ἔλυσαν C* ‖ [10] *ἀπ.] μακαρίου C* ‖ *κατέθετο C* ‖ [11] *πόλ.] πατρῶν add C* ‖ *τὸν χριστὸν V* ‖ [12] *κ. πολ. om C* ‖ *πολιτείαν ⟨ἄνομον⟩? cf 63, 11* ‖ [13] *⟨ἀλλ'⟩ ἑλομένη? an plura interciderunt? cf narr 372, 7* ‖ *ἤρ.] καθαρὸν ἐν δὲ τῇ C: ἤρ. ⟨καὶ⟩??* ‖ *Χρ.] τοῦ χρ. C* ‖ *μακαρίως ζήσασα C* ‖ [14] *ἅμα C* ‖ *δεθεῖς C* ‖ [15] *συνειδὲς V* ‖ *||||| ἀνστὰς V: scr ⟨ἄφνω⟩ ἀναστὰς??* ‖ *κ. λ. π. om V: cf narr 372, 13* ‖ [16] *μεγ.] ὄντως σφόδρα add C* ‖ *σβυτρεβο|||?? συντρεβε|||? V* ‖ [16–17] *διερρ. - βίον] καὶ ἀρραγεὶς (i e διαρραγεὶς) οὕτως ἀπέδωκεν τὴν ψυχὴν ἐν τιμωρίᾳ μεγάλῃ διατελέσας C* ‖ [17] *καὶ ὁ Σ.] στρατοκλεῖς δὲ C* ‖ [17–18] *ἀδ. τ. αἰγ. C* ‖ [19] *πτ. - διέσπ.] πάντα διένιμεν τοῖς πτ. ἦν γὰρ καὶ αὐτὸς πιστεύσας τῷ κυρίῳ καὶ C* ‖ *καὶ α. om C* ‖ [20] *τοῦ θεοῦ C* ‖ [21] *ἐμ.] ἀνεπάει C* ‖ *ἅγ.] δοῦλος τοῦ χριστοῦ C* ‖ *ἀπ.] ἀνδρέας add C* ‖ *κ. Ἀ. - Ῥωμ. om C* ‖ [22] *τριακάδα C* ‖ [22–23] *βασ. - Χρ.] ἐν χριστῷ ἰησοῦ τῷ κυρίῳ ἡμῶν C* ‖ *δόξα] καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ add C*

Μαρτύριον τοῦ ἁγίου ἀποστόλου καὶ πρωτοκλήτου Ἀνδρέου.

1 Τοῦ μακαριωτάτου ἀποστόλου Ἀνδρέου διαλεγομένου τοῖς ἀδελφοῖς δι' ὅλης τῆς νυκτὸς τὰ περὶ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ περὶ σωτηρίαν ψυχῆς, καὶ κοινῇ πάντων ἀγαλλιώντων καὶ στηριζομένων, τῇ ἑξῆς ὀρθρίσας ὁ Αἰγεάτης καὶ μεταπεμψάμενος τὸν ἀπόστολον Ἀνδρέαν εἶπεν· Τὸ τέλος τῆς περὶ σὲ κλήσεως ἤγγικεν ξένε ἄνθρωπε καὶ ἀλλότριε τοῦ νῦν βίου καὶ ἐχθρὲ τοῦ παντός. τί γὰρ τὸ δόξαν σοι εἰσπηδῆσαι ἀλλοτρίοις τόποις καὶ ὑποδιαφθεῖραι γυναῖκα πάλαι ἀρεσκομένην μοι; ἣν ἐγὼ ἔμαθον πεισθεὶς δι' αὐτῆς νῦν σοὶ καὶ τῷ θεῷ χαίρειν. τοιγαροῦν ἀπόλαβε τῶν ἐμῶν δωρεῶν. Καὶ ἐκέλευσεν αὐτὸν ἑπτὰ μάστιξιν μαστιχθῆναι· ὕστερον δὲ ἐκέλευσεν ἀνασκολοπισθῆναι, καὶ κελεύσας τοῖς δημίοις ἀδιατμήτους αὐτοὺς τὰς ἀγκύλας καταλειφθῆναι, ἵνα ὡς ἐνόμιζεν ἔτι μᾶλλον αὐτὴν κολάσει· καὶ ἦν τοῦτο πᾶσιν πρόδηλον· διεδόθη γὰρ ἐν ὅλαις ταῖς Πάτραις φημισθὲν ὅτι ὁ ξένος, ὁ δίκαιος, ὁ τὸν θεὸν ἔχων, ὑπὸ τοῦ ἀνοσίου ἀνασκολοπίζεται μηδὲν ἄτοπον ποιήσας· καὶ συνδραμόντες ἠγανάκτουν.

Μαρτύριον τοῦ ἁγίου καὶ πανευφήμου ἀποστόλου Ἀνδρέου.

1 Διδάσκοντος τοῦ Ἀνδρέου τοῦ ἀποστόλου ἐν Πάτραις τῆς Ἀχαΐας ὑπὸ Αἰγεάτου τοῦ ἀνθυπάτου κλήσκεται εἰς φυλακήν· ὡμίλει δὲ καὶ ἐδίδασκεν διὰ πάσης νυκτός· εὐχομένου δὲ αὐτοῦ καὶ κ. π. ἀγαλλιωμένων κ. στ. ἐπὶ τὸν κύριον, τῇ ἑξῆς ἐξεώθη. μεταπεμψ. γὰρ ὁ Αἰγ. τ. Ἀ. εἰς τὸ δεσμωτήριον εἶπεν αὐτῷ· Τὸ τ. τ. π. σὲ κρίσεως ἤ. — — ἐχθρὲ τῆς ἐμῆς οἰκίας. Κ. ἑπτὰ μάστ. ἐκ. α. μαστ. καὶ ὕστ. εἰς τὸ ἀνασκ. αὐτὸν ἔπεμψεν κελ. τ. δ. ἀδ. αὐτοῦ τ. ἀ. καταλειφθῆναι. κ. ἦν — — φήμη ὅτι — — ἔχων ἐν ἑαυτῷ ὑ. τ. ἀν. Αἰγεάτου ἀνασκ. μ. ἄτ. π. κ. πάντες ἠγ. κατὰ τοῦ Αἰγεάτου.

P Paris 770 s XIV

[1] κ. πρωτ. *del?* ‖ [5] *scr* σωτηρίας? ‖ [6] στηρ.] *cf Q* ‖ [8] *scr* κρίσεως?? *cf Q* ‖ [12] τῷ<σῷ>? ‖ *scr* ἀπόλαυε: *cf narr 365, 15* ‖ [14] *del* καὶ? *cf Q* ‖ [15] *scr* αὐτοῦ: *cf Q* ‖ [16] *scr* αὐτὸν? ‖ [18] <ἐν ἑαυτῷ> ἔχων? *cf Q* ‖ ἀν. <Αἰγεάτου>? *cf Q* ‖ [19] <πάντες> συνδρ.? *cf Q*

Q Paris 1539 s XI

[20] κ. παν. *del?* ‖ [25] ἐξ.] *scr* ἔωθεν? *cf narr 365, 9 Io c 72* ‖ γὰρ *del?* *scr* εἰς τὸ δικαστήριον?? ἐκ τοῦ δεσμωτηρίου? *cf narr 365, 9*

2 Ὡς δὲ ἤγαγον αὐτὸν εἰς τὸν τόπον οἱ δῆμοι τὸ κελευσθὲν εἰς πέρας ἀγαγεῖν βουλόμενοι, ὁ Στρατοκλῆς πυθόμενος τὸ συμβὰν δρομαῖος παραγίνεται καὶ ὁρᾷ τὸν μακάριον Ἀνδρέαν ὑπὸ τῶν δημίων βίᾳ συρόμενον ὥς τι κακὸν ποιήσαντα· ὧν οὐκ ἐφείσατο, ἀλλὰ πληγὰς ἑκάστου αὐτῶν ἐκτριψάμενος καὶ τοὺς χιτῶνας αὐτῶν διαρρήξας ἄνωθεν ἕως κάτω ἀπέσπασεν τὸν μακάριον Ἀνδρέαν εἰπὼν πρὸς αὐτούς· Καὶ τοῦτο τῷ μακαρίῳ χάριν ἔχετε παιδεύσαντί με καὶ τὸ πολὺ τῆς ὀργῆς ἐπέσχεν διδάξαντι· ἐπεὶ ἔδειξα ὑμῖν τί Στρατοκλῆς δύναται καὶ τί ὁ μιαρὸς Αἰγιάτης. μεμαθήκαμεν γὰρ ὑποφέρειν τὰ ἐπαγόμενα παρ' ἑτέρῳ. Καὶ κρατῶν τῆς χειρὸς αὐτοῦ τοῦ ἀποστόλου ἀπήει πρὸς τὸν παραθαλάσσιον τόπον ἔνθα ἐχρῆν αὐτὸν σταυρωθῆναι.

3 Οἱ δὲ στρατιῶται πορευθέντες ἐπεδείκνυον ἑαυτοὺς τῷ Αἰγεάτῃ δηλοῦντες αὐτῷ τὰ γεγονότα. κἀκεῖνος αὐτοὺς ἀπεκρίνατο· Ἑτέρας βαλλόντας ἐσθῆτας πορεύθητε ἔνθα τὸ κελευσθὲν ὑμῖν διατέτακται πρᾶξαι. καὶ ὁπόταν τῷ καταδικασθέντι τὴν ὑφ' ἡμῶν ἀπαλλαγὴν ποιήσασθε, τῷ μὲν Στρατοκλεῖ μηδὲ ὅλως ὀφθῆτε, ἀλλὰ μηδὲ ἀντείπητε εἴ τινος ὅλως χρήζει ὑμῶν· οἶδα γὰρ τὸ τῆς ψυχῆς αὐτοῦ προπετὲς οἷόν ἐστιν· ὃς τάχα κἀμοῦ ἀφειδήσει εἰ ἄρα προξυνθείη. Κἀκεῖνοι οὕτως ποιήσαντες καθὼς ὁ Αἰγεάτης ἔφη αὐτοῖς, ὁ δὲ Στρατοκλῆς ἅμα τῷ ἀποστόλῳ ἐρχομένῳ ἐπὶ τὸν προκείμενον τόπον, ἐπείπερ ἀγανακτῶν πρὸς τὸν Αἰγεάτην ᾔσθετο καὶ ἠρέμα διαλοιδορούμενος αὐτόν, ὁ δὲ ἀπόστολος λέγει αὐτῷ· Τέκνον Στρατόκλη, ἀκίνητόν σε βούλομαι τοῦ λοιποῦ τὸν νῦν κέκτισται, παρὰ δὲ σεαυτοῦ λαμβάνειν τὸ τοιοῦτον, καὶ μήτε ἔσωθεν διατίθεσθαί σε πρὸς τὰ δοκοῦντα χαλεπά, μήτε εἰς τὸ φανερὸν ἐξάπτεσθαι· πρέπει γὰρ τὸν τοῦ Ἰησοῦ δοῦλον τὸν τοῦ Ἰησοῦ ἄξιον εἶναι.

2. 3 Ὡς δὲ ἦγον α. ε. τ. τ. οἱ δήμιοι κατὰ τὸ κελευσθὲν αὐτοῖς κρατοῦντες τῆς χειρὸς τοῦ ἀποστόλου, ὑπέδειξαν αὐτῷ τὸν τόπον.

---

1 scr ἦγον? cf Q et narr 365, 24 ‖ scr δήμιοι: cf Q et 51, 11; 55, 20 C ‖ 4 ὃν P ‖ 7 scr τούτου? (τούτω P) ‖ 8 scr ἐπέχειν? ‖ 9 ἔδειξα ⟨ἄν⟩?? cf narr 366, 2 ‖ ἡμῖν P ‖ 10 scr Αἰγεάτης: cf 62, 12 ‖ 11 scr ἑτέρων? ‖ del αὐτοῦ an τοῦ ἀπ.? cf narr 366, 4 ‖ 15 scr αὐτοῖς? cf 61, 7 ⟨πρὸς⟩ αὐτοὺς? cf 61, 1 ‖ 16 scr βαλόντες? an λαβόντες? cf narr 366, 13 ‖ 18 scr ἀφ' ὑμῶν? ‖ scr ποιήσησθε? ‖ 20 ὡς P et in Epiphanio Dresselius ‖ 21 scr παροξυνθείη ‖ 22 scr ἐποίησαν?? cf narr 366, 17 ‖ 23 scr ἐρχόμενος? cf narr 366, 18 ‖ 24 scr ἀγανακτοῦντος?? ‖ scr διαλοιδορουμένου?? ‖ 25 del δὲ?? cf 62, 13 ‖ scr Στρατόκλεις?? cf 42, 29 ‖ 26 ἀκύνητον P ‖ scr νοῦν κεκτῆσθαι? ‖ 29 τὸν alt del?

ἐρῶ δὲ πρὸς σὲ ἕτερον καὶ τοὺς σὺν ἐμοὶ βαδίζοντας ἀδελφούς, ὅτι ὁ ἐναντίος ἄνθρωπος ὁπόταν τολμήσῃ καὶ τῶν σὺν αὐτῶν τιθεμένων μὴ εὕρῃ, τύπτεται καὶ ἐρείδεται ὅλως νεκρούμενος ὅτι οὐκ ἐτέλεσεν ὃ ἐνεβάλετο· πρὸ ὀφθαλμῶν οὖν τεκνία ἀεὶ τοῦτον ἔχωμεν, μήπως ἀποκοιμηθέντων ἡμῶν ὡς ἀντίδικος ἀποσφάξῃ ὑμᾶς.

4 Ταῦτα τοῦ ἀποστόλου διαλεγομένου ἔφθασαν τὸν τόπον ἔνθα ἤμελλεν σταυροῦσθαι· καὶ ἀπολιπὼν πάντας πρόσεισι τῷ σταυρῷ καὶ φησὶν αὐτῷ· Χαίροις ὦ σταυρέ· καὶ γὰρ ὄντως χαίροις· εὖ οἶδα καὶ ἀναπαυόμενόν σε εὑρὼν πεπηγμένον καὶ ἀναμένοντά με. ἦλθον ἐπὶ σέ. Καὶ εἰπὼν ταῦτα ὁ μακάριος ἑστώς, ἦλθεν ἐν αὐτῷ παρακελευσάμενος τοῖς ἀδελφοῖς ἐλθεῖν τοὺς δημίους καὶ ποιεῖν τὸ κελευσθέν· εἱστήκεισαν γὰρ πόρρωθεν· κἀκεῖνοι ἐλθόντες μόνον ἔδησαν αὐτοῦ τοὺς πόδας καὶ τὰς χεῖρας, μὴ προσπερονήσαντες αὐτούς, μήτε μὴν τὰς ἀγκύλας ὑποτεμόντες, ταύτην τὴν ἐντολὴν ἐσχηκότες παρὰ τοῦ ἀνθυπάτου οἱ στρατιῶται· ἀνιᾶσαι γὰρ αὐτὸν ἐβούλοντο ἀνηρτημένον καὶ νυκτὸς ζῶντα ὑπὸ κυνῶν βρωθέντα.

5 Οἱ δὲ ἀδελφοὶ οἱ περιεστῶτες ἦν ὄχλος πολὺς θεασάμενος τοὺς δημίους ἅπαντας καὶ μηδὲν πεποιηκότες περὶ τὸν μακάριον· καὶ γὰρ κρεμάμενος ἐκίνει αὐτοῦ τὴν κεφαλὴν μειδιῶν· καὶ ὁ Στρατοκλῆς ἠρώτα αὐτόν· Τί μειδιᾷς δοῦλε τοῦ θεοῦ Ἀνδρέα; ἡμᾶς ὁ ἄγγελός σου ποιεῖ πενθεῖν καὶ κλαίειν

4 Ὁ δὲ Ἀνδρέας ἀπολ. π. — — αὐτῷ μετὰ φωνῆς· Χ. — — χ. ὅ. εὖ οἶδα ἀναπαύσομαι ἐν σοὶ ἐκ πολλοῦ κεκληκότα πεπ. κ. ἀναμ. με. ἥκω ἐπὶ σὲ τὸν ἐπιστάμενόν με· γνωρίζω σου τὸ μυστήριον δι' ὃ καὶ πέπηγας. Καὶ — — μακ. ἀπόστολος ἑστὼς ἔτι ἐπὶ τῆς γῆς ἀνῆλθεν εἰς τὸν σταυρὸν παρακ. τοὺς ἀδελφοὺς ἥκειν τ. δ. κ. π. ἃ ἐκελεύσθησαν.

5 Καὶ ἦν ὁ ἀπόστολος μειδιῶν τῷ προσώπῳ. Στρατοκλῆς δέ τις ἐπύθετο αὐτόν· Τί — — Ἀ.; ὁ γέλως σου πενθεῖν

---

[1] scr ἕτ. πρὸς σὲ?? ‖ καὶ<πρὸς>?? ‖ [2] del ἄνθρωπος? ‖ <τι>τολμ.? cf 62,5 ‖ [2–3] scr τὸν αὐτῷ συντιθέμενον? ‖ [3] scr ὅλος? ‖ [5] scr τοῦτο?? ‖ ὡς] scr ὁ? ‖ [6] scr ἡμᾶς? ‖ [7] <ἐπὶ> τὸν? ‖ [10] del εὑρὼν? cf 54, 20; Epiphan 76 ‖ [11] σέ] cf Q ‖ [12] scr εἰς (uel ἐπ') αὐτὸν? ‖ [16] ταύτ. - ἐσχ. repet P ‖ [17] del οἱ στρ.? ‖ scr ἐβούλετο? cf 56, 1 ‖ [18] scr βρωθῆναι?? ‖ [19] scr περιεστῶτες, ἦν <γὰρ> ὄ. πολύς, θεασάμενοι? ‖ πολλοῖς P ‖ [20] scr ἀποστάντας (cf 26, 21) κ. μ. πεποιηκότας? ‖ [23] ὑμᾶς P ‖ ἄγγ.] scr γέλως: cf Q

[25] ἀν. ἐν σοί] scr ἀναπαυόμενόν σε? ‖ scr κεκμηκότα? cf 54, 20 ‖ [29] scr τοῖς ἀδελφοῖς? ‖ [31] scr αὐτοῦ? cf narr 368, 7 Epiphan 76 ‖ <ἡμᾶς> ὁ?

ὅτι σοῦ στερισκόμεθα. Καὶ ὁ μακάριος Ἀνδρέας πρὸς αὐτὸν ἀπεκρίνατο· Οὐ μὴ γελάσω τέκνον μου Στρατόνικε τὴν κενὴν ἐνέδραν τοῦ Αἰγεάτου δι' ἧς οἴεται ἡμᾶς τιμωρεῖσθαι; οὐδέπω πέπισθαι ὅτι ἀλλότριοι αὐτοῦ ἐσμεν καὶ τῶν ἐπιβουλιῶν αὐτοῦ. οὐκ ἔχει τὸ ἀκούειν, ἐπεὶ εἶχεν, ἀκοὴν ὅτι τοῦ Ἰησοῦ ἄνθρωπος ἀτιμώρητος αὐτῷ ἐστιν, γνωρισθείς.

6 Καὶ εἰπὼν ταῦτα ἀπεκρίνατο πᾶσιν κοινῶν λέγων· καὶ γὰρ τὰ ἔθνη συνέτρεχον ἀγανακτοῦντα ἐπὶ τῇ ἀδίκῳ κρίσει τοῦ Αἰγεάτου· Τεκνία μου καταλείψατε τὴν τοῦ ἀπατεῶνος ὁδὸν καὶ προσδράμετε τῷ ἐπουρανίῳ βασιλεῖ ὡς καὶ ἐπιστεύσατε. Ὅμως τρία νυχθήμερα παρίσταντο ἔμπροσθεν τοῦ ἁγίου διδασκόμενοι καὶ στηριξάμενοι καὶ μὴ ἀφεστηκότες ἀπ' αὐτοῦ· τετάρτης δὲ διαφαύσαντος ἡμέρας ἠγανάκτησεν πᾶς ὁ λαὸς κατὰ τοῦ Αἰγεάτου, καὶ ὥρμησαν ἐπὶ τὸ βῆμα· καὶ καθεζομένου ἐβόουν λέγοντες· Τίς ἡ κρίσις σου ἀνθύπατε; κακῶς ἐδίκασας· κακῶς ἔκρινας· ἀνοσιώτατα δικαστήριά σου· τί ἠδίκησεν ὁ ἀνήρ;

ποιεῖ ὅτι σ. στ. Ὁ δὲ ἀπεκρίνατο αὐτόν· Οὐ γελᾷς ὦ Στρατοκλῆ τ. κεν. ἐν. τ. Α.; Καὶ ἐλθόντες οἱ δήμιοι προσήλωσαν αὐτοῦ ἐν τῷ σταυρῷ τοὺς πόδας ἄνω.

6 Κρεμαμένου δὲ αὐτοῦ ἐπικέφαλα ἐδίδασκεν τοὺς παρόντας πρὸς αὐτόν· καὶ οὐδεὶς ὅλως ἐχωρίζετο αὐτοῦ· ὡς δὲ πρώτην καὶ δευτέραν ἡμέραν ποιήσας κρεμάμενος καὶ μὴ παραδοὺς τὸ πνεῦμα, ἰδόντες τὸ γενναῖον αὐτοῦ καὶ ἀκαμπὲς τῆς διανοίας καὶ τὸ πλάτος τοῦ λόγου καὶ τὸ χρηστὸν τῆς προτροπῆς καὶ τὸ εὐσταθὲς τῆς ψυχῆς καὶ τὸ σῶφρον τοῦ πνεύματος καὶ τὸ ἑδραῖον τοῦ νοὸς καὶ τὸ εἰλικρινὲς τοῦ λογισμοῦ, ἀγανακτήσαντες πρὸς τὸν Αἰγεάτην σὺν ἑνὶ πάντες ἔσπευδον εἰς τὸ βῆμα κ. καθεζ. αὐτοῦ κατεβόων· Τίς — — ἐδ. ἀδίκως ἔκρ.· ἀνομώτατα τὰ δ. — — ἔπρ.; ἡ πόλις τεθορύβηται· πάντας ἡμᾶς ἀδικεῖς· πάντας ἡμᾶς λυπεῖς· μὴ προδῷς τὴν Καίσαρος πόλιν· χάρισαι Ἀχαιοῖς ἄνδρα δίκαιον· χάρισαι ἡμῖν ἄνδρα ἕν-

---

[2] *scr* Στρατόκλεις? ‖ [3] ὑμᾶς *P* ‖ [4] *scr* πέπεισται? πέπυσται? ‖ *scr* ἐπιβουλῶν?? *cf* 27, 10 ‖ [5] *scr* ⟨εἰ⟩ εἶχεν, ἀκηκόη ἄν: *cf* 27, 11 ‖ γνωρ.] *cf* 27, 12 ‖ [7] *scr* κοινῶς λέγων?? κοινὸν λόγον? *cf* 27, 13 ‖ [10] ὡς] *scr* ᾧ? ‖ ὅμως] *scr* ὅλως (*cf* 21) *locus corruptus et mutilus*: *cf* 28, 12 ‖ [12] *scr* στηριζόμενοι? ‖ [13] *scr* διαφαυσάσης?? *cf* 35, 8; 11 ‖ [15] *scr* ἐβόων?? (εὐώουν *P*) ‖ [16] κακ.] *scr* ἀδίκως: *cf Q et* 28,21 ‖ *scr* ἀνοσιώτατα ⟨τὰ⟩? ἀνόσια τὰ? ἄνομα τὰ? *cf Q et* 28, 21; 35, 19 *narr* 369, 13

[17] *scr* αὐτῷ? ⟨πρὸς⟩ αὐτὸν? *cf* 59, 15 ‖ γελᾷς ὦ] *scr* γελάσω? *cf* 2; 26, 28 ‖ [18] καινὴν *Q* ‖ [20] *scr* παριόντας?? ‖ [22] ⟨ἦν⟩ ποιήσας?

τί κακὸν ἔπραξεν; τέσσαρσιν ἡμέραις κρέμαται καὶ ζῆν. λῦσον τὸν σώφρονα, καὶ πᾶσα Ἀχαΐα ἐλεηθήσεται.

7 *Ὡς δὲ παρέκυψεν ὁ Αἰγεάτης τὰ πρῶτα τοῦ ὄχλου, διανεύων τῇ χειρὶ ἀναχωρεῖν αὐτούς, θυμοῦ πλησθέντες ἐτόλμων τι εἰς αὐτόν, ὄντες τὸν ἀριθμὸν δισμυρίους· θεασάμενος ὁ ἀνθύπατος τρόπον τινὰ ἐμμανὴς γενόμενος καὶ δεδοικὼς μή τινα δεινὰ παθεῖν, ἀναστὰς ἐπείη ἀπιέναι εἰς τὸν οἶκον αὐτοῦ ὑποσχόμενος αὐτοῖς ἀπολύει τὸν μακάριον Ἀνδρέαν. ἔφθανον οὖν αὐτὸ τοῦτο τῷ ἀποστόλῳ διδόντες καὶ τὴν αἰτίαν δι' ἧς παραγίνεται ἐπὶ τὸν τόπον. καὶ ἔχαιρον οἱ ὄχλοι ὅτι ἔμελλεν ὁ ἅγιος λύεσθαι.*

8 *Παραγενόμενοι δὲ τοῦ Αἰγιάτου, καὶ τῶν ἀδελφῶν δὲ πάντων ἅμα τῇ Μαξιμίλλῃ, καὶ χαιρόντων, ἀκούσας δὲ ὁ μακάριος εἶπεν· Τίνος χάριν πρὸς ἡμᾶς ἐλήλυθας ὦ Αἰγεᾶτα; τί τολμῆσαι πάλιν θέλων; τιχνάσασθαι; εἰπέ. λύσων ἡμᾶς προσηνῶς μετεγνωκώς; οὐδ' ἂν ὁ ἀληθῶς ἐπέγνως Αἰγεᾶτα οἶτι σοι συνθήσομαι, οὐδ' ἂν τὰ σὰ ἅπαντα ὑπισχνῇ με, οὐκ ἀφίσταμαι τοῦ ἐμοῦ δεσπότου· πρὸς ἐκεῖνον ἐπείγομαι τὸν καὶ σὲ γνωρίσαντά μοι· Κατάμαθε τὸν Αἰγεάτην καὶ τὰ τούτου δῶρα.*

9 *Καὶ ὡς πάλιν αὐτὸς ἐτόλμα προσεγγίσαι τῷ ξύλῳ ὥστε λῦσαι τὸν μακάριον, τῆς πόλεως ὅλης θορυβούσης αὐτόν, ὁ ἀπό-*

θεον· μὴ ἀποκτείνῃς ἄνδρα ὅσιον· μὴ ἀνέλῃς ἄνδρα εὐσεβῆ· δυσὶν ἡμ. κρεμάμενος ζῇ· μηδὲν φαγὼν ἡμᾶς τῶν λόγων ἐχόρτασεν τῆς διδασκαλίας αὐτοῦ· κάθελε τὸν ἄνδρα, καὶ πάντες φιλοσοφήσομεν· ἀπόλυσον τ. σώφ., κ. ἡ Ἀχ. ἐλ.

7 *Καὶ ἠβουλήθη ὁ Αἰγεάτης ἀπολῦσαι αὐτόν. ἀγαλλιῶντος οὖν τοῦ ὄχλου ὅτι ἔμελλεν ὁ μακάριος Ἀνδρέας λύεσθαι τῶν δεσμῶν,*

8 *παραγενομένου τοῦ ἀνθυπάτου καὶ παντὸς τοῦ πλήθους,*

9 *καὶ ὡς ἐτόλμα πρ. ὥστε λύειν τ. Ἀνδρέαν, εἶπεν ὁ Ἀν-*

---

[1] scr ζῇ (ζεῖν P) ‖ [2] scr ἐλευθερωθήσεται?? cf narr 369, 24 pass alt 377, 4 ‖ scr παρήκουσεν? cf 29, 15 narr 369, 25 ‖ [5] scr δισμύριοι· οὓς θεασάμενος: cf 29, 18 ‖ [6] scr ἐμμανεῖς γενομένους? cf 29, 19 et narr 370, 1 ‖ [7] scr πάθῃ (uel πάθοι)? cf 29, 20; laud 357, 5 narr 370, 21 ‖ ἐπ. ἀπ.] scr ἀπῄει?? ‖ [8] scr ἀπολύειν ‖ [9] αὐτῷ P ‖ scr δηλοῦντες? cf 29, 22 ‖ scr ἦν? ‖ [12] scr παραγενομένου ‖ scr Αἰγεάτου? (cf 59, 10) an ἀνθυπάτου? cf Q et 29, 25 ‖ [13] del καὶ? cf 29, 26 ‖ δὲ del?? cf 59, 25 ‖ [14] ὑμᾶς P ‖ [15] scr τί τεχνάσασθαι: cf 30, 9 ‖ λύσον P: scr λῦσαι?? cf 30, 10 ‖ πρ.] scr προσῄεις ὡς??? cf 30, 10 ‖ [16] ὁ] scr ὡς? ‖ scr ἐπιγνῷς? cf laud 348, 9 ‖ scr ἔτι?? cf 30, 11 laud 348, 10 ‖ [17] scr μοι? cf laud 348, 10 ‖ del οὐκ?

στολος εἶπεν· Τὸν ἐπὶ ξύλου δεθέντα Ἀνδρέαν μὴ ἐπιστρέψῃς λυθῆναι δέσποτα, τὸν ἐπὶ τοῦ σοῦ μυστηρίου ὄντα· ἀλλ' αὐτὸς ὃν ἠγάπησα, οὗ εἰμί, δέξαι με κύριε, ὅπως διὰ τῆς ἐμῆς ἐξόδου τῆς ἐπὶ σοὶ ἡ τῶν πολλῶν μου συγγενῶν σύνοδος γένηται ἀναπαυομένων τῇ σῇ μεγαλειότητι. Καὶ εἰπὼν ταῦτα παρέδωκεν τὸ πνεῦμα πρὸ μιᾶς καλανδῶν δεκεμβρίου.

10 Μετὰ δὲ τὴν ἔξοδον τοῦ μακαρίου ἡ Μαξιμίλλα ἅμα τῷ Στρατοκλεῖ προσελθοῦσα ἔλυσεν τὸ λείψανον τοῦ μακαρίου, καὶ ὀψίας γενομένης ἐκήδευσεν αὐτὸν ἐπιμελῶς. καὶ ἦν τοῦ Αἰγεάτου κεχωρισμένην διὰ τὴν θηριωδίαν αὐτοῦ ψυχὴν καὶ πολιτείαν ἄνοδον· ἀλλ' ἑλομένην βίον σεμνὸν καὶ ἤρεμον ἅμα τοῖς συναδέλφοις διῆγεν. ἣν πολλὰ λιπαρήσας ὁ Αἰγεάτης, ὑποσχόμενος τῶν πραγμάτων αὐτοῦ δεσπόζειν αὐτήν, νυκτὸς ἀναστὰς καὶ διαλαθὼν πάντας τοὺς αὐτοῦ ἀπὸ ὕψους μεγίστου ῥίψας αὐτὸν ἐτελεύτησεν. ὁ δὲ Στρατοκλῆς ὢν τοῦ Αἰγεάτου

δρέας· Κύριε Ἰησοῦ Χριστὲ τὸν ἐ. ξ. Ἀ. — — δέσποτα· μὴ δῷς με ἀναιδεῖ διαβόλῳ τὸν διὰ σὲ κρεμασθέντα. μηκέτι με ταπεινούτω ὁ ἀντίδικός σου κύριε, ἀλλὰ αὐτὸς παράλαβε τὸ πνεῦμά μου Ἰησοῦ Χριστὲ ὃν ἐπόθησα, ὃν εἶδον, ὃν ἠγάπησα καὶ οἶδα. Καὶ ε. τ. ὁ μακάριος Ἀνδρέας καὶ δοξάσας τὸν κύριον παρέδ. τὸ πν.

10 Κλαιόντων οὖν ἡμῶν καὶ ἀνιωμένων ἁπάνων ἐπὶ τῷ χωρισμῷ αὐτοῦ Μαξ. τοῦ ἀνθυπάτου ἡ γυνὴ μηδενὸς φροντίσασα τῶν αὐτῆς προσελθ. — — μακ. Ἀνδρέου· καὶ ποιήσασα ἐπιμέλειαν πολλὴν ἐπ' αὐτὸ καὶ ἐνέγκασα σμύρναν καὶ ἀλόην ἤλειψεν αὐτό· καὶ ἐνειλήσασα ἐν σινδόνι κατέθετο ἐν μνημείῳ. καὶ ἦν τ. Α. κεχωρισμένη διὰ τὴν θηριώδη α. ψ. κ. πολ. τὴν ἄνομον· ὃν οὐδὲ προσήκατο τοῦ λοιποῦ ὅλως πρὸς συνουσίαν μετ' αὐτοῦ· ἀλλὰ ἑλομένη β. σ. κ. τῇ ἀγάπῃ τοῦ Χριστοῦ κεχορηγημένη καὶ ζῶσα μετὰ τοὺς ἀδελφούς. ἣν π. λ. ὁ Α. καὶ ὑπνισχνούμενος τὰ αὐτοῦ πάντα δεσπ. α. καὶ μὴ δυνάμενος πεῖσαι αὐτὴν ν. ἀποστὰς — — ἔρριψεν ἑαυτὸν καὶ ἐτ. ὁ δὲ Σ. κατὰ

---

[1] *scr* ἐπιτρέψῃς? *cf narr* 371, 7; 15 ‖ [2] ὄντα] *cf* 18; 31, 24 *narr* 371, 17 (κρεμασθέντα) ‖ [4] τοῖς *P* ‖ *scr* σὲ? *cf* 32, 27 *narr* 371, 25 ‖ [5] ⟨ἐν⟩ τῇ? *cf* 33, 10 *narr* 371, 25 ‖ [9] *scr* αὐτὸ? *cf Q* ‖ [10] *scr* κεχωρισμένη: *cf Q* ‖ *scr* θηριώδη: *cf Q* ‖ [11] *scr* ἄνομον: *cf Q* ‖ *scr* ἑλομένη: *cf Q*

[16] ξ. ⟨δεθέντα⟩? *cf P* ‖ [25] *scr* αὐτῷ?? ‖ [27] *del alt* τὴν? ‖ [30] *scr* τῶν ἀδελφῶν ⟨ἦν⟩? ‖ *scr* ὑπισχνούμενος ‖ [31] *scr* τῶν α. πάντων?? ‖ [32] *scr* ἀναστὰς?

ἀδελφὸς κατὰ σάρκα οὐκ ἠβουλήθησαν τοῖς ὑπ' αὐτοῦ καταλειφθεῖσι ἐκ τῆς οὐσίας ἅψασθαι· καὶ γὰρ ἄτεκνος ὁ δεινὸς ἐτελεύτησεν· εἰπών· Τὰ σὰ Αἰγεᾶτα ἅμα συνπορεύονται.

11 Ἐτελειώθη δὲ ὁ ἅγιος καὶ ἀπόστολος τοῦ Χριστοῦ Ἀνδρέας μαρτυρήσας ὑπὲρ τοῦ ὀνόματος τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μηνὶ νοεμβρίῳ τριακάδι· κεῖται δὲ τὸ τίμιον αὐτοῦ λείψανον ἐν Κωνσταντίνου πόλει ἐν τῷ ναῷ τῶν ἁγίων καὶ πανευφήμων ἀποστόλων ἐν τῷ θυσιαστηρίῳ ὑποκάτω τῆς ἁγίας τραπέζης· ἐν ᾧ οἱ προσφυγόντες δοξάζομεν τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ᾧ πρέπει σοι πᾶσα δόξα καὶ τιμὴ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

σ. τοῦ Α. ἀδ. τυγχάνων οὐκ ἠβουλήθη τῇ ὑπ' αὐτοῦ καταλειφθείσῃ οὐσίᾳ θιγεῖν, ἄτ. γὰρ ὁ δ. Αἰγεάτης ἐτ., ἀλλ' εἴασεν αὐτὴν εἰπών· Τὰ σὰ Α. ἅμα σὺν σοὶ πορευθῶσιν· ἐμοὶ δὲ Χριστὸς ἔστω φίλος, κἀγὼ αὐτοῦ δοῦλος.

11 Ἐτ. δὲ ὁ ἀπ. τ. Χ. Ἀ. μηνὶ ν. λ' ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν· ᾧ ἡ δ. καὶ τὸ κράτος εἰς τ. αἰ. τ. αἰ. ἀμήν.

---

θεός ἐστιν. εἰ γὰρ ἐδοκιμάσατε ὅ τι ἐλάλησεν ὑμῖν, ἐγινώσκετε ἄν· ἠκούσατε γὰρ τοῦ λίθου λέγοντος ὅτι οὗτός ἐστιν ὁ λαλήσας μετὰ τοῦ Ἀβραάμ. οὗτος ποῦ εὗρεν τὸν Ἀβραὰμ ἢ εἶδεν αὐτόν; ἔχει γὰρ Ἀβραὰμ τελευτήσας ἔτη οὐκ ὀλίγα .... οὗτος ἐγεννήθη· καὶ ποῦ οὗτος ἐπίσταται τὸν Ἀβραάμ; Καὶ ἐπιστρέψας πάλιν ὁ Ἰησοῦς πρὸς τὴν σφίγγα εἶπεν αὐτῇ· Διὰ τί οὗτοι ἀπιστοῦσιν ὅτι ἐλάλησα μετὰ τοῦ Ἀβραάμ; ἀλλὰ ἄπελθε καὶ πορεύθητι εἰς τὴν γῆν τῶν Χαναναίων καὶ ἄπελθε εἰς τὸ σπήλαιον τὸ διπλοῦν εἰς τὸν ἀγρὸν Μαμβρῆ, ὅπου ἐστὶν τὸ σῶμα τοῦ Ἀβραάμ, καὶ φώνησον ἔξω τοῦ μνημείου λέγουσα· Ἀβραάμ, Ἀβραάμ, οὗ τὸ σῶμα ἐν τῷ μνημείῳ, ἡ δὲ ψυχὴ ἐν τῷ παραδείσῳ, τάδε
146 T λέγει ὁ πλάσας τὸν ἄνθρωπον ἀπ᾽ ἀρχῆς, ὁ ποιήσας σε φίλον ἑαυτοῦ· Ἀνάστηθι ἅμα τῷ υἱῷ σου Ἰσαὰκ καὶ Ἰακώβ, | καὶ ἔλθατε εἰς τὰ ἱερὰ τῶν Ἰεβουσαίων, ἵνα ἐλέγξωμεν τοὺς ἀρχιερεῖς, ὅπως γνῶσιν ὅτι ἐπίσταμαι σὲ καὶ σὺ ἐμέ. Καὶ ὡς ἤκουσεν τοὺς λόγους τούτους ἡ σφὶγξ εὐθὺς περιεπάτησεν ἔμπροσθεν

7 cf gen 23, 9; 17; 25, 10

---

1 θ. ἐ.] οὕτως ἐστὶν καθὼς λέγει O οὗτός ἐστιν ὁ λαλήσας τῷ ἀβραάμ Σ ‖ ο τι ἐλ. ὑμ.] τὰ λεχθέντα ὑπὸ τοῦ λίθου Π ‖ τί O (cf 88, 3) ὁ λίθος add R ‖ ἐλάλει ἡμῖν R ὁ λίθος add D ἡ σφίγξ add O ‖ γνῶτε R γινώσκεται D ‖ 2 ἂν] οὖν R γὰρ D τὴν πλάνην αὐτοῦ Π ἀφ᾽ ἡμῶν add E ‖ 2–3 ἠκ. - τοῦ Ἀ. om C ‖ 2 τ. λ. λέγ. ἃ ἠκ. D ‖ ἠκ. γ. om R ‖ ἠκούσαμεν P ‖ ὅτι om ROE ‖ 3 μ. τ. Ἀ] τῷ ἀ. Ω: cf 7; 80, 11 ‖ οὗτ. - αὐτὸν] ///////// M om ONE ‖ οὗτ. - Ἀ. om D ‖ ποῦ γὰρ εὗρεν οὗτος C ‖ 3–4 ἢ - Ἀ. om R ‖ 3 ἢ] πῶς add Π ‖ οἶδεν P καθίδεν D ‖ 4 ἔ. γ. Ἀ. om E ‖ ἔχει] ὁ C ‖ γὰρ om ON ὁ add PO redit A ARDPCOMNE 4 ἀβραὰμ τ[....... οὗ]τος A ‖ τελ. - ὀλ om C ‖ τελ. om D ‖ ....] πρὸ τοῦ DΠΩ πρὶν Tischendorf probabiliter ‖ αὐτὸν Π ‖ γεννηθῆναι DΠΩ ἔτι πλείονα ἀπέθανεν add C ‖ 5 καὶ om D ‖ πόθεν O πῶς MN ‖ οὕτως [.......] καὶ A ‖ τ. Ἀ.] αὐτόν C ‖ κ. ἐπ] ἐπ. δὲ C ‖ ἐπιστραφεὶς ΠO στραφεὶς R: cf 83, 12; 115, 11; 116, 5 ‖ πάλιν om A ‖ 6 σφίγ[γα] A ἐκτύπωσιν Π ‖ εἶπ[εν ... ο]ὗτοι A ‖ δι᾽ ὅτι DO ‖ 7 ἐλάλει D λελάληκα C ‖ ἀβραὰ[μ ἀ]λλὰ A ‖ ἀλλὰ om RDCOMN ‖ ἄπ. κ. πορ.] ἄπ. RDΠ πορ. Ω ‖ 8 [τ]ῶν χανα[ναίω]ν A ‖ 9 μαμβρὶ AD μαμβρὶν P μαβρῆ C(E) ‖ τὸ σ. τοῦ om R: cf 11 ‖ [τ]οῦ A ‖ 10 ἔξωθεν Π (om D): cf 83, 2; 84, 10; 15 ‖ μνήματος MN: cf 83, 2 σπηλαίου Π (om DE) ‖ λέγου[σα] A om C(D) ‖ 11 μνη[μείῳ...] ψυχὴ A ‖ ἡ δὲ ψ.] ψ. δὲ R καὶ ἡ ψ. Ω ‖ 12 πλ.] ποιήσας R: cf 80, 9 ‖ [τὸν] A ‖ ἄνθ.] ἔτι add P ‖ ἀπ᾽] ἐξ ΠΩ: cf 80, 9 ‖ ὁ καλέσας Π (cf 80, 11?) ἐποίησά DΩ ‖ 13 ἑαυτῷ Ω ‖ ἀνάστα RΩ (cf 68, 14) om A καὶ ἔξελθε add RD ‖ ἅμα] σὺ καὶ Θ ‖ τῷ - Ἰσ. καὶ om Ω ‖ ἰσαὰκ ὁ υἱός σου R ‖ ὁ υἱὸς Π υἱοῖ D ‖ κ. Ἰ. om R ‖ Ἰακ.] ἰακ. ὁ υἱὸς τοῦ υἱοῦ σου D οἱ υἱοὶ (ὁ υἱὸς Π) τοῦ υἱοῦ σου ἰακ. Π(Ω) ‖ καὶ om A ‖ ἔλθετε ΠMN ‖ 14 ἱερὰ] γ P τρία ἱερὰ DO ἱερὰ τὰ τρία MN (om C) ‖ ἐλέγξηται R ἐλέγξομαι DO ἐλέγξετε C ‖ ἱερεῖς Π ‖ 15 ἵνα RD ‖ [γνῶ]σιν A γνώσωσιν MN: cf 68, 10 ‖ 16 τούτ.] παρὰ τοῦ ἰησοῦ add R ‖ σφὶξ AM ἐκτύπωσις (Π) ‖ εὐθέως ΠΩ om R: cf 80, 5 ‖ ἔνπροσθεν A om R

πάντων ἡμῶν καὶ ἐπορεύθη εἰς τὴν γῆν τῶν Χαναναίων εἰς τὸν ἀγρὸν Μαμβρῆ, καὶ ἐφώνησεν ἔξω τοῦ μνημείου καθὼς ἐνετείλατο αὐτῇ ὁ Ἰησοῦς. καὶ εὐθὺς ἐξῆλθον οἱ δώδεκα πατριάρχαι ζῶντες ἐκ τοῦ μνημείου, καὶ ἀποκριθέντες εἶπαν πρὸς αὐτήν· Ἐπὶ τίνα ἡμῶν ἀπεστάλης; Καὶ ἀποκριθεῖσα ἡ σφὶγξ εἶπεν· Ἀπεστάλην ἐπὶ τοὺς τρεῖς πατριάρχας εἰς μαρτύριον· ὑμεῖς δὲ εἰσέλθατε καὶ ἀναπαύεσθε ἕως τοῦ καιροῦ τῆς ἀναστάσεως. Καὶ ἀκούσαντες εἰσῆλθον ἐν τῷ μνημείῳ καὶ ἐκοιμήθησαν. καὶ ἐπορεύθησαν οἱ τρεῖς πατριάρχαι ἅμα τῇ σφιγγὶ καὶ ἦλθον πρὸς τὸν Ἰησοῦν καὶ ἤλεγξαν τοὺς ἀρχιερεῖς. τότε ὁ Ἰησοῦς εἶπεν τοῖς πατριάρχαις· Ἀπέλθατε εἰς τοὺς τόπους ὑμῶν· Καὶ εὐθέως ἀπῆλθον. καὶ ἐπιστραφεὶς ὁ Ἰησοῦς εἶπεν πρὸς τὴν σφίγγα· Ἄνελθε εἰς τὸν τόπον σου· Καὶ εὐθέως ἀνῆλθεν καὶ ἔστη εἰς τὸν τόπον αὐτῆς. καὶ ταῦτα θεασάμενοι οἱ ἀρχιερεῖς οὐκ ἐπίστευσαν αὐτῷ. καὶ ἄλλα πολλὰ μυστήρια ὑπέδειξεν ἡμῖν, ἅπερ ἐὰν διηγήσωμαί σοι ἀδελφέ, οὐ δυνήσῃ αὐτὰ ὑπενεγκεῖν. Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτῷ· Δύναμαι ὑπενεγκεῖν· φρόνιμος γὰρ ἀκούων λόγους χρηστοὺς εὐφραίνεται τῇ καρδίᾳ· διεστραμ-

[17] cf prou 10, 8?? Sirach 21, 15?

---

[1] πάντων om RΠO ‖ ἡμῶν om RΣ ‖ [2] μαμβρῖ AD μαμβριν P (om C) ‖ καὶ] ἐλθοῦσα εἰς τὸ σπήλαιον τὸ διπλοῦν add R: cf 82, 8 ‖ ἔξωθεν DP: cf 82, 10 ‖ μνήματος MN: cf 4; 8; 82, 11 ‖ καθὰ D ἐλάλησεν καὶ add D ‖ [3] Ἰ.] θεός D ‖ εὐθέως RΠONE om M: cf 80, 5 ‖ [4] ἐκ τ. μν. ζ. RΩ ‖ ζ. om D ‖ μνήματος Π: cf 2 ‖ ἀπο[κριθ]έντες A ἀπεκρίθησαν R om Ω ‖ εἶπον DCΣ om R ‖ [5] ἀποκρηθοῦσα A ‖ ἡ σφ. om P(C)Ω ‖ σφὴξ A ‖ εἶπεν] πρὸς αὐτοὺς add Ω: cf 68, 14 ‖ [6] ἐπὶ] πρὸς ΠΣ: cf 5 ‖ τρεῖς om A: cf 3; 9 ‖ μαρτυρίαν OMN (om R) ‖ [6–8] ὑμ. - ἐκοιμ. om Ω ‖ [6–7] ὑμ. - καὶ] νῦν οὖν ὑμ. ἀπελθόντες R ‖ [7] εἰσέλθετε Π ‖ κ. ἀν. om D ‖ ἀν.] καθεύδετε Π ‖ [7–8] ἕως - ἐκοιμ. om R ‖ [8] ἐν] εἰς AD ‖ τὸ μνημεῖον D ‖ [8–9] καὶ ἀναστάντες οἱ τρ. π. ἐπορ. P ‖ [9] πατρ. om R ‖ σφίγγη ARO ἐκτυπώσει P (om C) ‖ [10] post I. deficit A

RDPCOMNE [10–12] τότε - ἀπῆλθον om Ω ‖ [10–11] τότε - πατρ.] καὶ ε. αὐτοῖς ὁ ἰησ. C ‖ [10] ὁ Ἰ. om D ‖ [11] ἀπέλθετέ C ‖ [11–12] κ. ε. ἀπ. om D ‖ [11] ε. om C: scr εὐθὺς? cf 80, 5 ‖ [12] ἀπήλθαν (-αν etiam 3; 8; 9) P ἀνεχώρησαν R ‖ κ. ἐπ. - εἶπεν] εἶπεν δὲ καὶ C ‖ στραφεὶς R: cf 82, 5 ‖ ὁ Ἰ. om RDP ‖ πρ. τ. σφ. ε. R ‖ π. τ. σφ.] τῇ σφιγγὶ Ω: cf 68, 14 ‖ σφ.] ἐκτύπωσιν Π ‖ [13] ἄπελθε R ‖ scr εὐθὺς? cf 80, 5 ‖ ἀπῆλθεν R ‖ ἔστη] ἐκάθησεν RD ἐκολλήθη Ω: cf 80, 2 ‖ [13–14] εἰς - αὐτ. om RDΣ ‖ [14] καὶ - ἀρχ.] ἐποίησε δὲ C ‖ οἱ ἱερεῖς R om Ω ‖ [14–15] κ. ἄλλα π. σημεῖα καὶ οὐκ ἐπίστ. α. C ‖ οὐκ ε. α. om R ‖ [15] ἀπέδειξεν R ἔδειξεν E om C ‖ ἡμ. om RC ‖ [15–84,2] ἅπερ - θαν. om Ω ‖ [15–16] ἅπερ - σοι] ἐὰν γὰρ εἴπω ὑμῖν R ‖ [15] ἅπερ om D ‖ [16] ὑφηγησώμεθά D ‖ σοι ἀδ. om C ‖ δυνήσεισθαι R δύνασαι D ‖ αὐτὰ om RC ‖ [17] αὐτῷ om RDP ‖ δυνάμεθα ὑπενέγκαι R πάτερ add D πάτερ ἀνδρέα add R ‖ [17–18] φρ. - καρδ.] ἀλλὰ φρονήμω ταῦτα (εἷς λόγος D) αὐταρκές ἐστιν RD ‖ [17] φρονίμως C ‖ [18] ἀκούω C ‖ [18–84,2] εὐφρ. - θαν. om C ‖ [18] δι.] μωρῷ RD

μένοις δὲ ὁμιλῶν οὐ μὴ πείσῃς τὴν ψυχὴν αὐτῶν ἕως θανάτου.

16 *Τότε γνοὺς ὁ Ἰησοῦς ὅτι ἔμελλεν τὸ πλοῖον ἐγγίζειν ἐπὶ τὴν γῆν, ὑπέκλινεν τὴν κεφαλὴν αὐτοῦ εἰς ἕνα τῶν ἀγγέλων αὐτοῦ καὶ ἡσύχασεν καὶ ἐπαύσατο λαλῶν τῷ Ἀνδρέᾳ· καὶ θεασάμενος ὁ Ἀνδρέας ἔκλινεν καὶ αὐτὸς τὴν κεφαλὴν αὐτοῦ εἰς ἕνα τῶν μαθητῶν αὐτοῦ καὶ ἀφύπνωσεν. ὁ οὖν Ἰησοῦς γνοὺς ὅτι ἀφύπνωσεν ὁ Ἀνδρέας εἶπεν τοῖς ἀγγέλοις αὐτοῦ· Ὑποστρώσατε τὰς χεῖρας ὑμῶν καὶ διαβαστάσατε τὸν Ἀνδρέαν καὶ τοὺς μαθητὰς αὐτοῦ, καὶ πορευθέντες θέτε αὐτοὺς ἔξω τῆς πύλης* 147 T *τῆς πόλεως τῶν ἀνθρωποφάγων, καὶ θέντες αὐτοὺς | ἐπὶ τῆς γῆς ὑποστρέψατε πρός με. Καὶ ἐποίησαν οἱ ἄγγελοι καθὼς ἐνετείλατο αὐτοῖς ὁ Ἰησοῦς, καὶ διαβαστάσαντες τὸν Ἀνδρέαν καὶ τοὺς μαθητὰς αὐτοῦ καθεύδοντας καὶ ἐπιτιθέντες αὐτοὺς εἰς ἀέρα ἀπήγαγον αὐτοὺς ἔξω τῆς πύλης τῆς πόλεως τῶν ἀνθρωποφάγων· καὶ ἀποθέμενοι αὐτοὺς ὑπέστρεψαν οἱ ἄγγελοι πρὸς τὸν Ἰησοῦν· καὶ μετὰ ταῦτα ἀνῆλθεν ὁ Ἰησοῦς εἰς τοὺς οὐρανοὺς μετὰ τῶν ἀγγέλων αὐτοῦ.*

17 *Πρωίας δὲ γενομένης διυπνισθεὶς ὁ Ἀνδρέας καὶ ἀνα-*

---

[1] *γὰρ R ‖ ὁμ.] ὁ ἐξηγούμενος RD ‖ μὴ om R ‖ πείσει R(D) ‖ αὐτοῦ τ. ψ. D ‖ αὐτοῦ R ‖* [2] *ᾅδου D ‖* [3] *τότε - ὅτι] ὅτε δὲ Π ‖ τ. γν.] καὶ ἰδὼν Ω ‖ τὸ πλ. ἔμ. R ‖ ἤμελλεν D ἤθελε E ‖* [4] *ἐπέκλινεν D ὁ ἰησοῦς add O ‖ αὐτοῦ om C ὁ ἰησοῦς add Π ‖ εἰς ἕ.] ἑνὶ MN (om E) ‖* [5] *αὐτοῦ] om ROMN(E) κόλπων add R ‖ καὶ] φησιν add R ‖* [5–7] *ἡσ. - α. καὶ om E ‖* [5] *κ. ἐπ. λ. τῷ Ἀ. om ROMN ‖ τῷ Ἀ. κ. θε. om C ‖* [5–6] *κ. θε. ὁ Ἀ. om R ‖* [5] *θε. om OMN ‖* [6] *κ. αὐτ. ἔκλ R κ. αὐτ. κλίνας C ‖ κ. α. om OMN ‖* [6–7] *εἰς - αὐτοῦ om OMN ‖* [7] *αὐτοῦ καὶ om C ‖ ὕπνωσεν RO ὁ ἀνδρέας add D ‖* [7–8] *ὁ - εἶπεν] εἶπε δὲ ὁ ἰησ. C ‖* [7] *γν. δὲ ὁ ἰησ. Ω ‖ οὖν] δὲ R ‖* [7–8] *γν. - Ἀ. om R ‖* [8] *ὕπνωσεν O ἡσυχάζει P ‖ αὐτοῦ] λέγων add D ‖ ὑπὸστηρώσατε D ὑποστείλαται O ὑποστήσατε Σ: scr ὑποστορέσατε?? ‖* [9] *ὑμ. τ. χ. D ‖ διαβ.] redit B sed alia m scriptus*

BRDPCOMNE [9] *διαβαστάξατε CMN διαβαστάξαντες P διαβάστατε D βαστάσατε O: cf 13 ‖ τὸν om C τε add D ‖* [10] *θέτε] ἐάσατε RΠ ‖ αὐτοὺς om PO ‖ post αὐτοὺς deficit D*

BRPCOMNE [10] *ἔξωθεν P: cf 82, 10 ‖ τ. πύλ. om BRCΩ: cf 66, 7 ‖* [11] *πόλ.] εἰς τὴν πύλην add R ‖* [11–12] *κ. θ. - με om CΩ ‖ τὴν γῆν RP ‖* [12] *ἐπιστρέψατε RP: cf 16 ‖ ἐπ.] οὕτως add RC ‖* [12–14] *καθὼς - καθεύδ. om C ‖* [13] *ἐνετ.] εἶπεν R: cf 93, 12; 102, 12 ‖* [13–17] *καὶ διαβ. - τὸν Ἰ. om Ω ‖* [13–16] *διαβ. - ἀποθ. α. om B ‖* [13] *διεβάσταξαν R: cf 9 ‖* [14–15] *ἐπιτ. - ἀέρα] ἀγαγόντες ἐπὶ τοῦ ἀέρος C ‖* [14] *ἀπέθεντο R: scr ἐπιθέντες? ‖* [15] *ἀπήγ. om R ‖ αὐτ. om RC ‖ τ. ἀνθρ. om Π ‖* [16] *ἀποθ. αὐτ. om R ‖ ὑπ.] ἀπῆλθον RΠ ‖ οἱ ἄ. om Π ‖* [17–18] *καὶ - αὐτοῦ om CΣ ‖* [17] *μ. ταῦτα] αὐτὸς O om BR ‖ ἀνέβη R ἀπῆλθεν P ‖ ὁ Ἰ. om BO ‖ ὁ om R ‖* [17–18] *μ. τ. ἀ. α. εἰς τ. ο. PO ‖ τὸν οὐρανὸν R: cf 67, 18 ‖* [19] *γεναμένης B ‖ διϋπνίσθη R ‖ καὶ] δὴ add P*

βλέψας εὗρεν ἑαυτὸν ἐπὶ τὴν γῆν καθεζόμενον, καὶ θεασάμενος εἶδεν τὴν πύλην τῆς πόλεως ἐκείνης· καὶ περιβλεψάμενος εἶδεν τοὺς μαθητὰς αὐτοῦ καθεύδοντας ἐπὶ τὴν γῆν, καὶ διύπνισεν αὐτοὺς λέγων· Ἀνάστητε τεκνία μου, καὶ γνώσεσθε τὴν μεγάλην οἰκονομίαν τὴν γενομένην ἡμῖν, καὶ μάθετε ὅτι ὁ κύριος ἦν μεθ' ἡμῶν ἐν τῷ πλοίῳ καὶ οὐκ ἔγνωμεν αὐτόν· μετεμόρφωσεν γὰρ ἑαυτὸν ὥσπερ πρῳρεὺς ἐν τῷ πλοίῳ καὶ ἐταπείνωσεν ἑαυτόν, καὶ ἐφάνη ἡμῖν ὡς ἄνθρωπος, ἐκπειράζων ἡμᾶς. Καὶ ὁ Ἀνδρέας ἐν ἑαυτῷ γενάμενος εἶπεν· Ἐπέγνων σου κύριε τὴν καλὴν λαλιάν, ἀλλ' οὐκ ἐφανέρωσάς μοι ἑαυτόν, καὶ διὰ τοῦτο οὐκ ἐγνώρισά σε. Καὶ ἀποκριθέντες οἱ μαθηταὶ αὐτοῦ εἶπον πρὸς αὐτόν· Πάτερ Ἀνδρέα, μὴ νομίσῃς ὅτι ἔγνωμεν ἐν τῷ σε λαλεῖν ἐν τῷ πλοίῳ μετ' αὐτοῦ· εἱλκύσθημεν ὑπὸ ὕπνου βαρυ-

doniae . . . .

doniae. et respexit ad discipulos suos et uidit eos dormientem. et excitans eos dixit eis: Surgite filii mei et uidete et cognoscite misericordiam dei que facta est nobis et scitote quia dominus Iesus Christus nobiscum erat in nauem et non cognouimus eum . . . .

. . . .

. . . . nobis

quas homo ad tentandum nos. nam domine Iesu Christe intellegi tua loquella . . . . ide-

---

1 καθ. ἑ. τ. γ. R ‖ 1–2 ἐπὶ - ἐκ.] πλησίον τῆς πόλεως E ‖ τὴν γ. - εἶδεν om OM ‖ 1 καθεζ. om ΠN ‖ θε.] ἰδοὺ ἀναβλέψας R om Π ‖ 2 εἶδεν om Π ‖ 2–3 τ. πύλ. - γῆν] τ. μαθ. α. κοιμωμένους καὶ ἀναβλέψας ἴδεν τ. πύλ. τ. πόλ. ἐκ. (Π) ‖ 2 τ. πύλ. - εἶδεν om B ‖ ἐκ.] τῶν ἀνθρωποφάγων O om RΣ ‖ 3 αὐτ.] τοὺς μαθητὰς αὐτοῦ Π κοιμωμένους add P ‖ λέγ.] καὶ εἶπεν (λέγει O) αὐτοῖς BO ‖ ἀναστᾶτε B ἀναστάντες R ‖ τέκνα RO ‖ γνῶτε CO γνώσατε M γνώσεται N ‖ 5 τ. γεν. ἡ. om Ω ‖ γεναμένην BR ‖ κ. μάθ.] μάθ. οὖν PΩ μάθ. C om R ‖ κύρ.] ἡμῶν add ME ‖ 6 ἐν τ. πλ. μ. ἡμ. Π ‖ καὶ] ἡμεῖς add MN ‖ ἐπέγνωμεν P (om C) ‖ 7 γὰρ] ὁ κύριος add C ‖ αὐτὸν ME ‖ ὥσπερ - ἑαυτ. om Π ‖ ὡς RE ‖ προρέα OMN πλορέα E (cf 70, 1) ἕνα προρέα R ‖ 8–9 ἐκπ. - ἑαυτ. om C ‖ 8–11 κ. ὁ - σε alieno loco?? ‖ 8–9 κ. ὁ - εἶπεν] καὶ λέγει ὁ ἀνδ. R om PΩ ‖ 9 ἐπέγνω B ἐπεγίνωσκον P ‖ 10 ἀλλ'] καὶ Ω: cf 92, 8 ‖ σεαυτὸν RPE ‖ 10–11 καὶ - σε om ΠME ‖ 10 καὶ om RON ‖ διὰ] τί add N ‖ 11 σε οὐκ ἔγνων O ‖ ἐπέγνων R ἔγνωμεν N ‖ σε] αὐτὸν N δέσποτα add R μετεμόρφωσας γὰρ ἑαυτὸν add MN: cf 6 ‖ 11–87,5 καὶ ἀπ. - εἶπεν om Ω BRPC 11 ἀπ. om C ‖ 12–13 πάτ. - μ. α. om C ‖ 12 ἔγνων P (om R) ‖ ⟨αὐτὸν⟩ ἐν? ‖ 12–13 λαλ. σε R ‖ 13 μ.α. ἐν τ. πλ. P ‖ ἐν τ. πλ. om R ‖ μ. α.] πρὸς αὐτὸν οἴδαμεν R ‖ εἱλκ.] ἡμεῖς ἑλκύσθημεν C κατηνέχθημεν R γὰρ add P: cf 89, 2 ‖ ὑ. ὕ. β.] ὕπνῳ βαρυτάτῳ (βαθυτάτῳ P) RP εἰς ὕπνον βαθύτατον C

Cod Vallicell plut I tom III s XI f 44r 14 et 15 fuit uidelicet Mirmidoniae ‖ 15 *scr* dormientes (m *compend: cf 86, 21; 26*) ‖ 22 *scr* quasi

τάτου, καὶ κατῆλθον ἐκ τῶν οὐρανῶν ἀετοὶ καὶ ἦραν τὰς ψυχὰς ἡμῶν καὶ ἀπήγαγον ἐν τῷ παραδείσῳ τῷ ἐν τῷ οὐρανῷ, καὶ εἴδομεν μεγάλα θαυμάσια. ἐθεασάμεθα γὰρ τὸν κύριον ἡμῶν Ἰησοῦν καθεζόμενον ἐπὶ θρόνου δόξης, καὶ πάντες οἱ ἄγγελοι κυκλοῦντες αὐτόν. ἐθεασάμεθα καὶ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ καὶ πάντας τοὺς ἁγίους, καὶ Δαυὶδ ᾄδων ᾠδὴν ἐν τῇ κιθάρᾳ αὐτοῦ. καὶ ἐθεασάμεθα ἐκεῖ ὑμᾶς τοὺς δώδεκα ἀποστόλους παρεστηκότας ἐνώπιον τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἔξωθεν ὑμῶν ἀγγέλους δώδεκα κυκλοῦντας ὑμᾶς, καὶ ἕκαστος ἄγγελος ὄπισθεν ἑκάστου | 148 T ὑμῶν ἑστηκώς, καὶ ἦσαν ὅμοιοι ὑμῶν τῇ ἰδέᾳ. καὶ ἠκούσαμεν τοῦ κυρίου λέγοντος τοῖς ἀγγέλοις ὅτι Ἀκούετε τῶν ἀποστόλων κατὰ πάντα ὅσα ἂν ἐρωτῶσιν

oque non te minime recognoui. Et dixerunt discipuli eius ad ipsum: Domine pater Andreas, ne speres quia nos alii intellegimus quicumque loqueuaris in mari. translati enim sumus in sommo gramori, et ascenderunt aquilae et rapuerunt animas nostras et duxerunt nos in paradysum quod est in caelis, et uidimus mirabilia magna. et uidimus dominum nostrum Iesum Christum sedentem in throno gloriae

[s.ae et omnes

angeli circumstantem . . . .

. . . .

. . . . et uidemus

post uos . . . .

unumquemque . . . .

et audiuimus dominum Iesum dicentes ad angelos: Audide apostolos meos in omnibus que p . . . . . a uobis. Haec sunt que

---

[1] *κατήλθαν P (cf 83, 12) ἦλθαν R* ‖ *ἐκ. τ. ο. om RΠ* ‖ [2] *ἀπήγ.] ἡμᾶς add RP* ‖ *εἰς τὸν παράδεισον ἐν τ. ο. R* ‖ [3] *ἴδωμεν B ἐθεασάμεθα RP* ‖ [4] *Ἰ. om Π χριστὸν add R* ‖ *καθήμενον RC: cf 90, 7* ‖ *θρ. om R* ‖ [5] *κ. α.] εὐλογοῦντες καὶ ὑμνοῦντες α. R: cf 9* ‖ *αὐτ.] καὶ ὑμνοῦντες add P* ‖ *κ. ἐθ. R κ. ἴδομεν C ἐθ. γὰρ P* ‖ *Ἀ.] τὸν ἀ. Π* ‖ *Ἰακ.] κυκλοῦντες ἡμᾶς add R* ‖ [6] *κ. π. τ. ἁ. om R* ‖ *ἤνεσεν (l ᾖσεν) B ᾄδοντα RC: cf 4* ‖ *ᾠδὴν] τὴν ᾠδὴν κυρίου P om R(C)* ‖ *κινύρα (Π)* ‖ [7] *κ. ἐθ. ἐκ. ὑ.] ἐθ. κ. R κ. C* ‖ [8–11] *παρεστ. - ἰδέᾳ] κυκλοῦντες αὐτοὺς οἱ ἄγγελοι C* ‖ [8] *παρεστῶτας P (cf 10) om R* ‖ [9] *ὑμῶν] ὑμνοῦντας R: cf 5* ‖ *δώδ.] ἑβδομήκοντα δύο R om C* ‖ *κυκλοῦντες ἡμᾶς R* ‖ *καὶ om RP* ‖ *ἕκαστον B* ‖ [10] *ἄγγελον BR τῶν ἀγγέλων P* ‖ *ὄπ. ἑκ.] ὅμοιος R* ‖ *ἡμῶν R* ‖ *εστηκότων B τῶν ἀποστόλων P* ‖ [11] *ὑμ.] ἡμῶν ἐν R* ‖ *τ. ἀγγ. om R* ‖ [12] *ὅτι om RΠ* ‖ *ἀκούσατε Π ἀκούσατε ἀκούσατε R* ‖ *κατὰ om R* ‖ *ἂν om RC* ‖ *λέγωσιν P λέγουσιν RC*

[15] *scr* quaecumque? ‖ [16] *scr* somno grauiori ‖ *scr* descenderunt? ‖ [20] *scr* suae ‖ [21] *scr* circumstantes (m *compend: cf 85, 15* ‖ [25] *scr* dicentem ‖ Audide] *alt* d *non certum* ‖ [26] apostolos *compendio* ‖ *scr* petent?

ὑμᾶς. Ταῦτά εἰσιν ἃ εἴδαμεν πάτερ Ἀνδρέα ἕως οὗ διύπνισας ἡμᾶς· καὶ ἤνεγκαν τὰς ψυχὰς ἡμῶν ἐν τῷ σώματι ἡμῶν.

18 *Τότε Ἀνδρέας ἀκούσας ἐχάρη χαρὰν μεγάλην ὅτι κατηξιώθησαν οἱ μαθηταὶ αὐτοῦ τὰ θαυμάσια ταῦτα θεάσασθαι. καὶ ἀναβλέψας Ἀνδρέας εἰς τὸν οὐρανὸν εἶπεν· Ἐμφάνηθί μοι κύριε Ἰησοῦ Χριστέ· ἐγὼ γὰρ γινώσκω ὅτι οὐκ εἶ μακρὰν ἀπὸ τῶν σῶν δούλων. συγχώρησόν μοι κύριε ὃ ἐποίησα· ὡς γὰρ ἄνθρωπόν σε τεθέαμαι ἐν τῷ πλοίῳ καὶ ὡς ἀνθρώπῳ σοι ὡμίλησα. νῦν οὖν κύριε φανέρωσόν μοι σεαυτὸν ἐν τῷ τόπῳ τούτῳ. Ταῦτα δὲ εἰπόντος τοῦ Ἀνδρέου παρεγένετο ὁ Ἰησοῦς πρὸς αὐτόν, γενόμενος ὅμοιος μικρῷ παιδίῳ ὡραιοτάτῳ εὐειδεῖ. καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν· Χαῖρε Ἀνδρέα ἡμέτερε. Ὁ δὲ Ἀνδρέας θεασάμενος αὐτὸν πεσὼν ἐπὶ τὴν γῆν προσεκύνησεν αὐ-*

uidimus pater Andreas. et cum nos resuscitasti, tunc reddite sunt animae nostrae in corpore nostro. 18 Et cum haec au- [disset sanctus Andreandreas, letus factus est, qui digni fuerant discipuli eius haec mirabilia uidere. Tunc respiciens sanctus Andreas in caelum et dixit: Domine meus Iesu Christe, ego enim scio quia non est longe a seruis tuis. unde obsecro te indulgeas michi in unc locum. Haec dicentem sanctum Andream uenit ad eum dominus Iesus Christus in effigia pulcerrimi pueri et dixit ei: Gaudeas cum tuis discipulis. Et cum ui-

---

[1] *ὑμῖν R(Π) ‖ ταῦτα - οὗ] καὶ ὡς C ‖ ἐστιν R ‖ ἅπερ P ‖ οιδαμεν B ἴδωμεν R ‖ διύπνισες B ἐξύπνισας C ‖* [2] *καὶ om Π ‖ ηνεγκα B ἤγαγον C γὰρ add P πάλιν add Π οἱ ἄγγελοι add C οἱ ἀετοὶ add P ‖ ἡμ.] οἱ ὡς ἀετοὶ φαινόμενοι add C καὶ ἀπέθεντο add Π ‖ εἰς τὰ σώματα Π om R ‖ ὑμῶν B om R ‖* [3] *τότε] ὁ add R ‖ ἀκ. om R ταῦτα add P ‖* [4] *τὰ θ. τ.] τοιαῦτα θ. R τ. (C) ‖* [5–7] *καὶ - δούλ.] ὁ δὲ ἀνδρέας εἶπε πρὸς κύριον C*

BRPCOMNE [5] *ἐμφ.] νῦν οὖν ἐμφ. Ω ‖* [6–7] *ἐγὼ - ἐποί. om Ω ‖* [6] *ει μακρὰ B ‖ εἶ] εἰμὶ RP: cf 103, 11 ‖* [7–9] *συγχ. - τούτῳ del? cf 88, 1 ‖* [7] *κύρ. om C ‖ ὃ ἐπ. om RC ‖ ἃ P ‖ ὡς γ.] ὅτι ὡς C: cf 88, 1 ‖* [7–8] *ἄνθ. γὰρ R ‖* [8] *ἐθεασάμην R ἴδον Ω (om C) ‖* [8–9] *κ. ὡς - τούτῳ om Σ ‖* [8] *ἄνθρωπον B ‖ ὁμίλουν PO διηλέχθην C ‖* [9] *νῦν - τούτῳ om O ‖ κύρ. om C μου add P ‖* [10] *τ. δὲ - Ἀ.] καὶ ἰδοὺ C ‖ τ. δὲ] καὶ τ. Ω αὐτοῦ add R ‖ τ. ἀνδρέα BR αὐτοῦ O ‖* [10–11] *παρ. - αὐτ. om R ‖* [10] *Ἰ.] σωτὴρ Π fort uerum: cf 89, 16 ‖* [11] *γεν.] ὁ κύριος add R ‖ παιδ. μ. (Σ) ‖ μικ. om O ‖ παιδαρίω R ‖ ὡρ. om R ‖ εὐ. om RΠΣ ‖* [11–12] *καὶ - Ἰ. om R ‖* [12] *εἶπεν] αὐτῷ add Θ ‖ χαίροις RCO ‖ scr ἡμ. Ἀ.? cf 67, 9; 17; 89, 6; 13; 108, 8 ‖ ὁ δὲ om R ‖* [13] *αὐτὸν om R(C) ‖ π. ἐ. τ. γ. om B: cf 88, 8 ‖ τ. γ.] πρόσωπον R: cf 109, 7 ‖ αὐτῷ RMN om Π: cf 109, 7*

[14] uid.] *f 44ᵘ* ‖ uid. - et cum *supra uersum repet alt ut uid manu* ‖ [17] *scr* Andreas ‖ *scr* quia ‖ [19] *del* et?? ‖ [20] *scr* es ‖ [21] michi] *nullum lacunae signum*

τὸν λέγων· Συγχώρησόν μοι κύριε Ἰησοῦ Χριστέ· ὡς γὰρ ἄνθρωπόν σε εἶδον ἐν τῇ θαλάσσῃ καὶ ὡς ἀνθρώπῳ ὡμίλησά σοι. τί οὖν ἐστιν ὅ τι ἡμάρτηκα κύριέ μου Ἰησοῦ, ὅτι οὐκ ἐφανέρωσάς μοι σεαυτὸν ἐν τῇ θαλάσσῃ; Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν τῷ Ἀνδρέᾳ· Οὐχ ἥμαρτες, ἀλλὰ ταῦτά σοι ἐποίησα ὅτι εἶπας· Οὐ δυνήσομαι πορευθῆναι εἰς τὴν πόλιν τῶν ἀνθρωποφάγων ἐν τρισὶν ἡμέραις. Καὶ ὑπέδειξά σοι ὅτι πάντα δυνατός εἰμι
149 T καὶ ἑκάστῳ φανῆναι καθὼς βούλομαι. νῦν οὖν ἀνάστα, | εἴσελθε πρὸς Ματθείαν εἰς τὴν πόλιν καὶ ἐξάγαγε αὐτὸν ἐκ τῆς φυλακῆς καὶ πάντας τοὺς μετ᾽ αὐτοῦ ὄντας ξένους. ἰδοὺ γὰρ ὑπο-

disset sanctum Andream, procidens in terra adorauit eum dicens: Indulge michi domine Iesu Christe quia ut hominem te extimaui in mari et ita tibi locutus sum. quid enim pec-.aui domine ut non te michi manifestasti in mare? Et dominus Iesus ait illi: Andreas, nichil michi peccasti, set ideo hoc tibi fecit quia dissisti: Non possum proficere in triduo in anc ciuitate. Propterea hoc tibi hostendi qui potens sum et omnia possum facere et unicuique aperire sicut michi placet. et nunc surge, ingredere in ciuitatem ad Matheum fratrem tuum et erue eum de carcere et omnes qui cum eo sunt peregrini. ecce enim dico tibi quia multa tormenta tibi habent inferre isti nequissimi ut carnes tuas in plateas ciuitatis et uicos expurgant. ita sanguis tuis fluent in terra sicut aqua, ita ut

---

[1] *Χρ.] τὴν ἁμαρτίαν ταύτην add Π: cf 87, 7* ‖ *ὡς γὰρ] ὅτι ὡς ΠΟ: cf 87, 7* ‖ [2] *εἶδον om C* ‖ *τ. θ.] τῷ πλοίῳ (Π)Ω: cf 87, 8* ‖ [2–3] *καὶ ὡς - θαλ. om R* ‖ [2] *ὡς ἀ. om BC* ‖ *ὁμίλουν Ω διομίλησα C: cf 87, 8* ‖ *σοι om C* ‖ [3] *ὅ τι] ὃ PMN (om O): cf 82, 1* ‖ *ἥμαρτον (Π)Ω* ‖ *μου om Π(O)* ‖ *Ἰ. om ΠΩ* ‖ [4] *ἑαυτὸν MN* ‖ [5] *τῷ] αὐτῷ R(Π)E om OMN: recte? cf 101, 8; 109, 4* ‖ *οὐχ ἥμ. ἀνδ. Ω* ‖ *οὐκ BR* ‖ *ἐπ.] ὑπέδειξα R* ‖ [6] *δύναμαι Π: cf 69, 1* ‖ *ἐν τῇ πόλει P: cf 69, 1* ‖ *ἐπὶ Σ* ‖ *χώραν RC: cf 65, 7* ‖ *ἀνθρ.] διὰ τοῦτο add R* ‖ [7] *καὶ om R(C)OMN διὰ τοῦτο add P* ‖ *ἔδειξα οὖν σοι O σοι ἔδειξα P* ‖ *π. δ. ε.] δ. ε. (δύναμαι P: cf 105, 17) πάντα (ταῦτα πάντα Ω) ποιῆσαι RP(Ω) om C* ‖ [8] *ὡς ΠΩ ὡς ἂν R* ‖ *ἀναστὰς RΩ om C* ‖ [9] *ἐν τῇ πόλει πρ. ματθαῖον R* ‖ *π. Μ. om ΠΩ* ‖ *ἐν τῇ πόλει ΠΟ καὶ πορεύθητι πρὸς ματθίαν ἐν τῇ φυλακῇ add (Ω)* ‖ *αὐτὸν] ματθαῖον Π* ‖ *ἐκ τ. φ.] ἐκεῖθεν Ω* ‖ [10] *ἅμα αὐτῳ R: cf 89, 17* ‖ *ὄντας om Π* ‖ *post ξένους deest scheda una B: cf 92, 5 (et 91, 17)*

[11] *scr* sanctus Andreas ‖ [13] *scr* peccaui ‖ [16] *scr* feci ‖ [17] *scr* quia ‖ [18] *scr* apparere?? ‖ [22] ut] *scr* et? ‖ [23] *scr* expargunt (*i e* exspargunt *pro eo q e* exspergent)? ‖ [24] *scr* tuus fluet

δείκνυμί σοι Ἀνδρέα πρὸ τοῦ εἰσελθεῖν σε ἐν τῇ πόλει αὐτῶν· ἐνδείξονταί σοι ὕβρεις πολλὰς καὶ δεινὰς καὶ ἐπάξουσίν σοι βασάνους καὶ σκορπίσουσίν σου τὰς σάρκας ἐν ταῖς πλατείαις καὶ ῥύμαις τῆς πόλεως αὐτῶν, καὶ τὸ αἷμά σου ῥεύσει ἐπὶ τὴν γῆν ὥσπερ ὕδωρ· εἰ μὴ μόνον τὸν θάνατον οὐ δύνανταί σοι παρασχεῖν· πολλὰς δὲ θλίψεις ἐπάξουσιν. ἀλλ' ὑπόμεινον ἡμέτερε Ἀνδρέα, καὶ μὴ ποιήσῃς κατὰ τὴν ἀπιστίαν αὐτῶν. μνήσθητι ὧν ὑπέμεινεν ἡ ψυχή μου πολλῶν θλίψεων ὅτε ἔτυπτον καὶ ἐνέπτυον εἰς τὸ πρόσωπόν μου καὶ ἔλεγον ὅτι Ἐν Βεελζεβοὺλ ἐκβάλλει τὰ δαιμόνια. Μὴ οὐκ ἤμην δυνατὸς τῷ νεύματι τῶν ὀφθαλμῶν μου συντρῖψαι τὸν οὐρανὸν καὶ τὴν γῆν ἐπὶ τοὺς ἁμαρτάνοντας ἐπ' ἐμέ; ἀλλ' ὑπέμεινα καὶ συνεχώρησα, ἵνα καὶ ὑμῖν τύπον ὑποδείξω. νῦν οὖν ἡμέτερε Ἀνδρέα, ἐὰν παράσχωσίν σοι τὰς ὕβρεις καὶ τὰς βασάνους ταύτας, ὑπόμεινον· εἰσὶν γὰρ οἱ μέλλοντες πιστεύειν ἐν τῇ πόλει ταύτῃ. Καὶ ταῦτα εἰπὼν ὁ σωτὴρ ἐπορεύετο εἰς τοὺς οὐρανούς.

19 Ἀνδρέας δὲ ἀναστὰς εἰσῆλθεν ἐν τῇ πόλει σὺν τοῖς μαθηταῖς αὐτοῦ, καὶ οὐδεὶς αὐτὸν ἐθεάσατο. καὶ ἐπορεύθησαν

[8] cf Matth 27, 30 ‖ [9] Matth 12, 24

RPCOMNE [1] Ἀ.] ἃ δεῖ σε παθεῖν *add Π: aliquid certe intercidisse uidetur* ‖ σε εἰσελθ. *PMN* (*om E*) ‖ ἐλθεῖν *C* ‖ εἰς τὴν πόλιν *R* ‖ αὐτῶν] ταύτῃ *C* ὅτι *add Ω* ‖ [2] ἐνδ.] ὑπενέγκωσίν *R* γάρ *add P: cf 78, 9; 85, 13* ‖ σε *R* ‖ ὕβ. - βασ.] βασ. κ. ὕβ. *C* βασ. *R: cf 14* ‖ κ. δειν. *om P* ‖ ἐπ. σοι β.] β. σοι παρέξουσιν *P* ‖ [3-4] τ. σάρκ. σου ἐν τ. πλ. κ. ῥ. (τ. π. α. *om*) διασκορπιοῦσι *C* ‖ [3] τ. σ. σου σκ. (σκορπιοῦσιν *O*) *Ω* ‖ [3-4] ἐν - ῥ.] ἐπὶ ταῖς ῥ. κ. πλ. *R* ‖ [3] καὶ] ἐν ταῖς *add* (*Σ*)*: cf 102, 9; 14; 107, 12* ‖ [4] τ. πόλ. α. *om R* ‖ [4-5] ὡς ὕδωρ θερμὸν ἐ. τ. γ. *R* ‖ [5] ὡσεὶ *OME* ὡς *N om C* ‖ ὕδ. *om C* ‖ εἰ - θάν.] τ. δὲ θάν. *RO* θάν. δὲ *C* ‖ εἰ μὴ *om Σ* ‖ οὐ] οὐ μὴ *R* ‖ δυνήσονται (*R*)*Σ* ‖ ἐπάξαι *R* ‖ [6] πολλ. - ἐπ.] καὶ μετὰ ταῦτα πολλ. θλ. παρασχουσίν σοι *R om CΩ* ‖ ἀλλὰ *P* ‖ [6-14] ἡμ. - ὑπόμεινον] ὡς καθὼς ἐμὲ οἶδας τυπτόμενον ὑβριζόμενον καὶ σταυρούμενον *C* ‖ [6] ἡμ. *om Ω* ‖ [7] καὶ *om RMN* ‖ [8] ὧν] ὅσας *R* ὅτι *P* ‖ θλίψεις πολλὰς *P* ‖ πολλ. *om R* ‖ ὅτι *ME* ὅταν *R* ‖ [8-9] ἔπτυον κ. ἔτ. *MN* ‖ [8] ἔτ.] με *add R* ‖ [8-9] κ. ἐν. *om E* ‖ [9] εἰς *om Σ* ‖ κ. ἔλ.] οἱ ἰουδαῖοι λέγοντες *O* ‖ ἔλ.] μοι *add PΣ* ‖ βελζεβοὺλ *R* ‖ [10] ἐκβάλῃς *P* ἐκβαλεῖν *E* ‖ μὴ] οὖν *add O* ‖ [10-11] τ. ὀφθ. *om R* ‖ [11] συντρ. *om PΩ* ‖ τὸν - γῆν] ἐπινεύσει *E* ‖ γῆν] σεῖσαι *add P* ‖ [11-12] ἐπάνω τῶν ἁμαρτανόντων *P* ‖ [12] ἐπ'] εἰς *RΣ* ‖ ἐμὲ] ἐπενεγκεῖν *add O* ἐπενέγκαι *add MN* ‖ συνεχ.] αὐτοῖς *add OE* ‖ καὶ *om RΣ* ‖ [13] ὑποδ. ὑμ. (*om* τύπ.) *R* ‖ ἀνδ. ἡμ. *R* ‖ παράσχουσίν *ON*(*E*) ‖ [14] ὕβ. κ. τ. *om RP: cf 2* ‖ [15] οἱ *om C* ‖ ἐν τῇ π. ταύτην πιστ. *R* πιστεῦσαι εἰς τὴν πόλιν ταύτην *MN* ἐν τῷ ὀνόματί μου *add R* ‖ [16] σωτ.] ἰησοῦς *PMN* κύριος *O* ‖ ἐπορεύθη *RCE: cf 69, 12* ‖ τὸν οὐρανὸν *R: cf 67, 18* ‖ τοὺς *om C* ‖ [17] ὁ δὲ ἀνδ. *R* ‖ ἀναστ. *om Π* ‖ εἰς τὴν πόλιν *RΩ* ‖ [17-18] μετὰ τῶν μαθητῶν α. (α. μ. *C*) *CΣ* ‖ [17] σὺν] ἅμα *R: cf 69, 9; 88, 10* ‖ [18] αὐτοὺς *RMN* ‖ ἐπορεύθη *R* ὡς ἀπῆλθεν *C* (*om MN*)

καὶ ἐμὲ καταλείπατε. Καὶ ἀποκριθέντες οἱ ὑπηρέται εἶπαν αὐτῷ· Οὐ δυνησόμεθα λαβεῖν τὸν υἱόν σου ἐὰν μὴ πρῶτον ἀνενέγκωμεν τοῖς μείζοσιν ἡμῶν. Καὶ ἀπελθόντες οἱ ὑπηρέται εἶπαν τοῖς ἄρχουσιν· καὶ ἀποκριθέντες οἱ ἄρχοντες εἶπαν τοῖς ὑπηρέταις ὅτι Ἐὰν δώῃ ὑμῖν τὸν υἱὸν αὐτοῦ ἀντ' αὐτοῦ, ἐάσατε αὐτὸν ὑπάγειν. Καὶ ἐλθόντες οἱ ὑπηρέται εἶπαν τῷ γεραιῷ. καὶ ἀποκριθεὶς ὁ γεραιὸς εἶπεν αὐτοῖς· Ἔχω καὶ θυγατέρα σὺν
155 T τῷ υἱῷ | μου· λαβόντες αὐτοὺς σφάξατε, μόνον ἐμὲ ἐάσατε. Καὶ παρέδωκεν αὐτοῦ τὰ παιδία τοῖς ὑπηρέταις ἵνα σφάξωσιν αὐτά. ἔκλαιον δὲ τὰ παιδία πρὸς ἄλληλα, καὶ ἐδέοντο τῶν ὑπηρετῶν λέγοντα· Δεόμεθα ὑμῶν, μὴ ἡμᾶς ἀποκτείνητε τῆς μικρᾶς ἡλικίας ταύτης· ἀλλ' ἐάσατε πληρῶσαι τὰς ἡλικίας ἡμῶν, καὶ οὕτως σφαγιάσατε ἡμᾶς. Ἔθος γὰρ ἦν ἐν τῇ πόλει ἐκείνῃ, τοὺς τελευτῶντας οὐκ ἐνεταφίαζον, ἀλλὰ κατήσθιον αὐτούς. οἱ δὲ ὑπηρέται οὐχ ὑπήκουσαν τοῖς παιδίοις οὐδὲ ἐσπλαγχνίσθησαν

---

[1] ἐμὲ - ὑπ. om C ‖ κατελείπατε A καταλείψατε R(Ω) ἐάσαται B (cf 8) ἄφετε P: scr καταλλίπατε? καταλείψατε? cf 74, 19 ‖ [1–2] εἶπαν α. οἱ ὑπ. B ‖ [1] οἱ δήμιοι OME: cf 3; 5; 6; 97, 13 ‖ [1–3] εἶπαν - ὑπηρ. om R ‖ εἶπον ΠΣ ‖ [2] αὐτῷ om C ‖ δυνώμεθα M δυνάμεθα ΠOE: cf 69, 1 ‖ σου] ἀντὶ σοῦ add N: cf 5; 97, 14 ‖ ἐὰν] εἰ BC ‖ [3] ἀνηνέγκομεν A ἀγάγωμεν O ἀναγγείλωμεν CE εἴπωμεν P ‖ [3–4] τ. μ. - εἶπαν om M ‖ [3] τοῦς B ‖ μείζ.] ἄρχουσιν OE ‖ [3–4] κ. ἀπ. - ἄρχουσιν om RE ‖ [3] οἱ δήμιοι O: cf 1 ‖ [4] εἶπον ON ἀπήγγειλαν Π ‖ τ. ἄ.] τ. μείζωσιν R (cf 3) αὐτοῖς B αὐτῶν add RΠ(N) ‖ οἱ ἄ. om RC ‖ εἶπον COME ‖ [5] δημίοις B (om C): cf 1 ‖ ὅτι - ἀντ' α. om E ‖ ὅτι om R ‖ δῷ BM δίδει R(Π) ‖ υἱ. α. om RO(M) ‖ ἀντ' α. om AΠ ‖ ἄφετε Ω ‖ [6] κ. ἐ.] ἐ. δὲ Π ‖ ἀπελθόντες R om B ‖ εἶπαν ταῦτα οἱ δήμιοι B: cf 1 ‖ οἱ ὑπ. om R ‖ εἶπον ΠOME ἀπήγγειλαν R ‖ τ. γ.] αὐτῷ C ‖ γηραιῷ BPΩ ‖ [7] ὁ γ. om ΠΩ ‖ γηραιὸς BR ‖ καὶ om RO ‖ θυγατέραν AE θυγατέρας R ‖ ἅμα R: cf 69, 9 ‖ [8] μου om BΠO ‖ λάβετε RΣ: cf 97, 14 ‖ αὐτοὺς] καὶ αὐτὴν ΠM om E ‖ σφ.] καὶ σφ. Σ om R ‖ μ. ἐ. ἐ.] καὶ ἐμοῦ μὴ ἅψησθαι R ἀντι ἐμοῦ BΣ ‖ καταλείψατε Π: cf 1 ‖ [9] τὰ π. α. PΣ τὰ π. O ὁ γέρων τὰ π. B αὐτὰ C ἀντ' αὐτοῦ add BP ‖ τ. ὑπ. om BC εἰς βρῶσιν καὶ λαβόντες αὐτοὺς οἱ δήμιοι απέφερον add B καὶ ἀπέφερον (ἐπέφερον N ἔφερον E ἀπήγαγον O: cf 99, 1) αὐτὰ add Ω οἱ ὑπηρέται add MN ἐπὶ τὴν ληνὸν add B(Ω) ‖ ἵνα] ὅπως (C)OMN τοῦ BE ‖ σφάξαι E κατασφάξαι B ‖ αὐτά] ἐλθόντων δὲ αὐτῶν ἐπὶ τὸν λινὸν add R ‖ [10] ἔκλ. - ἀλλ. om CO ‖ ἔκλ. δὲ] καὶ ἔκλ. BPΣ ‖ ἔκλαυσαν R: cf 98, 13; 103, 5; 106, 8 ‖ δὲ τὰ π. om R ‖ πρὸς] κρατοῦντα B ‖ om R ‖ ἐδ. τ. ὑπ. om BR ‖ [11] λέγοντες RnE ‖ ἡμᾶς] ὑμᾶς A ‖ [11–12] ἐν τῇ μικρᾷ ἡλικία ταύτῃ B ἐν αὐτῇ τῇ ἡλικία ἡμῶν τῇ μικρᾷ R(O) ἐπισπλαγχνίσθητε ἐπὶ τὰς ἡλ. ἡμῶν τὰς μ. ταύτας (Σ) (om C) ‖ [12] ἀλλὰ P καὶ (N)E om M ‖ ἐάσ.] ἡμᾶς add RCO ‖ τὴν ἡλικίαν R ‖ ἡμ. om R(C) ‖ [13] ἡμ. κατασφάξατε B ‖ σφάξατε Θ: cf 96, 1 ‖ ἡμ. om R ‖ ἐκ. om (OM) καὶ add BΠ ‖ [14] ἀλλὰ κ. α. om BM ‖ [14–15] οἱ - ὑπήκ.] καὶ οὐκήκουσαν οἱ ὕπ. B ‖ [14] οἱ δὲ] τότε οἱ PME ‖ [15] τ. παιδ.] τῆς φωνῆς τῶν νηπίων B αὐτῶν O om C ‖ [15–99, 1] οὐδὲ - αὐτοῖς om BC ‖ [15] οὔτε RP

ἐπ᾽ αὐτοῖς, ἀλλὰ ἐπέφερον αὐτὰ ἐπὶ τὴν ληνὸν κλαίοντα καὶ δεόμενα. Καὶ ἐγένετο ὡς ἤγαγον αὐτὰ τοῦ σφάξαι, θεασάμενος Ἀνδρέας τὸ γεγονὸς ἐδάκρυσεν, καὶ κλαίων ἀνέβλεψεν εἰς τὸν οὐρανὸν καὶ εἶπεν· Κύριε Ἰησοῦ Χριστέ, καθὼς ἐπήκουσάς μου εἰς τοὺς νεκροὺς καὶ οὐκ εἴασας καταβρωθῆναι αὐτούς, οὕτως καὶ νῦν ἐπάκουσόν μου τοῦ μὴ ὑπενεγκεῖν τοὺς δημίους τὸν θάνατον ἐπὶ τὰ παιδία ταῦτα, ἀλλὰ ἀναλυθῆναι τὰς μαχαίρας ἐκ τῶν χειρῶν τῶν δημίων. Καὶ εὐθέως ἐλύθησαν αἱ μάχαιραι καὶ ἔπεσον ἐκ τῶν χειρῶν τῶν δημίων. καὶ τούτου γενομένου θεασάμενοι οἱ δήμιοι τὸ γεγονὸς ἐφοβήθησαν σφόδρα. καὶ ἰδὼν Ἀνδρέας | τὸ γινόμενον ἐδόξασεν τὸν κύριον ὅτι ὑπήκουσεν αὐ- 156 T
τοῦ ἐν παντὶ ἔργῳ.

24 *Καὶ θεασάμενοι οἱ ἄρχοντες τὸ γεγονὸς ἔκλαυσαν κλαυθμὸν μέγαν λέγοντες· Οὐαὶ ἡμῖν, τί μέλλομεν ποιεῖν; Καὶ ἰδοὺ*

---

[1] *αὐτὰ Σ ‖ ἀλλὰ - ληνὸν] βλέποντες αὐτὰ R ‖ ἀλλ᾽ CME ‖ ἀπέφερον BPN ἀνέφερον O (om C): cf 98, 9 ‖ αὐτὰ] τοῦ κατασφάξαι αὐτὰ καὶ ἔθηκαν αὐτὰ B om (C) ‖ [1–2] κλ. κ. δ. om BO(E) ‖ [2] δεόμενοι C λέγοντα ἐλεήσατε ἡμᾶς R (om Σ) ‖ ἐγέννετω A (om CΣ) ‖ ὡς ἤγ.] ἐν τῷ ἐπάραι τοὺς δημίους τὴν χεῖρα (cf 96, 11) B om (CΣ) ‖ ἐπήγαγον ἐπ᾽ α. R ‖ τ. σφ. αὐτὰ B ‖ αὐτὰ] ἐπὶ τὴν λινὸν add P ‖ ἵνα σφάξωσιν R (om C) καὶ add Σ: cf 68, 3; 78, 11 ‖ θεασ.] ὁ add BR(Π)ONE ‖ [3] τὸ γεγ. om Φ ‖ κλαίων om B(MEC) ‖ ἀναβλεψας B (om MEC) ‖ [4] καὶ om B ‖ κύρ.] ὦ κύρ. ME μου add BM(N) ‖ ἐπ. μου om A ‖ ὑπήκουσάς P εισήκουσας B ἤκουσας O ‖ [5] εἰς τ. ν.] ἐπι τῶν φυλακων B ‖ ἔασας RPON (om C): cf 115, 8 ‖ ἀυτα βροθῆναι α. A βρωθῆναι α. OME α. βρωθῆναι RPN (om C) ‖ [6] καὶ] μήτε R μηδὲ BΣ ‖ ἐπ. - μὴ] ποιήσης αὐτοὺς B ‖ ἐπ.] παρακούσης R(Σ) ‖ τοῦ μὴ] καὶ μὴ ἐάσης Θ ‖ [6–7] ὑπ. - ταῦτα] τὰ παιδία ὑπὸ τῶν δημίων τούτων σφαγῆναι (Π) ‖ [6] ὑπ. τ. δημ.] τ. δημ. (τούτους add O) ἐπενεγκεῖν (ἐνεγκεῖν O) Ω ἐλθεῖν R ‖ ὑπηνεγκεῖν B: scr ἐπενεγκεῖν? ‖ τ. δημ. om B ‖ τὸν om BRΩ ‖ [7–8] ἀλλὰ - δημ. om B ‖ [7] ἀλλαναλλυθῆναι(?) A ‖ ἀλλὰ] ποίησον add Ω ‖ [7–8] ἀναλ. - δημ.] τὰς μαχ. αὐτῶν ἐκ τ. χ. αὐτῶν ὥσπερ κηρὸν ἐναντίον πυρὸς ποίησον ἐκπεσεῖν (Π) ποίησον λυθῆναι τὰς μαχ. ὥσπερ κηρὸν ἐν πυρὶ R ‖ [7] λυθῆναι Ω ‖ [8] τ. δημ.] αὐτῶν Ω ὥσπερ κηρὸν ἐν πυρὶ add (Σ) fort uerum: cf 9 B ‖ δειμηο[ν] A ‖ καὶ] εὐχομένου τοῦ ἀνδρέου add B: cf 103, 17 ‖ [8–9] αἱ - ἔπ. om R ‖ [8] μάχ.] αὐτῶν add Π ‖ [9] κ. ἔπ. om B ‖ ἔπεσαν P(O)N ‖ δημ.] ἀνόμων δημ. R (cf 97, 3; 4) ὥσπερ κηρὸς ἐν πυρὶ add B ‖ [9–10] καὶ - σφ. om BΠ ‖ [9] καὶ om O ‖ τ. γεν. om RΩ ‖ [10] θε.] δὲ add O ‖ οἱ δ. om O ‖ γ[εγο]νος A ‖ κ. ἰ.] ἰ. δὲ N θεασάμενος δὲ BP om O ‖ [11] Ἀ.] ὁ ἀ. BRPE ὁ δὲ ἅγιος ἀ. O ‖ τὸ γεγονὼς ΠMN (cf 13) om BROE ‖ γενόμενον Tischendorf recte ut uid ‖ κύρ.] θεὸν BΠOMN θεὸν αὐτοῦ R ‖ ἐπήκουσεν BM (om R) αὐτῷ OM αὐτὸν E (om R) ‖ [12] ἐν π. ἔ. om BCO ‖ [13] καὶ] τότε B ‖ θε.] ἰδόντες RP (om C) οἱ τῆς πόλεως καὶ add B ‖ τὸ γενόμενον M (cf 11) om BRCO πάλιν add P ‖ ἔκλεον B ‖ κλαθμῶν A (cf 115, 11) om B ‖ [14] μέγαν om BO ‖ λέγ.] ἐν ἑαυτοῖς add B ‖ ἡμ.] ὅτι τελευτόμεν νῦν add B ‖ μ. π.] ποιήσωμεν τάχα γόητες εἰσηλθαν εἰς τὴν πόλιν ἡμῶν οἵτινες ἦραν τοὺς κατακλήστους καὶ νῦν τούτους ἐμάγευσαν τί οὖν ποιήσωμεν B: cf 97, 6 et 95, 7 ‖ [14] ἰδοὺ]*

ὁ διάβολος παρεγένετο ὁμοιωθεὶς γέροντι, καὶ ἤρξατο λέγειν ἐμ μέσῳ πάντων· Οὐαὶ ὑμῖν, ὅτι τελευτᾶτε νῦν μὴ ἔχοντες διατροφάς. τί ποιήσωσιν ὑμᾶς πρόβατα καὶ βόες; οὐ μὴ ἀρκέσουσιν ὑμῖν. ἀλλὰ ἀναστάντες ἐπιζητήσατε ὧδέ τινα ἐν τῇ πόλει ἐπιδημήσαντα ξένον ὀνόματι Ἀνδρέαν καὶ ἀποκτείνατε αὐτόν· εἰ δὲ μή γε, οὐκ ἐᾷ ὑμᾶς ταύτην ποιῆσαι τὴν πρᾶξιν ἔτι· αὐτὸς γὰρ ἀπέλυσεν τοὺς ἀνθρώπους ἐκ τῆς φυλακῆς. καὶ γὰρ ἔστιν ὁ ἄνθρωπος ἐν τῇ πόλει ταύτῃ, καὶ ὑμεῖς οὐκ οἴδατε αὐτόν. νῦν οὖν ἀναστάντες ἐπιζητήσατε αὐτόν, ἵνα τοῦ λοιποῦ δυνηθῆτε τὰς τροφὰς ὑμῶν ἐπισυνάξαι. Ἦν δὲ ὁ Ἀνδρέας θεωρῶν τὸν διάβολον πῶς ὡμίλει τοῖς ὄχλοις· ὁ δὲ διάβολος οὐκ ἐθεώρει τὸν μακάριον Ἀνδρέαν. τότε ἀποκριθεὶς Ἀνδρέας πρὸς τὸν διάβολον εἶπεν· Ὦ Βελία ἐχθρότατε, πάσης κτίσεως πολεμιστὴς ὑπάρχων· ἀλλ' ὁ κύριός μου Ἰησοῦς | 157 T Χριστὸς ταπεινώσει σε εἰς τὴν ἄβυσσον. Καὶ ἀκούσας ταῦτα ὁ διάβολος εἶπεν· Τῆς μὲν

ταῦτα αὐτῶν λεγόντων B

[1] παραγίνεται ὁ διάβ. B ‖ παραγεννετω A παραγίνεται R ‖ γέρ.] γέρ. ἀνθρώπω P γέρ. τινὶ ἀνθρώπω C ἀνθρώπω γηραιῶ R γέρ. παλαιῶ B γέρ. πάνυ. γηραιῶ MN ‖ ἤρξ. λ.] στὰς B ‖ [1–2] ἐμ μ. π.] ἔμπροσθεν π. O αὐτῶ R ‖ [1] ἐν ΠΜΕ ‖ [2] π.] αὐτῶν B εἶπεν add B ‖ ἵμῖν A ἡμῖν BM ‖ [3–4] τί - ἀλλὰ om C ‖ [3] τί π. ὑμ. om O ‖ ποιήσουσιν M ποιήσετε BP (om R) ‖ ὑμῖν MN ὑμῶν E om BP (om R) ‖ [3–4] οὐ γὰρ ἀρκ. ὑμ. πρ. κ. β. P ‖ [3] οὐκ BOE ‖ μὴ om BOE ‖ ἀρκέσωσιν MN ἐπαρκεσῶσιν R ‖ [4] ἀλλ' R νῦν οὖν O (cf 9) om BC ‖ ζητήσατε B ἐκζητήσατε R: cf 9 ‖ ὧδε om Φ ‖ ἕνα P om BC ‖ πόλ. om (O) ταύτη add PCΣ ‖ [4–5] ἐ. ξ.] ξ. τινὰ ἐ. B ‖ [5] ἀνδ. ὀν. R ‖ ὀνόμ. om A ‖ ἀπ. α.] εὑρόντες α. ἀπ. B ‖ [5–6] εἰ - πρᾶξ. post ἐπισ. (10) B ‖ [6] μή] om A ‖ οὐκέτι B οὐ μὴ R ‖ ἐάση BRE ‖ ὑμ.] ἔτι add MN ‖ ποι. τ. πρ. ταύτ. BRΣ ἀνοίσαι ὃ βούλεσθε O ‖ ποι. ταύτ. Π ‖ ἔτι om Φ ‖ [6–9] αὐτὸς - ἐπ. αὐτόν om B ‖ [7] ἐκ τ. φ.] τοὺς (ὄντας add Σ) ἐν τῇ φυλακῇ ΠΩ ‖ [7–10] καὶ γ. - ἐπισ. om C ‖ [8] ταύτη om RN ‖ καὶ - αὐτόν om P ‖ αὐτόν om RΩ ‖ [9] ἐκζητήσατε R (cf 4) καὶ ἀποκτείνατε add R ‖ αὐτόν] καὶ ἀποκτείνατε add PO ‖ ἵνα] κἂν add B οὕτως add P ‖ τ. λ.] λοιπὸν RP ‖ δυνήσησθε PΩ ‖ [10–12] ἦν - Ἀ.] τότε περιέδραμων οἱ πολῆται τῆς πόλεως καὶ ἐζητοῦν αὐτὸν καὶ οὐκ ἐθεώρουν αὐτὸν B ‖ [10] ὁ om CΣ ‖ [11] ὁμηλεῖ A ‖ [11–12] ὁ δὲ - Ἀ. om CE ‖ [12] ἅγιον N om RP ‖ τότε] καὶ B ‖ Ἀ.] ὁ ἁ. P ὁ μακάριος ἁ. RMN om O ‖ [12–13] εἶπεν π. τ. δ. R ‖ [12] π. τ. δ.] τῶ διαβόλω (Σ) π. αὐτὸν C ‖ [13] βελίαρ BOMN διάβολε R κάκιστε E om Π ‖ ἐχθρὲ BRΠE ἐσχρότατε O ‖ π. τῆς κτ. B π. φύσεως R om O ἀεὶ add BΠΩ ‖ [13–14] πολ. ὑπ.] ἕως πότε πολεμεῖς μετὰ τοῦ γένους τῶν ἀνθρώπων R πολεμεῖς κατὰ τὸ γένος τῶν χριστιανῶν C (cf 91, 17) ληστὴς ὑπάρχης πολεμῶν τὸ γένος τῶν ἀνθρώπων dein add σὺ - γεν. et κ. πάλ. - ἀνθρώπους (= 91, 17 - 92, 2 et 92, 9 - 10) B ‖ [14] ὑπάρχων ⟨.....⟩? ‖ ἀλλὰ P ‖ μου om R ‖ Ἰ. om RCO ‖ Χρ. om RCO ‖ εἰς] ὑπὸ BROE ἐπι M ‖ [15] κ. ἀκ. τ.] τότε ἀποκριθεὶς B ‖ ταῦτα om ΠO ‖ ἔφη RC ἐγὼ add B ὢ ὢ add (Ω) ὅτι add R ὢ ὢ ὅτι add P ‖ μὲν om BΠ

φωνῆς σου ἀκούω καὶ ἐπίσταμαι τῆς φωνῆς σου· ποῦ δὲ ἕστηκας οὐ γινώσκω. Καὶ ἀποκριθεὶς Ἀνδρέας εἶπεν τῷ διαβόλῳ Πρὸς τί οὖν ἐπικέκλησαι Ἀμαήλ; οὐχ ὅτι τυφλὸς εἶ, μὴ βλέπων πάντας τοὺς ἁγίους; Καὶ ἀκούσας ταῦτα ὁ διάβολος εἶπεν τοῖς πολίταις· Περιβλέψασθε νῦν τὸν λαλοῦντα πρός με, ὅτι αὐτός ἐστιν. Καὶ διαδραμόντες οἱ πολῖται ἔκλεισαν τὰς θύρας τῆς πόλεως καὶ ἐζήτουν τὸν μακάριον, καὶ οὐκ ἐθεώρουν αὐτόν. τότε ὁ κύριος ἐφανέρωσεν ἑαυτὸν τῷ Ἀνδρέᾳ καὶ εἶπεν αὐτῷ· Ἀνδρέα, ἀνάστηθι καὶ φανέρωσον σεαυτὸν εἰς αὐτούς, ἵνα μάθωσιν τὴν δύναμιν τοῦ ἐνεργοῦντος αὐτοῖς διαβόλου.

25 Τότε ἀναστὰς Ἀνδρέας ἐνώπιον πάντων εἶπεν· Ἰδοὺ ἐγώ εἰμι Ἀνδρέας ὃν ζητεῖτε. Ἐπέδραμαν δὲ ἐπ' αὐτὸν οἱ ὄχλοι καὶ ἐκράτησαν αὐτὸν λέγοντες· Ἃ σὺ ἐποίησας ἡμῖν καὶ ἡμεῖς ποιή|σομεν σοί. Καὶ διελογίζοντο ἐν ἑαυτοῖς λέγοντες· Ποίῳ 158 T
θανάτῳ αὐτὸν ἀποκτένωμεν; Καὶ ἔλεγαν πρὸς ἑαυτοὺς ὅτι Ἐὰν ἄρωμεν αὐτοῦ τὴν κεφαλήν, ὁ θάνατος αὐτοῦ οὐκ ἔστιν

---

[1] σου om OME ‖ <τὸν φθόγγον> τῆς?? ‖ τ. φ. σ.] τὴν φωνὴν OM (om NE) αὐτὴν Π σαι B om R ‖ εἰστήκης A(N) ‖ [2] καὶ] τότε B ‖ ἀπ. om C ὁ add RPOME ‖ τ. δ. ε. R ‖ τ. δ.] πρὸς αὐτὸν B (om C) ‖ [2–3] π. τί ο.] διὰ τοῦτο BO ‖ [3] κέκλησαι BM ἐκλήθης R ‖ σαμαήλ BΠΩ σαταναὴλ R ‖ [3–4] οὐχ - ἁγίους om C ‖ [3] οὐχ om BOE ‖ ὁρῶν (Φ) ‖ [3–4] τ. ἁ. π. BMN τ. ἁ. POE τοῦ θεοῦ add O ‖ [4] καὶ - διάβ.] ὁ δὲ ἀναβοήσας B ‖ ἀκούων Σ: cf 106, 7 ‖ ταῦτα om Π ‖ ὁπλήταις B λέγων add BN ‖ [5] ἐμβλέψατε εἰς τὸν νῦν Π ‖ περιβλέψατε O ‖ οὖν E om BRO ‖ πρ. με λαλ. Θ ‖ πρ. με] μετεμοῦ B ‖ ὅτι om BΠ ‖ [6] ἐστιν] ὁ ἀπολύσας τοὺς ἐν τῇ φυλακῇ ὄντας ἀνθρώπους add Π ‖ δραμόντες ROME ‖ οἱ πολ. om B ‖ θ.] πύλας BΠΩ: cf 95, 1; Mt c 24; Th c 119 ‖ [7] μακ.] ἀνδρέαν add BRΠO ‖ [8] ἐφ. - Ἀ. om B ‖ [8–9] καὶ - καὶ] λέγων P ‖ [8] καὶ om B ‖ αὐτῷ] τῶ BC om R: cf 88, 5 ‖ Ἀ. om E ἡμέτερε add OMN (cf 87, 5) καὶ εἶπεν ἰδοὺ ἐγὼ λέγει αὐτῶ add R ‖ [9] ἀναστὰς B ἀνάστα Σ (cf 68, 14) om R(C) ‖ καὶ om BR ‖ ἑαυτὸν B(Σ) ‖ εἰς αὐτ.] εἰς αὐτόν εἰς αυτούς A αὐτοῖς RΠ(Σ) om BO: cf 8 al; 93, 15 ‖ [9–10] ἵνα - διαβ. om E ‖ [9] γνώσιν B ἴδωσι C καθελεῖς O ‖ [10] δύν.] ἀδυναμίαν ΠO μου καὶ add B δύν. μου καὶ τὴν ἀδυναμίαν Thilo ‖ ἐν[εργο]ῦντως A ἐν add BR probabiliter ἐπ' add O ‖ αὐτῶν P ‖ διαβ.] σατανᾶ Π ἐν πᾶσιν γὰρ οἷς ἂν ἐνδείξωνταί σοι μετὰ σοῦ εἰμι καὶ βοηθήσω σοι add (Π) ‖ [11] ὁ ἀνδ. ἀν. R(O) ‖ ἀν.] ὁ add E ‖ [11–12] ἐν. - ζητ.] ἐφανερωσεν αὐτοῖς ἑαυτὸν B ‖ [11] ἐναντίον ΠΣ ‖ παντὸς τοῦ ὄχλου (λαοῦ Σ) (Θ): cf 113, 13 ‖ ἰδού] ὅτι M om OE ‖ ἐγώ] ὧδε R ‖ [12] ε. Ἀ. om Π ‖ ἀν[δ]ρέας A ‖ ζ.] καὶ add BCOM τότε add RPNE ‖ ἐπέδραμον Σ ἔδραμον RΠ δραμόντες BO ‖ δὲ om Φ ‖ [12–13] ἐπ' - καὶ] οἱ ἄνδρες B ‖ [13–14] λέγ. - σοί om B ‖ [13] ἃ σὺ] ὅτι ἃ σὺ MN ὅτι ὅσα P ὅσα συ O ὡς RC (om E) ‖ καὶ] νῦν add P ‖ ἡμ. om (E) νῦν add MN ‖ [14] σοι ποιήσ. RN ‖ λέγ. om B ‖ [15] ἀποκτείνωμεν αὐτ. RO ἀποκτείνωσιν αὐτ. BC ‖ ἀποκτείνωμεν PΣ: recte? ‖ καὶ - ἐὰν] ἐὰν γὰρ P ἐὰν C ‖ καὶ] ἀποκριθέντες add B ‖ ἔλεγον BRΩ ‖ πρ. ἑ. om BR ‖ ὅτι om R ‖ [16] κεφ.] καὶ δώμεν αὐτοῦ τὸ σώμα τοις ἄρχουσιν ἡμῶν add B: cf 102, 2 ‖ ὁ θ. οὗτος RPΩ οὗτος ὁ θ. B om C: cf 102, 3 ‖ post ἔστιν deficit A: cf 112, 1

βάσανος αὐτῷ. Ἕτεροι πάλιν ἔλεγον ὅτι Ἐὰν αὐτὸν κατακαύσωμεν ἐν πυρὶ καὶ δῶμεν αὐτοῦ τὸ σῶμα τοῖς μείζοσιν ἡμῶν εἰς βρῶσιν, οὗτος ὁ θάνατος οὐκ ἔστιν βάσανος αὐτῷ. Τότε ἀποκριθεὶς εἷς ἐξ αὐτῶν εἰσελθόντος εἰς αὐτὸν τοῦ διαβόλου καὶ πληρώσαντος αὐτοῦ τὴν καρδίαν ἔλεγεν τοῖς ὄχλοις ὅτι Καθὼς ἐνεδείξατο ἡμῖν, καὶ ἡμεῖς ἐνδειξώμεθα αὐτῷ καὶ ἐξεύρωμεν αὐτῷ βασάνους δεινοτάτας. ἀναστάντες οὖν περιάψωμεν σχοινίον περὶ τὸν τράχηλον αὐτοῦ καὶ διασύρωμεν αὐτὸν ἐν πάσαις ταῖς πλατείαις καὶ ῥύμαις τῆς πόλεως καθ' ἑκάστην ἡμέραν ἕως τῆς τελευτῆς αὐτοῦ. καὶ ὅταν τελευτήσῃ, διαμερίσωμεν αὐτοῦ τὸ σῶμα τοῖς πολίταις πᾶσιν καὶ διαδῶμεν αὐτὸ εἰς βρῶσιν αὐτοῖς. Καὶ ἀκούσαντες οἱ ὄχλοι ἐποίησαν καθὼς εἶπεν αὐτοῖς, καὶ περιάψαντες σχοινίον περὶ τὸν τράχηλον αὐτοῦ διέσυρον αὐτὸν ἐν πάσαις ταῖς πλατείαις καὶ ῥύμαις τῆς πόλεως, καὶ συρομένου τοῦ μακαρίου Ἀνδρέου αἱ σάρκες αὐτοῦ ἐκολλῶντο ἐν τῇ γῇ, καὶ τὸ αἷμα αὐτοῦ ἦν ῥέον ὥσπερ ὕδωρ ἐπὶ τὴν γῆν. ὀψίας δὲ

BRPCOMNE 1 βάσ. α.] α. βάσ. Π δεινός R: cf 3 ‖ ἕτεροι - ἐὰν] εἰ δὲ C ‖ ἕτ.] δὲ add BP ‖ καύσωμεν (Π)ME ‖ 2 ἐν om RΠ ‖ πυρὶ om Π ‖ 2–3 κ. δ. - βάσ. α.] οὐκ ἔσται εἰς βρῶσιν ἡμῖν C ‖ 2 κ. δ. - βρῶσιν om B: cf 101, 16 B ‖ καὶ δ. om P ‖ δώσωμεν R ‖ τὸ σ. α. ON αὐτὸν RE om M ‖ βρ.] πάλιν add PON καὶ add M ‖ 3 ὁ θ. οὗτ. O ὁ θ. R om E: cf 101, 16 ‖ ἐστὶν] δεινὴ add M δεινὸς οὐδὲ add O ‖ αὐτ. βάσ. P δεινός R: cf 1 ‖ 3–5 τότε - ὅτι] εἰσ. δὲ τοῦ σατανᾶ εἰς ἑνὸς ἐκ τούτων ἀπεκρίνατο C ‖ 3 τότε ἀπ.] ἀπ. δὲ P ‖ 4 εἰσ. ε. α.] ἦν γὰρ ἐνδεδυμένος τῷ ἔργῳ E ‖ ε. α. τ. δ.] τ. δ. ε. α. O τ. δ. ἐν τῇ καρδίᾳ αὐτοῦ R τ. δ. P ‖ 4–5 καὶ - καρδ. om BRE καὶ add R ‖ 5 καθ.] αὐτὸς add RΠ ‖ 5–6 ἡμᾶς πεποίηκε C ‖ 5 ἐποίησεν B: cf 101, 13; 106, 17 ‖ 6–7 ἐνδ. - δειν.] αὐτῷ θανάτους πικροὺς ἐπιδειξώμεθα C ‖ 6 ποιήσωμεν B ‖ 6–7 κ. ἐξ. - δειν. om B ‖ 7 δεινοτέρας M δεινοτάτους R δεινοτέρους O(NE) ‖ 7–8 σχ. - αὐτοῦ] αὐτῷ σχ. P αὐτῷ σχοινίοις τῷ τραχήλῳ C ‖ 7 σχυνία R: cf 13; 103, 4 ‖ ἐπὶ BE: cf 13; 103, 4; 107, 4 ‖ 8–9 εἰς πάσας (ὅλας R om OM) τὰς πλατείας κ. (τὰς add M: cf 89, 4) ῥύμας Θ: cf 13 ‖ 9–10 καθ' - τελ. α. om B ‖ 9 ἕως] τῆς ἡμέρας add M ‖ 9–10 τ. τ. α.] ἂν (οὗ E) τελευτήσει (Π)E ‖ 10 ὅτε R ‖ διαμερισόμεθα BO(ME) διαμερίζωμεν R ‖ τοῦτο τὸ σ. O αὐτὸν Π om N ‖ 11 κ. διαδ. αὐτὸν τ. πολ. π. (Σ) ‖ τ. πολ. π. om BRO ‖ κ. διαδ. - αὐτοῖς om BΠ ‖ διαδιδῶμεν R παντὶ τῷ ὄχλῳ add O ‖ αὐτὸ om O ‖ ε. βρ. α. om Ω ‖ 12 ἀκ. οἱ ὄ. om BC ‖ οἱ ὄχλοι] οἱ πολῖται P ταῦτα Θ ‖ 12–13 καθ. - πόλ.] οὕτως C ‖ 12 εἶπεν] ἐνετείλατο OME: cf 84, 13 ‖ 13 σχοινίῳ R: cf 7 ‖ ἐπὶ BE: cf 7 ‖ αὐτοῦ] τοῦ ἀνδρέου P ‖ διέσυραν PME ‖ αὐτ. om P ‖ 14 πάσαις om RP: cf 8 ‖ κ. ῥ.] τε κ. ῥ. R ‖ διασυρομένου R om B: cf 13 ‖ 15 τοῦ - αὐτοῦ] αἱ σ. τοῦ μ. ἀ. B ‖ τ. μ. Ἀ.] τ. μ. PN τ. ἁγίου C αὐτοῦ OM(E) ‖ ἐκ. - γῇ om R ‖ ἐν om ΠΣ: cf 103, 5; 107, 5; 108, 4 ‖ 15–16 ἐν τῇ γῇ ἦν ἐκχυνόμενον ὡς ὕδωρ θερμόν R ἐ. τ. γ. ὥσπ. ὕδ. Ω ‖ 16 ὡσεὶ Π ‖ ἐ. τ. γ. om Π ‖ ὀ. δὲ] καὶ ὀ. M ὀ. οὖν NE

γεναμένης ἔβαλον αὐτὸν εἰς τὴν φυλακήν, δήσαντες αὐτοῦ τὰς χεῖρας εἰς τὰ ὀπίσθια, καὶ ἦν παραλελυμένος σφόδρα.

26 Πρωΐας δὲ γενομένης πάλιν ἐξήνεγκαν αὐτὸν καὶ περιάψαντες σχοινίον περὶ τὸν τράχηλον αὐτοῦ διέσυρον αὐτόν, καὶ πάλιν αἱ σάρκες αὐτοῦ ἐκολλῶντο ἐν τῇ γῇ καὶ τὸ αἷμα αὐτοῦ ἦν ῥέον. καὶ ἔκλαιεν ὁ μακάριος Ἀνδρέας καὶ ηὔχετο λέγων·| 159 T
Κύριέ μου Ἰησοῦ Χριστέ, ἐλθὲ καὶ θέασαι ἃ ἐποίησαν τῷ δούλῳ σου. ἀλλὰ ὑπομένω διὰ τὴν ἐντολήν σου ἣν ἐνετείλω μοι λέγων· Μὴ ποιήσῃς κατὰ τὴν ἀπιστίαν αὐτῶν. Θέασαι οὖν κύριε ὅσας μοι βασάνους παρέχουσιν· σὺ γὰρ γινώσκεις κύριε τὴν ἀνθρωπίνην σάρκα. ἐγὼ γὰρ γινώσκω κύριε ὅτι οὐκ εἶ μακρὰν ἀπὸ τῶν σῶν δούλων· ἀλλ᾽ οὐδὲ ἐγὼ ἀντιλέγω διὰ τὴν ἐντολήν σου ἣν ἐνετείλω μοι. εἰ δὲ μή γε, ἐποίουν αὐτοὺς εἰς τὴν ἄβυσσον κατελθεῖν μετὰ τῆς πόλεως αὐτῶν. ἀλλ᾽ οὐ μὴ ἐγκαταλείψω τὴν ἐντολήν σου ἣν ἐνετείλω μοι ἕως θανάτου, ὅτι σὺ εἶ βοηθός μου κύριε· μόνον μὴ ἐάσῃς τὸν ἐχθρὸν ἐπιγελάσαι μου. Καὶ ταῦτα τοῦ μακαρίου Ἀνδρέου λέγοντος ὁ διάβολος

---

[1] γενομένης RΠOME ‖ ἔβ.] ἤνεγκαν R ‖ ἐν τῇ φυλακῇ et add καὶ R ‖ [1–2] τ. χ. α. R τ. χ. C ‖ [2] εἰς - σφ.] ἔτυπτον αὐτόν R ‖ ε. τὰ om ΠN ‖ ὀπισθοφανῶς N ὀπίσω POME ὄπισθεν C: cf 104, 4; 108, 15 ‖ σφ.] σφ. ὁ μακάριος ἀνδρέας POMN ὁ μακάριος σφ. B ‖ [3] πρ. δὲ γ. π.] καὶ τῇ πρωῒ π. E(C) καὶ π. ἐπὶ το πρωῒ O καὶ τῇ ἕωθεν π. B πρ. δὲ π. M καὶ π. N: cf 84, 19; 102, 16; 107, 3; 108, 13; 110, 9 ‖ ἐξ. α. πάλ. R ‖ περιάψ.] βάλλοντες R om C ‖ [4] σχ. - τρ. α.] πάλιν ὁμοίως C ‖ σχ.] τὸ σχ. PON σχοινία R: cf 102, 7 ‖ περὶ - αὐτοῦ om RMN ‖ ἐπὶ O: cf 102, 7 ‖ διέσυραν (N.)E ἔσυρον O: cf 102, 13 ‖ αὐτόν] ἐπὶ τῆς γῆς C ‖ [5] ἐν om Θ: cf 102, 15 ‖ [5–6] καὶ - ῥέον om Θ ‖ [6] ἔκλαυσεν R: cf 98, 10 ‖ Ἀ. om BΠ ‖ κ. ηὔχ. om Θ ‖ λέγ.] μὴ ἐγκαταλείπῃς με add B ὦ add R ‖ [7] μου om RO ‖ [7–11] ἐλθὲ - σάρκα om B ‖ [7] ἴδε R ‖ [7–8] τῷ δ. σ.] μοι ΠΩ: cf 66, 17 ‖ [8] ἀλλ᾽ PNE om R ‖ παραμένω R ‖ διὰ om R ‖ ἐντ. σου] σὴν ἐντ. OME ἐντ. C: cf 12; 15 ‖ [9] λέγ.] ὅτι add PN ‖ [9–13] μὴ - μοι] μετ᾽ ἐμοῦ ὑπάρχειν σε C ‖ [9] αὐτοῖς add R: cf 89; 7; 112, 6 ‖ θ.] ἴδε R ‖ οὖν om O ‖ κύρ. om R μου add NE ἰησοῦ χριστὲ add ME ‖ [10] πόσας R ‖ βασ. παρέσχον μοι R ‖ σὺ γὰρ] καὶ σοὶ R ‖ κύρ. om PO ‖ [10–11] τ. ἀ. σ. om R ‖ [11] ἀνθ.] ἀσθενεῖ ἀνθρώπινον P: cf 107, 13 ‖ σ.] ἀσθένειαν O: σ. ⟨ὅτι ἀσθενής ἐστιν⟩? cf 107, 13 sed plura intercidisse uidentur ‖ [11–12] ἐγὼ - ἀλλ᾽ om R ‖ [11] κύρ. om BP ‖ ἤμην E εἰμὶ N: cf 87, 6 ‖ [11–12] μακρ. - δούλ.] μου μακρόθεν PO μακρόθεν μου M(E): cf 87, 7 ‖ [12–17] ἀλλ᾽ - μου om B ‖ [12] ἀλλ᾽] καὶ R om O ‖ οὐκ R ‖ ἐγὼ om RΩ ‖ διὰ om PΩ ‖ τῇ ἐντολῇ POMN ‖ [12–13] σὴν ἐντ. R: cf 8 ‖ [13] ἣ POM ‖ ποιῶ C ‖ [13–14] αὐτ. - κατ.] θανατοῦσθαι αὐτ. εἰς τ. ἄ. R αὐτ. ἀπελθεῖν ἐν τῇ ἀβύσσῳ C ‖ [14] ἀπελθεῖν OE ‖ μ. τ. π. α.] πᾶσαν τὴν πόλιν R πάσις add N ‖ ἐγκαταλίπω E καταλήψω N (cf 74, 19) παρίδω C ‖ [15] ἣν ἐν. μοι om ΠΩ: cf 13 ‖ ὅτι σὺ] σὺ γὰρ R (om C) ‖ [16] εἶ om RCNE (cf 66, 16) ὁ add OME ‖ βοηθῶν μοι ME ‖ μ. μὴ ἐ.] μὴ νομησάσῃς R ‖ μόνον] καὶ C: cf 98, 8 ‖ [16–17] μου ἐπιγ. ἐπ᾽ ἐμέ (Π) ‖ [16] περιγενέσθαι R ‖ [17] μοι R μεν E ‖ ταῦτα - λέγ.] εὐχομένου αὐτοῦ B: cf 99, 8 ‖ μακ. om ΠΣ

ὄπισθεν περιεπάτει καὶ ἔλεγεν τοῖς ὄχλοις· Τύπτετε αὐτοῦ τὸ στόμα ἵνα μὴ λαλῇ. Ὀψίας δὲ γενομένης ἦραν τὸν Ἀνδρέαν καὶ ἔβαλον αὐτὸν πάλιν εἰς τὴν φυλακήν, δήσαντες αὐτοῦ τὰς χεῖρας ὄπισθεν, καὶ εἴασαν αὐτὸν εἰς τὴν αὔριον πάλιν. καὶ παραλαβὼν ὁ διάβολος μεθ' ἑαυτοῦ ἑπτὰ δαίμονας πονηρούς, οὓς ὁ μακάριος Ἀνδρέας ἐξέβαλεν ἐκ τῶν περιχώρων, καὶ εἰσελθόντες ἐν τῇ φυλακῇ ἔστησαν ἐνώπιον τοῦ μακαρίου Ἀνδρέου καὶ ἐχλεύαζον αὐτὸν χλευασμὸν μέγα· καὶ ἀποκριθέντες οἱ ἑπτὰ δαίμονες σὺν τῷ διαβόλῳ εἶπον τῷ μακαρίῳ Ἀνδρέᾳ· Νῦν ἐνέπεσας εἰς τὰς χεῖρας ἡμῶν· ποῦ ἐστιν ἡ δύναμίς σου καὶ ὁ φόβος σου καὶ ἡ δόξα σου καὶ ἡ ὕψωσίς σου; ὁ ἐπαίρων σεαυτὸν ἐφ' ἡμᾶς καὶ ἀτιμάζων ἡμᾶς καὶ διηγούμενος τὰ ἔργα ἡμῶν τοῖς κατὰ τόπον καὶ χώραν, καὶ ἐποίησας τὰ ἱερὰ ἡμῶν οἰκίας ἐρήμους γενέσθαι ἵνα μὴ ἀνενεχθῶσιν θυσίαι ἐν αὐτοῖς, ὅπως καὶ

1 cf Act 23, 2 ‖ 4 cf Matth 12, 45

1 κατηκολούθει ὄπ. Π περιπατῶν ὄπ. (Σ) om RO ‖ καὶ om RΩ ‖ τ. ὄ. ἔλ. B ‖ τῷ ὄχλῳ O om E ‖ αὐτοῦ] αὐτὸν εἰς R ‖ 2 μὴ λ.] σιωπᾷ R ‖ λαλ.] τοιαῦτα add (Π) ‖ δὲ] πάλιν add MN ‖ γεναμένης BN ‖ 2–3 ἦραν - πάλ.] πάλ. εἰσήγαγον αὐτὸν R ἔθεντο τὸν ἀνδρέαν Π ἔβαλον αὐτὸν O ‖ τ. Ἀ. κ. ἔ. om B: cf 108, 13 ‖ 2 τὸν] ἅγιον add M ‖ 3 scr ἐνέβαλον? cf 108, 14 ‖ αὐτὸν om M(N) ‖ δήσ.] καὶ ἔδησαν RP(Σ) πάλιν add N ‖ τ. χ. α. RPΣ τ. χ. C ‖ 4 ὀπίσω P εἰς τὰ ὀπίσω OME: cf 103, 2 ‖ 4–107,2 κ. εἴασαν - διαβόλῳ] ἐν λύπῃ δεινῇ καὶ μεγάλῃ ἦν ὁ μακάριος ἀνδρέας R (cf 106, 7) sed post γῇ 107, 5 offert quae h l omisit sic exorsus: ἐν δὲ τῆι νυκτὶ ἐκείνῃ ἐποίησαν ἐκβληθῆναι τὸ τρίτον ἦλθεν δὲ ὁ διάβολος καὶ λαβὼν ἑπτὰ δ. (4) R ‖ 4 κ. εἴ.] ἐάσαντες O (om CE) ‖ πάλιν om (C)O MN(E) ‖ καὶ om CO ‖ 4–5 ὁ δὲ διάβ. παρ. CO ‖ 5 μ. ἑ. ὁ δ. MN ‖ δαιμόνια ἃ N: cf 105, 4 ‖ πον. om BΠΩ: cf 105, 5 ‖ 6 Ἀ. om BN ‖ ἐκβεβλήκη R ‖ ἀπο Π om R ‖ τ. πέριξ χωρῶν BM(N) τῆς περιχώρου R: scr τῶν κύκλῳ χωρῶν? cf 96, 4 ‖ 7 εἰς τὴν φυλακὴν RΩ ‖ ἔστ. - καὶ om C ‖ ἐν.] ὄπισθεν OM ὀπίσω E ‖ τ. μ. Ἀ.] αὐτοῦ B ‖ τ. μακ. om N ‖ μακ. om RP ‖ 7–8 καὶ ἐ. α.] θέλοντες α. ἀποκτεῖναι B ‖ 8 μεγάλῳ χλευασμῷ PN om BCOME ‖ scr μέγαν? ‖ 8–9 ἀπ. - Ἀ.] εἶπαν οἱ ἑ. δαίμ. σ. τ. δ. τῷ μ. ἀ. P καὶ εἶπον πρὸς αὐτόν C λέγοντες OME ‖ 8 ἑπτὰ om B ‖ 9 σὺν τ. δ. om B ‖ εἶπαν R ἔλεγων N ‖ μακ. om BRN ‖ 9–10 νῦν - ἡμ. om B ‖ 9 νῦν om R ‖ ἐνέπεσες CN ἔπεσας OME ‖ 10 ἡ δύν. σ. καὶ om B ‖ σου om PE ‖ 10–11 κ. ὁ φ. σου om BRΠNE ‖ 11 κ. ἡ δ. σου om OE ‖ κ. ἡ ὕ. σ. om RΠO ‖ ἡ om M ‖ ὁ] σὺ C om BRΠ ‖ 11–12 ἐπ.-καὶ prius om C ‖ 11 ἐπερώμενος O ‖ ἑαυτὸν M ἀυτὸν E om O ‖ 12–13 κ. ἀτ. - χώρ.] κατὰ τ. κ. χώρ. ποιῶν σὲ αὐτὸν μέγαν ἀτιμ. ἡμ. καὶ ἀποσοβῶν κ. διηγ. τὰ ἔ. ἡ. ἐναντίον πάντων τῶν ἀνθρώπων R ‖ 12 κ. ἀτ. om PO ‖ ἡμᾶς om POE ‖ τοῖς om ΠΩ ‖ 13 τόπους ΠΩ ‖ χώρας PΩ πόλεις C ‖ κ. ἐπ. - οἰκ.] τὰς οἰκ. ἡμ. ἐπ. R ‖ ἐποίησες B ποιήσας O haud inepte ‖ τὰς ἱερὰς P τὰ ἐργαστήρια B τὰς CE ‖ οἰκ. ἡμ. CE ‖ οἰκ.] καὶ τοὺς ναοὺς B ‖ 14 ἵνα - αὐτοῖς om B ‖ μὴ] σὺ E ‖ ἀνεχθῶσιν M ἀναχθῶσι C ἐνεχθῶσιν N ἔλθωσιν O αἰσχυνθῶνται E γένονται R ἐκεῖ add M(N) ‖ θ.] οἱ θύοντες O οἱ εἰσιόντες E ‖ ἐν α. om OME ‖ αὐταῖς Π ‖ 14–105,1 ὅπ. - τερφ.]

ἡμεῖς τερφθῶμεν. διὰ τοῦτο οὖν καὶ ἡμεῖς ποιοῦμεν τὰ ἀντάξια καὶ ἀποκτενοῦμέν σε ὡς καὶ τὸν διδάσκαλόν σου τὸν λεγόμενον Ἰησοῦν ὃν ἀπέκτεινεν Ἡρῴδης.

27 Καὶ ἀποκριθεὶς ὁ διάβολος ἔλεγεν τοῖς ἑπτὰ δαίμοσιν τοῖς πονηροῖς· Τεκνία μου, ἀποκτείνατε τοῦτον τὸν ἀτιμάζοντα ἡμᾶς, ἵνα λοιπὸν πᾶσαι αἱ χῶραι ἡμῶν γένωνται. Τότε ἐλθόντες οἱ ἑπτὰ δαίμονες ἔστησαν ἐνώπιον τοῦ Ἀνδρέου θέλοντες αὐτὸν ἀποκτεῖναι· καὶ θεασάμενοι τὴν σφραγῖδα ἐπὶ τοῦ μετώπου αὐτοῦ, ἣν ἔδωκεν αὐτῷ ὁ κύριος, ἐφοβήθησαν, καὶ οὐκ ἠδυνήθησαν προσεγγίσαι αὐτῷ, | ἀλλ' ἔφυγον. καὶ εἶπεν αὐτοῖς ὁ 160 T διάβολος· Τεκνία μου, διὰ τί ἐφύγετε ἀπ' αὐτοῦ καὶ οὐκ ἀπεκτείνατε αὐτόν; Καὶ ἀποκριθέντες οἱ δαίμονες εἶπον τῷ διαβόλῳ ὅτι Ἡμεῖς οὐ δυνάμεθα αὐτὸν ἀποκτεῖναι, εἴδομεν γὰρ τὴν σφραγῖδα ἐπὶ τοῦ μετώπου αὐτοῦ καὶ ἐφοβήθημεν αὐτόν. ἐπιστάμεθα γὰρ αὐτὸν πρὶν ἢ αὐτὸν ἐλθεῖν ἔν τῇ θλίψει ταύτῃ τῆς ταπεινώσεως αὐτοῦ· ἀλλὰ σὺ ἀπελθὼν ἀπόκτεινον αὐτὸν εἰ δυνατὸς εἶ· ἡμεῖς γὰρ οὐχ ὑπακούομέν σου, μή ποτε ὁ θεὸς ἰάσεται αὐτὸν καὶ παραδώσει ἡμᾶς εἰς βασάνους πικράς. Καὶ

κ. ἡμ. ἐστερήθημεν αὐτῶν R om BC

[1] τοῦτο οὖν] τί οὐ R ‖ οὖν om Π ‖ κ. ἡμ. om RΠΩ ‖ ποιῶμεν N om B ‖ [1–2] τὰ ἀ. καὶ om BΠΩ ‖ [2] σε ἀποκτανθῆναι Π(Ω) ‖ ὥσπερ R ‖ τὸν λ. om BR ‖ [3] Ἰησ.] χριστὸν ME om B χριστὸν add O καὶ ἰωάννην add Π ‖ ἡρώδης ἀπεκεφάλισεν C ‖ ἀπέκτανεν E ἀπέκτειναν N ‖ Ἡρ.] πιλάτος RO οἱ ἰουδαῖοι N ὁ βασιλεὺς add M ὁ βασιλεὺς καὶ πιλάτος add E ‖ [4–7] ἀποκρ. - δαίμονες om C ‖ [4] ἀποκρ. om RPΩ ‖ ἔλ. ὁ δ. P ‖ ἑπτὰ om R ‖ [4–5] πον. δαίμ. (om τοῖς) BN ‖ [4] δαιμονίοις RPM ‖ [5] τ. πον. om P ‖ τέκνα O ‖ τοῦτον] αὐτὸν PΩ om R ‖ ἀτιμάσαντα OME ἀποκτίναντα R ‖ [6] ἵνα - γέν. om BE ‖ ἡμῖν M ἡμέτεραι P ‖ γένοιντο O πληρωθῶσιν N εἰσιν R ‖ [6]–106,[10] τότε - διάβολος om R BPCOMNE [6] τότε ἐ.] ἐ. δὲ E ‖ τότε] καὶ B ‖ [7] ἑπτὰ om PΩ ‖ τοῦ om B μακαρίου add O ‖ [8] θεασ.] οὐκηδυνήθησαν οἴδασιν γὰρ B ‖ τὸ μέτωπον P τὸ πρόσωπον BM: cf 14 ‖ προσώπου N ‖ [9–10] ἣν - πρ. αὐτῷ om B ‖ [9] κύρ.] ἰησοῦς O χριστὸς ἰησοῦς M ἰησοῦς χριστὸς add N ‖ ἐφ.] αὐτὸν add M(N): cf 14 ‖ οὐκ ἠδ.] οὐ C om O ‖ [10] ἀ. ἐγγίσαι P(Σ) προσήγγισαν α. C om O ‖ ἀλλ'] καὶ B om O ‖ [10–11] ὁ δ. λέγει αὐτ. B ‖ [10] λέγει πρὸς αὐτοὺς C: cf 68, 14 ‖ [11] τ. μου post αὐτοῦ C om O ‖ δ. τί] τί ὅτι C ἵνα τί N ‖ [13–14] εἴδ. - ἐφοβ. α.] ἀλλ' εἰ δυνατὸς εἶ σὺ ἀπόκτεινον αὐτόν B: cf 16 ‖ [13] ἴδωμεν ΠME οἴδαμεν ON: cf 8 ‖ [14] αὐτοῦ τ. σφρ. (om ἐπὶ τ. μ.) Π ‖ προσώπου MN: cf 8 ‖ αὐτόν om PΩ ‖ [15] ἐπ. γ.] ἡμεῖς γ. ἐπ. B ‖ scr ἠπιστάμεθα? ‖ πρ. ἢ] πρὸ τοῦ (Ω) ‖ ἢ αὐτ. om Π ‖ ἐλθ. α. OM(N) ‖ αὐτὸν om E ‖ ταύτῃ om BE: cf 106, 3 ‖ [16] τ. ταπ. ταύτης (om αὐτοῦ) ΠN: cf 106, 3 ‖ [16–18] ἀλλὰ - πικράς om B ‖ [16] ἀλλὰ - ἀπ. α. om E ‖ [17] δυν. εἶ] δύνασαι Π: cf 88, 7 ‖ οὐκ εἰσακούσωμέν O ‖ σοι PM(N): cf 99, 11; 80, 14; 98, 15 ‖ [18] ἰάσηται ΠMN ἐάσει E ‖ παραδώει N ‖ πικρ.] χαλεπὰς (Σ) om Π ‖ καὶ] τότε B

ἀποκριθεὶς εἷς ἐκ τῶν δαιμόνων εἶπεν· Οὐ δυνάμεθα ἡμεῖς αὐτὸν ἀποκτεῖναι· ἀλλὰ δεῦτε ἐπιγελάσωμεν αὐτῷ ἐν τῇ θλίψει τῆς ταπεινώσεως αὐτοῦ ταύτῃ. Καὶ ἐλθόντες οἱ δαίμονες σὺν τῷ διαβόλῳ πρὸς τὸν μακάριον Ἀνδρέαν ἔστησαν ἐνώπιον αὐτοῦ καὶ ἐχλεύαζον αὐτὸν καὶ ἔλεγον αὐτῷ· Ἰδοὺ καὶ σὺ Ἀνδρέα ἦλθες εἰς αἰσχύνην ἀτιμίας καὶ εἰς βασάνους· καὶ τίς ἐστιν ὁ δυνάμενός σε ῥύσασθαι; Καὶ ταῦτα ἀκούσας ὁ μακάριος Ἀνδρέας ἔκλαιεν μεγάλως· καὶ ἦλθεν αὐτῷ φωνὴ λέγουσα· Ἀνδρέα, διὰ τί κλαίεις; Ἦν δὲ ἡ φωνὴ ἐκείνη τοῦ διαβόλου· μετήλλαξεν γὰρ τὴν φωνὴν αὐτοῦ ὁ διάβολος. τότε ἀποκριθεὶς ὁ Ἀνδρέας εἶπεν· Κλαίω ὅτι ἐνετείλατό μοι ὁ κύριός μου λέγων· Μακροθύμησον ἐπ᾿ αὐτοῖς· Εἰ δὲ μή γε, ἔδειξα ὑμῖν. Καὶ ἀποκριθεὶς ὁ διάβολος εἶπεν τῷ Ἀνδρέᾳ· Εἴ τί ἐστίν σοι δυνατόν, ποίησον. Καὶ ἀποκριθεὶς ὁ Ἀνδρέας εἶπεν· Ἐὰν ἀποκτείνητέ με ἐνταῦθα, οὐ μὴ ποιήσω κατὰ τὸ θέλημα τὸ ὑμῶν, ἀλλὰ κατὰ τὸ θέλημα τοῦ πέμψαντός με Ἰησοῦ Χριστοῦ· διὰ τοῦτο οὖν ταῦτά μοι ἐνδείκνυσθε, ἵνα ἐγκαταλείψω τὴν ἐντολὴν τοῦ κυρίου μου· ἐὰν γάρ μοι ὁ κύριος ἐπισκοπὴν ποιήσῃ ἐν τῇ πόλει ταύτῃ, παι-

---

[1] ἐκ om BE: cf 97, 13 ‖ ἡμεῖς om BΠΣ ‖ [2] αὐτῷ om ΠΩ ‖ ἐν om ΠΣ ‖ τὴν θλῖψιν CNE ‖ [2–3] τ. ταπ. om ΠΩ ‖ [3] αὐτοῦ om (E) ‖ ταύτην N om BΠOE: cf 105, 15 ‖ καὶ] τότε ΠΣ ‖ ἦλθον Ω ‖ [3–4] μετὰ τοῦ διαβόλου (Σ) om BO ‖ [4] π. τ. μ. Ἀ. om BΠΣ: del?? ‖ ἔστ. - αὐτοῦ om Θ ‖ [4–5] κ. ἐχλ.] χλευάζοντες ΠΣ ‖ [5] αὐτὸν] τὸν ἅγιον C τὸν μακάριον Σ τὸν μακάριον ἀνδρέαν P ‖ [5–7] κ. ἔλ.- ῥύσ. om B ‖ [5] καὶ om Π ‖ λέγοντες Σ εἶπον O ‖ αὐτῷ om C ‖ [5–6] ἰδοὺ - β. καὶ om C ‖ [6] εἰς alt om PΣ ‖ βασάνων P ‖ [7] ῥύσ.] ἐκ τῶν βασάνων add C ‖ [7–8] κ. τ.- μεγ.] ὁ δὲ μ. ἀνδ. ἐθρήνησε πικρῶς C ‖ [7] καὶ om OE ‖ ταῦτα om BMN ‖ ἀκούων BMN: cf 101, 4 ‖ Ἀ. om O ‖ [8] ἔκλαυσεν P: cf 98, 10 ‖ μεγ. om B ‖ φ. α. ἦ. (Ω) ‖ λέγ.] ὦ add ΠΣ ‖ [8–9] δ. τί] τί PONE ἕνεκεν τίνος C ‖ [9] ἡ δὲ φ. ἐκ. ἦν (P)Σ ‖ ἡ om C ‖ ἐκ. om B ‖ τ. δ. μ.] μετηλαχθεῖσα παρὰ τ. δ. C ‖ μετηλαγμένη B ‖ [9–10] γὰρ - διάβ. om B

BRPCOMNE [10] τότε] καὶ BO om C ‖ ἀπ. om CE ‖ ὁ om BRCΣ ‖ [11] ὁ κ. μου (om R) ἐν. μοι RΩ ‖ κύρ.] θεὸς B ‖ μου om BC ‖ λέγ.] ὅτι add RE ‖ [12] αὐτούς RO ‖ εἰ - ὑμῖν om BΠΩ: cf 100, 5; 103, 13 ‖ ἔδ. ὑμ. mutila uidentur ‖ ἀπ. om B(C) ‖ [13] τῷ Ἀ.] πρὸς τὸν ἀνδρέαν MN πρὸς αὐτὸν O αὐτῷ C om BR: cf 68, 14 ‖ σοι ἐστιν B ‖ σοι δυν. ἐ. Π τοῦτο add PΩ ‖ ποίει RO ‖ [14] ὁ δὲ ἀ. ἔφη C ‖ ἀπ. om R ‖ ὁ om ME ‖ εἶπεν om R ‖ [14–16] ἐὰν - Χρ. om B ‖ [14] ἀποκτείνεταί R(N) ‖ [15–17] ποι. - κ. μου] ἐκβῶ ἐξ ὧν ἐντέταλταί μοι κύριος C ‖ [15] κατὰ om Σ ‖ τὸ alt om R ‖ ἡμῶν R ἐμὸν PΣ ὑμέτερον N ‖ κατὰ om Σ ‖ [16] πέμψ. με] κυρίου μου RPNE κυρίου ἡμῶν M ἰησοῦ χριστοῦ add MN ‖ [16–17] διὰ - κ. μου om E ‖ [16] οὖν] καὶ R οὖν καὶ MN γὰρ καὶ P om O ‖ μοι om R ‖ [17] ἐνδ.] ποιεῖτε B: cf 102, 5 ‖ ἵνα ἐ.] ἀλλὰ μὴ γένοιτο μοι παρακοῦσαι B ‖ καταλείψω MN ‖ τῆς ἐντολῆς B ‖ μου om RP ‖ [17–18] εἰ δὲ ἐπισκοπῇ ἐπισκέψηται κύριος C ‖ [18] γάρ - ποι.] δὲ ὁ κύρ. ἐντελεῖτέ με περὶ ὧν ἐποιήσατε R ‖ ὁ κύρ. ἐπ. μοι (σου N) BΣ ὁ κύρ. μου ἐπ. P ‖ ποιήσηται BM(N)

δεύσω ὑμᾶς καθὼς ἄξιοί ἐστε. Καὶ ταῦτα ἀκούσαντες οἱ ἑπτὰ δαίμονες ἔφυγον σὺν τῷ διαβόλῳ.

28 Πρωίας δὲ γενομένης ἐξήνεγκαν τὸν Ἀνδρέαν πάλιν καὶ περιάψαντες σχοινίον περὶ τὸν τράχηλον αὐτοῦ ἔσυρον αὐτόν, καὶ πά|λιν αἱ σάρκες αὐτοῦ ἐκολλῶντο ἐν τῇ γῇ, καὶ τὸ αἷμα 161 T αὐτοῦ ἔρρεεν ὥσπερ ὕδωρ ἐπὶ τὴν γῆν. καὶ συρόμενος ὁ μακάριος ἔκλαιεν λέγων· Κύριε Ἰησοῦ Χριστέ, ἀρκεταί εἰσιν αἱ βάσανοι αὗται· ἐξητόνησα γάρ. ὁρᾷς ὅσα ὁ ἐχθρὸς ἐνεδείξατό μοι μετὰ τῶν ἑαυτοῦ δαιμόνων· σὺ γὰρ κύριε μνήσθητι ὅτι ἐποίησας τρεῖς ὥρας ἐπὶ τοῦ σταυροῦ καὶ ὠλιγοψύχησας λέγων· Πάτερ μου, ἵνα τί με ἐγκατέλειπας; Ἰδοὺ κύριε ἐν τρισὶν ἡμέραις διασύρομαι ἐν ταῖς πλατείαις καὶ ῥύμαις τῆς πόλεως ταύτης· καὶ μάλιστα γινώσκων κύριε τὴν ἀνθρωπίνην σάρκα ὅτι ἀσθενής ἐστιν· ἐπίταξον οὖν κύριέ μου ἀναλαβεῖν τὸ πνεῦμά μου ἀπ' ἐμοῦ, ἵνα λοιπὸν ἀναπαύσεως τύχω. ποῦ εἰσιν οἱ λόγοι σου κύριε οὓς ἐλάλησας πρὸς ἡμᾶς ἐπιστηρίζων ἡμᾶς

11 Matth 27, 46

---

1 ἐ. ἄ. *RME* ἄξιόν ἐστιν *P* ἔνεστι *C* ‖ καὶ *om Π* ‖ ταῦτα *om R* ‖ 1–2 οἱ ἑ. δ. *om B* ‖ 1 ἑπτὰ *om Π* ‖ 2 σὺν - διαβ. *om B* ‖ 3 πρ. δὲ] καὶ οὕτως πρ. *R: cf 103, 3* ‖ πάλ. γεν. ἐξαγαγόντες τ. ἀ. *O* ‖ γεναμένης *B* ‖ πάλ. ἐξ. τ. ἀνδ. *P* ‖ ἐξήγαγον *Π* ἐξέβαλον *R* ‖ π. τ. ἀ. *Σ* ‖ τ. Ἀ.] αὐτὸν *BR* ‖ 3–6 πάλ. - γῆν] τῇ συνηθείᾳ σύροντες αὐτὸν *R* ‖ 4 περιθέντες *MN* δήσαντες *C* τὸ *add O: cf 102, 13; 103, 3* ‖ σχοινίῳ *C* ‖ ἐπὶ *E (om C): cf 102, 7* ‖ διέσυρον *RPN* διέσυραν *ME* περιέσυρον *C* ‖ 5–6 πάλιν - συρόμ. *om ΠΩ* ‖ 5 ἐν *om R: cf 102, 15* ‖ 5–6 καὶ τὸ - γῆν *om R* ‖ 6 κ. σ.] συρομένου δὲ αὐτοῦ *R* ‖ 6–7 ὁ μ. - λέγ.] ἔλεγεν (ἔκραζεν (*Σ*) ἔκλεεν *O*) ὁ μ. ἀνδρέας (*om O*) κραυγάζων (κλαίων *Σ om O*) καὶ (*om O*) λέγων *PΩ* ἔλεγεν *R* ὁ δὲ προσηύξατο πρὸς κύριον *C* ὦ *add Σ* ‖ 7 κύρ.] μου *add P(Σ)* ‖ Ἰ. Χρ. *om O* μὴ ἀπευδοκίσῃς μου σὺ γὰρ οἶδας κύριε ὅσα ὁ ἐχθρὸς ἐνεδείξατό μοι μετὰ τῶν ἑαυτοῦ δαιμόνων *add B: cf 8* ‖ ἀρκεσταί *B* ἀρκετὸν *RO* ἀρκέσθωσαν *E* μοι *add PΩ* ‖ εἰσιν *om RE* ‖ 8–9 ἐξητ. - δαιμ.] κύριέ μου ἰδοὺ γὰρ διασύρομαι ἐν τρισὶν ἡμέραις *B* ‖ 8 ἐξητόνικα *O: cf 108, 15* ‖ ὁρ.] ἰδοὺ *R(O)* ‖ 8–9 μοι ἐν. *Σ* μοι ὀνείδισεν (*O*) ‖ 8 ἐνδείκνυταί *Π* ἐνετείλατο *R* ‖ 9 αὐτοῦ (*O*) *om RΣ* ‖ δαιμ.] θέλει ποιῆσαι *add R* ‖ 9–11 σὺ - ἐγκατ. *om RMN* ‖ 9 μνήσθ. ὅτι *om BOE* ‖ 10 ὥρ. τρ. ἐπ. *B* ἐπ. ὥραν *O(E)* ‖ 10 τὸν σταυρὸν *B* ‖ ὠλ. λ.] πρὸς τὸν πατέρα ἐβόησας *C* ‖ 11 μου *om B* ‖ ἐγκατέλιπες *CE: cf 74, 19* ‖ 11–15 ἰδοὺ - τύχω *om B* ‖ 11 ἰδ. κ.] ἰδ. οὖν κ. *R* ἰδ. οὖν *Σ* ἐγὼ δὲ *O* κἀγὼ *add E* ‖ ἐν τρ. ἡμ.] τρεῖς ἡμέραι εἰσὶν *RΠ* ἀφοῦ *add P: cf 8-9 B* ‖ 12 ἐν ταῖς ῥ. κ. ἐν τ. πλ. (*Ω*) (*cf 89, 3*) *om C* ‖ 13 γιν.] σὺ γινώσκεις *O(E)* (*om C*) ‖ 13–14 κύριε - ἐστιν *om RC* ‖ 13 κύρ. *om P* μου *add Σ* ‖ 14 ἐπίτ. - ἀν.] ἀνάλαβε οὖν *R* ‖ πρόσταξον *Σ: cf 94, 5* ‖ μου *om (C)OMN* ‖ 15 ἀπ' ἐμοῦ *om ROE* ‖ λοιπ.] τὸ λοιπ. *Σ: cf 105, 6; 111, 14* ‖ 15–16 ποῦ - ἐπ. ἡμ.] ἐνέτειλάς μοι *C* ‖ 15 εἰσὶν] οὖν *R* ‖ 16 κύρ.] μου *add POMN* ‖ οὓς] οὐκ *R* ‖ ἐλάλεις *E* ἔλεγες *O* ‖ πρ. ἡμ. *om R* ‖ ἐπισχυρίζων ἡμ. *RP* ἐνισχύων ἡμῶν τὴν καρδίαν *O* (*cf 108, 6*) *om E*

ὅτε περιεπατήσαμεν μετὰ σοῦ, λέγων ἡμῖν Οὐ μὴ ἀπολέσητε μίαν τρίχα ἐκ τῆς κεφαλῆς ὑμῶν; Πρόσσχες οὖν κύριε καὶ θέασαι ὅτι αἱ σάρκες μου καὶ αἱ τρίχες τῆς κεφαλῆς μου ἐκολλήθησαν τῇ γῇ· ἰδοὺ γάρ εἰμι διασυρόμενος ἡμέρας τρεῖς ἐν βασάνοις δειναῖς, καὶ οὐκ ἐφανέρωσάς μοι σεαυτὸν κύριέ μου ἵνα ἐπισχυρίσῃς μου τὴν καρδίαν· καὶ ὠλιγοψύχησα σφόδρα. Ταῦτα λέγων ὁ μακάριος Ἀνδρέας διεσύρετο. τότε ἦλθεν αὐτῷ φωνὴ ἑβραϊστὶ λέγουσα· Ἡμέτερε Ἀνδρέα, ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσεται, οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσιν. πρόσσχες οὖν Ἀνδρέα καὶ θέασαι ὄπισθέν σου τὰς πεσούσας σου σάρκας καὶ τρίχας τί γεγόνασιν. Καὶ στραφεὶς ὁ Ἀνδρέας εἶδεν μεγάλα δένδρα φυέντα καρποφόρα· καὶ ἀποκριθεὶς εἶπεν· Ἔγνων γὰρ κύριε ὅτι οὐκ ἐγκατέλειπάς με. Ὀψίας δὲ γεναμένης ἦραν αὐτὸν πάλιν καὶ ἐνέβαλον αὐτὸν εἰς τὴν φυλακήν, δήσαντες αὐτοῦ τὰς χεῖρας ὄπισθεν, ἤδη ἀτονήσαντα ἐπὶ πολύ, καὶ ἦν παραλελυμένος σφόδρα. καὶ ἔλεγον ἐν ἑαυτοῖς οἱ ἄνδρες τῆς πόλεως· Τάχα τελευτᾷ ἐν τῇ νυκτὶ ταύτῃ, καὶ οὐχ εὑρίσκομεν αὐτὸν

[1] Luc 21, 18 ‖ [8] cf Matth 24, 35

---

[1] ὅτε - ἡμῖν] καὶ λέγων (κ. λ. om C) ὅτι (om R) ἐὰν (ὁ C) περιπατήσητε (περιπατεῖτε P περιπατῶν C) μετ' ἐμοῦ (μετὰ σοῦ C) Θ ‖ περιεπατοῦμεν exspectes ‖ οὐκ (om μὴ) R ‖ ἀπολέσῃ C ἀπολεῖται O ἀπώλυται E ‖ [2] μίαν om COE ‖ τρίχαν BRCN θρὶξ O(E) ‖ ἐκ - ὑμ. om B ‖ ἐκ] ἀπὸ C om R ‖ ὑμ.] αὐτοῦ C ‖ [2–3] κ. θ. κύρ. Σ ‖ [2] κύρ.] μου add PMN ‖ [2–3] κ. ἴδε R om BCO: cf 10; 66, 17; 91, 11 ‖ [3] ὅτι] καὶ add R ‖ [4–8] ἐκολλ. - λέγουσα] τί γεγόνασιν τότε ἰησοῦς εἶπεν τῷ ἀνδρέα B ‖ [4] <ἐν> τῇ? cf 102, 15 ‖ [4–6] ἰδοὺ - σφόδρα om C ‖ [4] τρ. ἡμέραις ε. διασ. R ‖ τρ.] καὶ add (Σ) ‖ [5] δεινοῖς PE (om R) ‖ σαυτὸν PM ἑαυτὸν E ἀυτὸν N ‖ κύρ. om RO ‖ [6] μου om RΩ ‖ ἵνα - καρδ. om Σ ‖ ἐνισχύσῃς RO (cf 107, 16): scr ἐπιστηρίξῃς? ‖ τὴν ψυχήν μου R ‖ κ. ὠλ. σφ.] κ. ἰδοῦ ὀλ. κύριε R om P ‖ [7] ταῦτα] καὶ ταῦτα RΠ ‖ λέγοντος τοῦ μακαρίου ἀνδρέα R ‖ διεσ. τότε om R ‖ ἐσύρετο Σ ἐπεσύρετο O ‖ [7–8] φ. ἑ. λ. α. R ‖ [7] αὐτῷ om O ‖ [8] ἑβρ. om E: del?? ‖ ἀνδρ. ἡμ. RΠOE: cf 87, 12 ‖ ἡμ. om MN ‖ παρελεύσονται RPO(MN) ‖ [9] πρόσεχε R στράφου B: cf 2 ‖ [10] Ἀ. om Θ ‖ ὄ. σ. κ. θ. MN ‖ κ. θέ. om Π ‖ ὄπ. σου om BR ‖ σου alt] σοι O om MN ‖ [11] τρ.] τὰς τρ. RME σου add RE ἐκ σοῦ add MN ‖ ἐγένοντο Θ ‖ ὁ om P ἅγιος add N ‖ [12] δ.] ἐλαιῶν add O ‖ φ. κ.] κ. φυτευθέντα B ‖ καρπ.] ἐν τῆι γῇ R ‖ [12–13] ἀπ. - με] ἐδόξασε τὸν θεόν B ‖ [12] ἀπ.] ὁ add R ἀνδρέας add RΣ ‖ ἔ. γ.] ἅγιος εἶ R ‖ γὰρ om CΩ ‖ [13] ἐγκατέλειπές PMN ἐγκατέλιπές (C)E: cf 74, 19 ‖ με] μου τὴν ψυχὴν R ‖ γενομένης RPΣ (om C) ‖ [13–14] ἦρ. α. π. κ. om RPΣ ‖ [14] ἐνέβ.] ἀπήγαγον Π ἔσυραν R ἤνεγκαν Σ ‖ κ. ἐν. α. om Σ ‖ αὐτὸν om B ‖ ἐν τῇ φυλακῇ RPO ‖ [14–15] δήσ. - ὄπ. om Θ: cf 103, 1; 104, 3 ‖ [15] ἤδη - πολύ] ἦν γὰρ ἐπὶ πολὺ ἀτονήσας R om COE (sed cf 16) ‖ ἤδη om MN ‖ ἠτονηκότα MN: cf 107, 8 ‖ ἐπὶ πολὺ om B ‖ [15–16] καὶ ἦν - σφ. om Θ ‖ [16] κ. ἔλ.] ἔλ. γὰρ R κ. ἰδόντες αὐτὸν ἀτονήσαντα εἶπον E ‖ οἱ ἄ. τ. π.] ὅτι Θ ‖ [17] τάχα - ταύτῃ post 109, 2 ἐδαπ. Θ ‖ τάχα] ἀπὸ πολλῆς ἀτωνίας R καὶ add Σ ‖ ταύτῃ om BR ‖ [17]–109, [1] καὶ οὐχ - ἡμ. om Θ

ζῶντα ἐν τῇ ἑξῆς ἡμέρᾳ· ἠτόνησεν γάρ, καὶ αἱ σάρκες αὐτοῦ ἐδαπανήθησαν. |

29 Ὁ δὲ κύριος παρεγένετο ἐν τῇ φυλακῇ, καὶ ἐκτείνας 162 T
τὴν χεῖρα αὐτοῦ εἶπεν τῷ Ἀνδρέᾳ· Ἐπίδος μοι τὴν χεῖρά σου καὶ ἀνάστηθι ὑγιής. Καὶ θεασάμενος ὁ Ἀνδρέας τὸν κύριον Ἰησοῦν ἐπέδωκεν αὐτῷ τὴν χεῖρα αὐτοῦ καὶ ἀνέστη ὑγιής, καὶ πεσὼν προσεκύνησεν αὐτῷ καὶ εἶπεν· Εὐχαριστῶ σοι κύριέ μου Ἰησοῦ Χριστέ. Καὶ θεασάμενος ὁ Ἀνδρέας εἰς μέσον τῆς φυλακῆς εἶδεν στῦλον ἑστῶτα, καὶ ἐπὶ τὸν στῦλον ἀνδριὰς ἐπικείμενος ἀλαβαστρινός· καὶ ἀνελθὼν ὁ Ἀνδρέας ἐπὶ τὸν ἀνδριάντα ἥπλωσεν τὰς χεῖρας αὐτοῦ ἑπτάκις, καὶ εἶπεν τῷ στύλῳ καὶ τῷ ἐπ' αὐτῷ ἀνδριάντι· Φοβήθητι τὸν τύπον τοῦ σταυροῦ, ὃν φρίσσει ὁ οὐρανὸς καὶ ἡ γῆ, καὶ ἀποβαλέτω ὁ ἀνδριὰς ὁ ἐπικείμενος ἐπὶ τὸν στῦλον ὕδωρ πολὺ διὰ τοῦ στόματος αὐτοῦ ὡς κατακλυσμοῦ, ἵνα παιδευθῶσιν οἱ ἐν τῇ πόλει ταύτῃ. μὴ φοβηθῇς ὦ λίθε καὶ εἴπῃς ὅτι Ἐγὼ λίθος εἰμὶ καὶ οὐκ εἰμὶ ἄξιος αἰνέσαι τὸν κύριον· Καὶ γὰρ καὶ ὑμεῖς τετιμημένοι ἐστέ.

[1–2] ἠτ. - ἐδαπ. om R ‖ [1] γάρ om ΠΩ ‖ [2] ἐδαπ.] ἐκολλήθησαν τῇ γῇ Π: cf 102, 15 ‖ [3] κύρ.] ἡμῶν add E ἰησοῦς χριστὸς add Σ ‖ εἰσῆλθεν P εἰσελθὼν CΩ ἐλθὼν R: cf 87, 10; 92, 9 ‖ εἰς τὴν φυλακὴν M ‖ [4] χεῖραν B ‖ αὐτοῦ om BΠO: cf 6 ‖ τ. Ἀ.] ἰδοὺ ἐγὼ ἀ. R om C: cf 88, 5 ‖ δός BRPΩ: cf 6 ‖ χεῖραν BE ‖ [5] ἀνάστα Θ om E: cf 68, 14 ‖ [5–6] κ. θε. - ὑγ. in mg M om RON ‖ [5] καὶ - Ἀ.] ὁ ἀ. δὲ θε. P ‖ ὁ ἀ. θ. ME ‖ [5–6] θε. - Ἰ. om C ‖ [6] Ἰ. om M χριστὸν add P ‖ αὐτῷ om CE ‖ αὐτοῦ om B: cf 4 ‖ [7] προσπεσὼν R ἐπὶ πρόσωπον add O (cf 87, 13) ὁ ἀνδρέας add R ‖ αὐτὸν N (cf 87, 13) om M ‖ κ. ε.] λέγων CO ‖ μου om RC ‖ [8] Ἰ. Χρ. om C ὅτι ἐτάχυνας (μου add P) τὴν βοήθειάν σου (ἐπ' ἐμέ add C) add Π haud inepte: cf 76, 7; 116, 7 ‖ κ. θ.] θ. δὲ E κ. ἰδὼν C κ. ἀναβλέψας R κ. ἀνατείνας τὸ ὄμμα O ‖ ὁ Ἀ. om OMN ‖ ὁ om C ἅγιος add E ‖ ἐν μέσῳ ΠE (cf 90, 9 P; 91, 8) μέσον R(O) ‖ [9] εἶδεν om C ‖ ἑ. στ. Σ ‖ ἑστ. - ἀνδριὰς om B ‖ ἑστ.] ἐνὶ ἐφίστατο R ‖ καὶ] ἦν add PN ‖ ἐν O om M ‖ τῷ στύλῳ RO (cf 12; 14) om M ‖ ἀνδρέας M: cf 13; 110, 4 ‖ [9–10] ἐπικείμενον ἀλαβαστρινὸν B ἀλ. ἐφεστὼς Π (cf 13) om O ‖ [10–12] κ. ἀν. - ἀνδρ.] κ. λέγει αὐτῷ C ‖ [10] ἀν. - ἀνδρ. om RPΩ ‖ [11] ἁπλώσας RPΩ ‖ ἑπτ. καὶ] εὐχώμενος R om PΩ ‖ ἔλεγεν RP(Σ) ‖ [12] ἐπ'] ἐπικειμένῳ R: cf 9 ‖ αὐτῷ] αὐτοῦ Thilo (cf 9) ἑστότι add O ‖ φοβ. om R ‖ στ.] σωτῆρος R καὶ add B ‖ [13] γῆ κ. ὁ οὐρ. (om ἡ) O ‖ κ. ἡ γῆ καὶ om R ‖ ἀπ.] ἀναγαγέτω C ἐκκλυσάτο O ἀποβάλλεται E ἐπάκουσον R: cf 110, 6 ‖ ὁ ἀνδ.] τῷ ἀνδρέα R: cf 9 ‖ [14] ἐπὶ om Π ‖ τοῦ στύλου OE τῷ στύλῳ Π (cf 9) ἔκβρυσον add R ‖ πολὺ] κατακλυσμοῦ add E ‖ ἐκ R: cf 110, 6 ‖ [15] ὡς] ἕως P μέχρι C om Σ ‖ κατακλυσμὸν B κατακλυσμῶι R κατακλύζον MN om CE ‖ ἵνα] τοῦ C ‖ οἱ om P ‖ ταύτῃ] πάντες C ‖ [15–16] μὴ - λ. κ.] καὶ μὴ C ‖ [16] ὦ λ.] ὁ λίθος E ὡς λίθος MN οὖν R ‖ [17] κ. γ. - ἐστὲ om C ‖ κ. γ. κ.] ναὶ κ. γ. κ. B κ. γ. RΣ κ. P ‖ ἐστέ om R

ἡμᾶς γὰρ ἔπλασεν ὁ κύριος ἀπὸ γῆς, ὑμεῖς δὲ καθαροί ἐστε· διὰ τοῦτο ἔδωκεν ὁ θεὸς ἐξ ὑμῶν τῷ λαῷ αὐτοῦ τὰς πλάκας τοῦ νόμου· οὐ γὰρ ἔγραψεν ἐν πλαξὶν χρυσαῖς ἢ ἀργυραῖς ἀλλ' ἐν πλαξὶν λιθίναις. νῦν οὖν ποίησον ὦ ἀνδρία τὴν οἰκονομίαν ταύτην. Ταῦτα εἰπόντος τοῦ μακαρίου Ἀνδρέου εὐθὺς ἀπέβαλεν ὁ λίθινος ἀνδριὰς ἐκ τοῦ στόματος αὐτοῦ ὕδωρ πολὺ ὥσπερ ἐκ διώρυγός τινος, καὶ ὑψώθη τὸ ὕδωρ ἐπὶ τὴν γῆν, καὶ ἦν ἁλμυρὸν σφόδρα κατεσθίον σάρκας ἀνθρώπων.

30 Πρωίας δὲ γεναμένης θεασάμενοι οἱ ἄνδρες τῆς πόλεως ἤρξαντο φεύγειν λέγοντες ἐν ἑαυτοῖς· Οὐαὶ ἡμῖν, ὅτι τελευτῶμεν νῦν. Καὶ ἀπέκτεινεν τὸ ὕδωρ τὰ κτήνη αὐτῶν καὶ τὰ τέκνα
163 T αὐ|τῶν, καὶ ἤρξαντο φεύγειν ἐκ τῆς πόλεως. τότε ὁ Ἀνδρέας εἶπεν πρὸς τὸν κύριον λέγων· Κύριε Ἰησοῦ Χριστέ, ἐφὴν ἐπιχειρῆσαι καὶ ποιῆσαι τὸ σημεῖον τοῦτο ἐν τῇ πόλει ταύτῃ, μή με ἐγκαταλίπῃς, ἀλλὰ ἀπόστειλον Μιχαὴλ τὸν ἀρχάγγελόν σου ἐν νεφέλῃ πυρός, καὶ περιτείχισον τὴν πόλιν ταύτην, ἵνα ἐάν τις θελήσῃ ἐκφυγεῖν ἐξ αὐτῆς μὴ δυνηθῇ ἐξελθεῖν τοῦ πυρός. Καὶ εὐθέως κατῆλθεν νεφέλη πυρὸς καὶ ἐκύκλωσεν πᾶσαν τὴν πόλιν

[1–3] ἡμ. γ. - νόμου *om* BE ‖ [1] ἡμ. - ἐστε *om* Σ ‖ ὑμᾶς RC ‖ ὁ κύρ. *om* RPO | ἀπὸ] τῆς *add* O ‖ δὲ] γὰρ R ‖ [2] τοῦτο - ὑμ.] τί γὰρ ὁ θεὸς οὐκ ἐν τῷ νόμῳ R | ὁ θ. δι' ὑμῶν ἔδ. (Σ) ‖ ἔδ. - λ. α.] ἐξ ὑ. δέδωκε C ‖ ὁ θ. ἔδ. P ‖ δι' ὑμῶν *post* αὐτοῦ O ‖ [2–3] τ. λ. - τ. ν.] τὸν νόμον τ. λ. α. (Ω) ἀλλ' ἄκουέ μου *add* MN | τ. πλ. - ἔγραψεν] διὰ μωϋσέως R ‖ [3–5] οὐ γ. - ταύτην *om* C ‖ [3] ἔγρ.] ὁ θεὸς τὸν νόμον τῷ λαῷ αὐτοῦ *add* B (*fort uerum*) ὁ θεὸς *add* MN | [4] ὦ] τῷ P *om* RO ‖ ἀνδριάντα RO ἀνδρέα P (*cf* 109, 9) (*om* E) ‖ [5] ε. τ. μ. Ἀ.] αὐτοῦ ε. R(O) ‖ εὐθέως BE ‖ [6] λίθος RN ὁ *add* R ‖ ἀνδριάντης O ‖ αὐτοῦ *om* B ‖ [6–7] ὕδωρ - ὑψ. *om* R ‖ [6] πολὺν B εἰς πλῆθος C ‖ [7] ὥσπ. ἐκ δ. *om* O ‖ ὡς Π ‖ διορύγματος Σ ‖ τινὸς *om* BCΩ ‖ [8] ἁλμ.] ἁλικοῖν R | [9–11] πρ. - νῦν *om* Θ ‖ [11] τὸ ὕδ. *om* RNE ‖ τὰ τ. α. κ. τὰ κτ. (Θ) ‖ [12] αὐτῶν *om* ΠΩ ‖ ἤθελον φυγεῖν (ἐκφυγεῖν RMN) (Θ) οἱ ἄνδρες *add* ΠOMN οἱ ἄνθρωποι *add* R ‖ ὁ *om* BCΣ ‖ [13] εἶπεν] ηὔξατο BO ‖ πρ. τ. κ. *om* B ‖ τὸν *om* CO ‖ λέγ. *om* ΠΣ: *cf* 91, 3 ‖ κύρ.] μου *add* RPMN ‖ ἐφὴν] ἔφην N ὤφθην M ὁ ὀφθείς μοι E ὁ δούς μοι χάριν καὶ ἐνισχύσας με O ἐφ' ὃν ἤλπισα ἐνόσω ἠθέλησα P ἐφ' ᾧ ἤλπισα C ὡς (*l* ὃς) ἐπήκουσάς μου καὶ ὑπέσχου R (*cf* 97, 1): *ego frustra quaesiui* ‖ [13–14] ἐπεχείρησα καὶ ἐποίησα B γενέσθαι C ‖ [13] ἐπ. *om* RO ‖ [14] καὶ *om* RΩ ‖ τὸ σ. τ. ποιῆσαι R ‖ τοῦτο τὸ σ. PMN τί σ. E τὰ σημεῖα ταῦτα O ‖ [15] ἐγκαταλείπῃς με RO ἐγκαταλείψῃς με P κύριε *add* R ‖ ἐγκαταλείπῃς B: *cf* 74, 19 ‖ ἀλλ' CE ‖ ἀπ.] μοι *add* N ‖ [16] περιτειχη| *deficit* B περιτειχισάτω RΩ πᾶσαν *add* O: *cf* 18

RPCOMNE [16] ταύτην *om* Π πάντοθεν τὸ πῦρ ὡς τεῖχος κύκλῳ αὐτῆς *add* R ‖ [16–111, 3] ἵνα - σφ.] καὶ μάθωσιν ἀνδρίας ὁ ψηφινός ἐστιν ὁ βάλλων τὸ ὕδωρ καὶ κατεσθίων πάντας R ‖ [16–17] ἐὰν - ἐκφ. *om* C ‖ [17] θέλει P(E) ‖ φυγεῖν N ἐξελθεῖν OE ‖ ἐξ α. *om* Π ‖ δυν.] τις *add* CE ‖ ἐκφυγεῖν C *om* O ‖ τ. π.] διὰ τὸ πῦρ MN *om* O ‖ τοῦ] ἐξ αὐτοῦ τοῦ E ‖ [17–18] κ. ε. κ. ν. π. *om* P ‖ [18] ἐξῆλθε E ‖ νεφ.] ἡ νεφ. τοῦ O ‖ πᾶσαν *om* C

ὡς τεῖχος. καὶ μαθὼν ὁ Ἀνδρέας τὴν γενομένην οἰκονομίαν εὐλόγει τὸν κύριον. τὸ δὲ ὕδωρ ὑψώθη ἕως τραχήλου τῶν ἀνδρῶν ἐκείνων καὶ ἦν κατεσθίον αὐτοὺς σφόδρα. καὶ ἔκλαιον καὶ ἐβόων πάντες λέγοντες· Οὐαὶ ἡμῖν· ταῦτα γὰρ πάντα ἐπῆλθεν ἐφ' ἡμᾶς διὰ τὸν ξένον τὸν ὄντα ἐν τῇ φυλακῇ, ὃν βασάνοις παρεδώκαμεν· τί οὖν μέλλομεν ποιεῖν; πορευθῶμεν εἰς τὴν φυλακὴν καὶ ἀπολύσωμεν αὐτόν, μή ποτε ἀποθάνωμεν ἐν τῷ ὕδατι τούτῳ τοῦ κατακλυσμοῦ· ἀλλὰ βοήσωμεν ἅπαντες ὅτι Πιστεύομέν σοι ὁ θεὸς τοῦ ξένου ἀνθρώπου· καὶ ἆρον ἀφ' ἡμῶν τὸ ὕδωρ τοῦτο. Καὶ ἐξῆλθον ἅπαντες βοῶντες φωνῇ μεγάλῃ· Ὁ θεὸς τοῦ ξένου ἀνθρώπου τούτου, ἆρον ἀφ' ἡμῶν τὸ ὕδωρ τοῦτο. Καὶ ἔγνω ὁ Ἀνδρέας ὅτι ἡ ψυχὴ αὐτῶν ὑπετάγη πρὸς αὐτόν· τότε ὁ μακάριος Ἀνδρέας εἶπεν πρὸς τὸν ἀλαβαστρινὸν ἀνδριάντα· Παῦσαι λοιπὸν ἀποβάλλων τὸ ὕδωρ ἐκ τοῦ στόματός σου, διότι ὁ καιρὸς τῆς ἀναπαύσεως παρῆλθεν· ἰδοὺ γὰρ ἐξέρχομαι καὶ κηρύσσω τὸν λόγον τοῦ κυρίου. λέγω

---

[1] ὡς τ. om E ‖ ὡσεὶ O ‖ τ.] κύκλω αὐτῆς add MN ‖ [1–2] καὶ μ. - κύρ. om C ‖ [1] ἰδὼν O εἶδον E ‖ οἱ ἄνδρες E ‖ ὁ om O ‖ γηνομένην N γεναμένην O ‖ [2] ηὐλόγει E ηὐλόγησεν MN ‖ τὸ δὲ] καὶ τὸ Π ‖ ἕως] τοῦ add C ‖ [2–3] τ. ἀ. ἐκ.] τ. ἀνθρώπων O αὐτῶν E ‖ [3] ἐκ. om MN ‖ κ. ἦν om E ‖ ἦν κ.] κατήσθιεν MN ‖ αὐτ.] τὰς σάρκας αὐτῶν E: cf 110, 8 ‖ σφ.] τὸ πῦρ καὶ τὸ ὕδωρ ἔπνηγε πάντας O πάντες add E ‖ κ. ἔκλ. om E ὁμοθυμαδῶν add R ‖ [4] καὶ ἐβ. om C ‖ ἐβόουν OME: cf 112, 10 ‖ ἅπαντες PMN om COE ‖ λέγ. om R ‖ γὰρ om R ‖ ἐπῆλθον C ἦλθεν E ‖ [5] ἡμῖν (om ἐφ') R ‖ τῇ om C ‖ [5–6] ὃν - ποι. om C ‖ [6] παρεδῶμεν M περιεδώκαμεν N ‖ οὖν om R ‖ ποιῆσαι R ‖ πορευσόμεθα R ‖ [6–7] ἐν τῇ φυλακῇ RN om C ‖ [7–10] ἐν - τοῦτο om C ‖ [8] τούτῳ om E ‖ τ. κ.] ὡς ἐν κατακλυσμῷ R om P ‖ κατακλ.] οὐ μόνον δὲ add M: cf 67, 11 ‖ ἀλλὰ] καὶ add MN ‖ καταβοήσωμεν πάντες R ‖ ἅπ.] λέγοντες add MN ‖ [9] πιστ.] ἅπαντες add R ‖ σοι - ἀνθ.] ὃν κηρύσσης R ‖ σοι ὁ θ.] τῷ θεῷ E ‖ καὶ] κύριε E om PO ‖ [10] τοῦτο om R ‖ ἐξ.] εἶσαν R ‖ πάντες R om C ‖ [10–11] μ. φ. λέγοντες E ‖ [10] λέγοντες MN ‖ [10–11] μ. φ. C ‖ [11–12] ὁ - τοῦτο] ἐλέησον ἡμᾶς ὁ θεὸς τοῦ ξένου ὁ θεὸς ὃν κηρύττει ὁ ἀπόστολος ἀνδρέας ἐλέησον ἡμᾶς O om RΣ: del?? cf 8; 112, 5 ‖ [11] τούτου om C ‖ [12] καὶ] τότε add P ἡ φωνὴ αὐτῶν ἀπῆλθεν πρὸς τὸν ἀνδρέαν καὶ add R ‖ ἔγνων E γνοὺς R ἰδὼν O ‖ Ἀ.] ἀπόστολος C μακάριος O ‖ [12–13] ἡ ψ. - αὐτ.] κατώδυνοι ἐγένοντο C ὑπετάγησαν αἱ ψυχαὶ αὐτῶν O αἱ ψυχαὶ αὐτ. ὑπετάγησαν πρὸς αὐτόν R ‖ ὑπετάθη E προσετάγη M ‖ [13] τότε - Ἀ.] καὶ C om O ‖ ὁ μ. om PE ‖ τὸν] στύλον τὸν add C ‖ [14] ἀλαβ.] ψιφηνὸν R λίθινον (Σ) om O: cf 109, 10 ‖ ἀνδρ.] λέγων add R ‖ παῦσον E ‖ λ. ἀπ. om C ‖ τοῦ λοιποῦ E: cf 107, 15 ‖ [15] ἐκ - σου om C ‖ ἀπὸ R: cf 110, 6 ‖ [15–16] διότι - κυρ.] ὅτι μετενόησαν C ‖ [15] διὸ R ‖ ὁ] καὶ ὁ|||ο M om NE ‖ τῆς om E ‖ παραβάσεως P σωτηρίας αὐτῶν O σου add R ‖ προῆλθε E ἦλθεν O πάρεστιν MN καὶ ἤγγικεν ἡμέρα τοῦ σωθῆναι αὐτούς add O ‖ [16] εἰσέρχομαι P ‖ κ. κηρ.] κηρύσσειν R τοῦ κηρύξαι E om O(?) ‖ τ. λ.] τὸ εὐαγγέλιον P ‖ κυρ.] θεοῦ R μου add MN ἰησοῦ χριστοῦ add O(M)N

δέ σοι τῷ στύλῳ τῷ λιθίνῳ ὅτι ἐὰν πιστεύσωσιν οἱ τῆς πόλεως ταύτης, οἰκοδομήσω ἐκκλησίαν καὶ στήσω σε ἐν αὐτῇ, ὅτι ἐποίησάς μοι τὴν διακονίαν ταύτην. Καὶ ἐπαύσατο ὁ ἀνδριὰς τοῦ ῥέειν καὶ οὐκέτι ἐξήνεγκεν ὕδωρ. καὶ ἐξελθόντες οἱ τῆς πόλεως ἐπὶ τὰς θύρας τῆς φυλακῆς ἐβόησαν λέγοντες· Ἐλέησον ἡμᾶς ὁ θεὸς τοῦ ξένου ἀνδρός, καὶ μὴ ποιήσῃς κατὰ τὴν ἀπιστίαν ἡμῶν καὶ καθ᾿ ἃ ἐποιήσαμεν τῷ ἀνδρὶ τούτῳ, ἀλλ᾿ ἔξελε ἀφ᾿ ἡμῶν τὸ ὕδωρ τοῦτο. Καὶ ἐξῆλθεν Ἀνδρέας ἐκ τῆς φυλακῆς, καὶ τὸ ὕδωρ διέτρεχεν ἀπὸ τῶν ποδῶν τοῦ μακαρίου Ἀνδρέου. τότε πᾶς ὁ ὄχλος ἰδὼν αὐτὸν ἐβόουν ἅπαντες. |

164 T 31 *Καὶ ἐλθὼν ὁ γέρων ὁ παραδοὺς τὰ παιδία αὐτοῦ ἵνα σφάξωσιν αὐτὰ ἀντ᾿ αὐτοῦ, ἐδέετο τῶν ποδῶν τοῦ μακαρίου Ἀνδρέου λέγων· Ἐλέησόν με. Καὶ ἀποκριθεὶς ὁ ἅγιος Ἀνδρέας εἶπεν τῷ γεραιῷ· Θαυμάζω πῶς σὺ λέγεις· Ἐλέησόν με· Σὺ οὖν οὐκ ἠλέησας τὰ τέκνα σου, ἀλλὰ παρέδωκας αὐτὰ ἀντὶ σοῦ*

---

[1] τῶ λιθ. στ. Σ om C ‖ εἰ C om R ‖ πισθῶσιν (Π) ἐπίστευσαν R μοι add PMN τῶ θεῶ add R ‖ [1–2] οἱ ἐν τῇ πόλει ταύτῃ O οἱ πολῖται C ‖ [1] οἱ] ἄνθρωποι add R: cf 4; 66, 8 ‖ [1–2] [πόλε]ως ταύτης redit A

ARPCOMNE [2] ταύτης] ἄνθρωποι εἰς αὐτὸν add E ‖ οἰκ.] ἐνταῦθα add (Σ) ‖ ἐκκλ.] ἐπαυτῆς add P ἐν αὐτῇ add RO ἐπὶ σέ add C ‖ καὶ - αὐτῇ om CΣ ‖ στ.] μετενέγκω RPO ‖ ἐν α.] ἐν τῇ ἐκκλησίᾳ R εἰς τὴν ἐκκλησίαν P εἰς ταύτην O ‖ [2–3] ὅτι - ταύτην om C ‖ [3] μου MN om RPO ‖ οἰκονομίαν O ἐντολὴν R μου add E ‖ ὁ ἀ.] ὁ ψίφινος add R ‖ [4] ἐξένεγκεν A ἐξήγαγεν R (om Π) ‖ εἰσῆλθον C ἐλθόντες RPΣ ‖ οἱ] ἄνθρωποι add R: cf 1 ‖ τ. π.] πολῖται C ἄνθρωποι add E ‖ [5] τὰς] τῆς RP (om C) ‖ ἐβ.] ἅπαντες add Σ: cf 111, 10 ‖ [6] τ. ξ. ἀ. om RPΣ ‖ ἀ.] ἀνθρώπου τούτου O om C ‖ [6–8] καὶ μὴ - τοῦτο om C ‖ [6–7] κατὰ - καὶ] μεθ᾿ ἡμῶν POMN ἡμῖν RE ‖ [7] καθὼς (Θ) ἡμεῖς add O(E) ‖ [7–8] ἀλλ᾿ - τοῦτο om RE ‖ [7] ἀλλὰ PMN καὶ O ‖ [8] καὶ ἐξ. Ἀ.] ταῦτα (καὶ C) ἀκούσας ὁ ἀ. ἐξ. Π ‖ ἐξ.] ὁ μακάριος add OM ‖ [9] διέτ. τὸ ὕδ. Π ‖ ἐπὶ R διὰ O ἐκ E ‖ ἀνδρέα R om Σ ἕως οὗ ἦλθεν εἰς τὸν τόπον add O: cf 113, 11 ‖ [10] ἰδόντες OE om R ‖ αὐτ. om R ‖ ἐβόων N ἐβόα R ἐβόησεν Π ἐβόησαν E ‖ ἅπ.] λέγων P λέγοντες OE om RC (cf 5) ἐλέησον ἡμᾶς add ΠE θεὸς τοῦ ξένου ἀνθρώπου τούτου add P δοῦλε τοῦ θεοῦ τοῦ ὑψίστου ταῦτα ἰδὼν ὁ ἅγιος ἐδόξασε τὸν θεὸν κλαίων add E δοξάζοντες τὸν θεὸν (κύριον M) add MN: aliquid certe intercidisse uidetur ‖ [11] ἦλθεν R om Σ κλαίων add MN ‖ γηραιὸς ΠΩ γεραιὸς R fort uerum: cf 14; 97, 12 ss ‖ π[αιδία A] τέκνα RΠ ‖ [11–12] ἵνα - αὐτοῦ] εἰς βρῶσιν Θ ‖ [12–13] ἐδ. - με] καὶ ἴδεν αὐτὸν ὁ μακάριος R ‖ ἐδ. - Ἀ.] ἔπεσεν εἰς τοὺς πόδας αὐτοῦ μετὰ κλαυθμοῦ καὶ ὀδυρμοῦ πικροτάτου O ‖ [12] τ. ποδ. om CE ‖ [12–13] τ. μ. Ἀ.] αὐτοῦ C ‖ [12] μακ. om P ‖ [13] Ἀ. om Σ ‖ λ. ἐλ. με om C ‖ λέγ.] καὶ ἔλεγεν PΣ αὐτῶ add (Θ) ‖ με] ἅγιε τοῦ θεοῦ add O ‖ [13–14] ἀπ. - γερ.] εἶπεν αὐτῶ ὁ ἀπόστολος C ‖ [13] ἀπ. - Ἀ. om R ‖ ὁ om NE ‖ ἅγ. om PΩ ‖ ἀπόστολος M ‖ [14] τ. γ.] αὐτῶ RE ‖ γε[ρ]έῳ A γηραιῶ ΠOMN ‖ [θ]αυμάζω A ἐγὼ θ. R κακόγηρε add O ἄνθρωπε add R ‖ σὺ prius om Θ ‖ [15] οὖν] γὰρ Σ om R(Π)O: del? πρῶτος add PΣ ‖ ἠλέησ[α]ς A ‖ [15–113,1] ἀλλὰ - σφ.] εἰσφαγὴν ἐν ᾗ C ‖ [15] ἀλλὰ] ἐπὶ σοῦ γὰρ ἔβαλον κλήρους πρὸς τὸ ἀποθανεῖν σε καὶ R ‖ αὐτὰ]

τοῦ σφαγῆναι· λέγω οὖν σοι, οἵαν ὥραν ἀπέρχεται τὸ ὕδωρ τοῦτο, εἰς τὴν ἄβυσσον πορευθῇς καὶ σὺ μετὰ τῶν δεκατεσσάρων δημίων τῶν φονεόντων τοὺς ἀνθρώπους καθ᾽ ἑκάστην ἡμέραν, καὶ μείνητε ἐν τῷ ᾅδῃ ἕως ἂν ἐπιστρέψω ἄλλο ἅπαξ καὶ ἀνενέγκω ὑμᾶς. νῦν οὖν πορεύεσθε εἰς τὴν ἄβυσσον, ἵνα ὑποδείξω τούτοις τοῖς δημίοις τὸν τόπον τῆς φονεύσεως αὐτῶν καὶ τὸν τόπον τῆς εἰρήνης, καὶ τῷ γηραιῷ τούτῳ τὸν τόπον τῆς ἀγαπήσεως καὶ τῆς παραδόσεως τῶν τέκνων αὐτοῦ. νῦν οὖν ἀκολουθήσατέ μοι πάντες. Ἀκολουθούντων δὲ τῶν ἀνδρῶν τῆς πόλεως ἦν τὸ ὕδωρ διαχωριζόμενον ἐκ τῶν ποδῶν τοῦ μακαρίου Ἀνδρέου ἕως ὅτε ἦλθεν εἰς τὸν τόπον τῆς ληνοῦ ἔνθα τοὺς ἀνθρώπους ἐσφαγίαζον. καὶ ἀναβλέψας εἰς τὸν οὐρανὸν ὁ μακάριος Ἀνδρέας ηὔξατο ἀπέναντι παντὸς τοῦ ὄχλου, καὶ ἀνεῴχθη ἡ γῆ καὶ κατέπιε τὸ ὕδωρ σὺν τῷ γεραιῷ, εἰς τὴν ἄβυσσον κατηνέχθη σὺν τοῖς δημίοις. καὶ θεασάμενοι οἱ ἄνδρες τὸ γεγονὸς ἐφοβήθησαν σφόδρα καὶ ἤρξαντο λέγειν· Οὐαὶ ἡμῖν, ὅτι ὁ ἄνθρωπος οὗτος ἐκ θεοῦ ἐστιν, καὶ νῦν ἀποκτείνει ἡμᾶς διὰ τὰς θλίψεις ἃς πεποιήκαμεν αὐτῷ. ἰδοὺ γὰρ τί εἶπεν τοῖς δημίοις καὶ τῷ γεραιῷ συνέβη

τὰ τέκνα σου R τὰ παιδία σου MN

[1] *τ. σφ. om RPΩ ἐγὼ δὲ add P ‖ σοι οὖν R ‖ οὖν] δὲ Σ om Π ‖ σοι] ὅτι add MN ‖ οἵ. - ὕδ.] ὅπως C ‖ οἵαν] ὅ ἡ δ᾽ἂν E ἐν ᾗ P ᾗ O ‖ ὥρα PO ‖* [2] *τοῦτο om Θ ‖ πορ. ἐν ἀβύσσῳ C ‖ πορευθήσῃ MN (fort recte) πορεύθητι E πορεύου R ἀπελεύσεις O ‖ κ. σὺ om ACO ‖ δεκατεσάρων A om R ‖* [3] *φ.] φονέων τῶν A σφαζόντων PO σφαξάντων R σφαγιαζόντων Σ ἀποκτενόντων C φονευόντων Tischendorf recte ut uid ‖ κ. ἑ. ἡμ. om ΠO ‖* [4–11] *μείνητε - ὅτε om A ‖* [4] *μείνατε RO μενεῖτε MN ‖ ἄχρις R ‖ ἂν] οὖν R ὅτε O οὗ E om MN ‖ ἄλλο om RΠΣ ‖ ἅπαξ om RΠ ‖ ἀπενέγκω O ‖* [5] *νῦν - ἄβ. om C ‖ οὖν om MN ‖* [5–14] *ἵνα - ἄβ. om R ‖* [5] *ὑποδείξωσιν MN ὑποδείξει σοι E ὑποδειχθῶσιν Π ‖* [6] *τ. τ. δ. τ. τ.] ὑμῖν οἱ τόποι Π ‖ τοὺς τόπους Σ ‖ τ. φον.] τῶν φονευθέντων ὑπ᾽ O ‖ αὐτ.] ὑμῶν Π ‖* [6–7] *κ. - εἰρ. om Π ‖* [7] *τ. γ. τ.] σὺ (l σοὶ) γηραιὲ E ‖ scr γεραιῷ: cf 95, 12 ‖ ἀγαπ.] ἀνελεημοσύνης Π ‖* [8] *καὶ om Ω τὸν τόπον add O recte ut uid ‖ τ. παρ. om Ω ‖ τ. τ. α. om C ‖ αὐτοῦ] σου E ‖ οὖν om (C)MN ‖* [9] *μοι om P(C) ‖ ἅπαντες Σ om (C)O ‖ ἀκ. δὲ] καὶ ἀκ. O ‖ δὲ] αὐτὸν add (Σ) ‖ τ. ἀνδ.] αὐτῶν O ‖ τ. πόλ. om ΠO ‖* [10] *τὸ ὕδ. ἦν O ‖ μακ.] ἁγίου C om P ‖ Ἀ. om CΣ ‖* [11] *ὅτε] ὅτου CMN οὗ E ἂν O ‖* [12] *ἔσφαζον ΠO: cf 96, 1 ‖ ὁ μ. om O ‖ Ἀ. om A ‖* [13] *ἐνώπιον O: cf 101, 11 ‖ λαοῦ Ω ‖ καὶ] εὐθέως add E ‖ ἠνεώχθη ΠΣ ‖* [14] *ὕδ.] καὶ τοὺς δημίους add Σ ‖ σὺν] τοῖς δημίοις καὶ add Π ‖ γηραιῷ ΠΩ ‖ ⟨καὶ⟩ εἰς?? ‖* [14–15] *κατ. - δημ. om Θ ‖* [15–19] *σφ. - ἡμᾶς] μήπως ἀναλώσει τούτους διὰ τὰ ἅπερ ἐνέδειξαν ἐν αὐτῷ C ‖* [16] *λέγ.] ἐνεαυτοῖς add Σ ‖ τοῦτως A ‖ ἐκ om O τοῦ add RPME ‖ θεὸς O ‖* [17] *κ. ν.] ν. οὖν RO ν. δὲ PΣ ‖ ἀποκτενεῖ RPΩ ‖ παρέσχομεν PO (fort recte: cf 89, 5; 13; 103, 10) παρίχαμεν M παρείχομεν N ὑπενέγκαμεν R ἐπισχώμεθα E ‖* [18] *τί] ὃ (Ω) ὡς RP ὅ τι Thilo ‖ τῷ γερ. κ. τοὺς δημίους R ‖ γηραιῷ PΩ*

αὐτοῖς. νῦν οὖν κελεύσει τῷ πυρὶ καὶ καύσει ἡμᾶς. Καὶ ἀκούσας Ἀνδρέας εἶπεν πρὸς αὐτούς· Μὴ φοβεῖσθε τεκνία· κἀκείνους γὰρ οὐ μὴ ἐάσω εἰς τὸν ᾅδην, ἀλλ' ἐπορεύθησαν ἐκεῖνοι ἵνα ὑμεῖς πιστεύσητε εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν.

32 Τότε ἐκέλευσεν ὁ ἅγιος Ἀνδρέας ἐνεχθῆναι πάντας τοὺς
165 T τελευτήσαντας ἐν τῷ ὕδατι, καὶ οὐκ ἴσχυσαν ἐνέγκαι αὐτούς· πολὺς γὰρ ἦν τελευτήσας ὄχλος ἀνδρῶν τε καὶ γυναικῶν καὶ παιδίων καὶ κτηνῶν. τότε ηὔξατο Ἀνδρέας, καὶ πάντες ἀνέζησαν. καὶ μετὰ ταῦτα ἐχάραξε τύπον ἐκκλησίας καὶ ἐποίησεν οἰκοδομηθῆναι τὴν ἐκκλησίαν. καὶ βαπτίσας παρέδωκεν αὐτοῖς τὰς ἐντολὰς τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, λέγων πρὸς αὐτούς· Στήκετε πρὸς ταῦτα, ἵνα γνῶτε τὰ μυστήρια τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Καὶ ἐδέοντο αὐτοῦ πάντες· Δεόμεθά σου, ποίησον πρὸς ἡμᾶς ὀλίγας ἡμέρας, ὅπως κορεσθῶμεν τῆς σῆς πηγῆς, ὅτι ἡμεῖς νεόφυτοί ἐσμεν. Καὶ δεομένων αὐτῶν οὐκ ἐπείθετο, ἀλλ' εἶπεν αὐτοῖς· Πορεύσομαι πρῶτον πρὸς τοὺς μαθητάς μου.

---

[1] *ν. οὖν] καὶ ν. ἰδοὺ ἐὰν P ν. δὲ R ‖ κελ. om RΣ ‖ πυρὶ] τούτω add P ‖ καὶ om RPΣ ‖ κατακαύσει RPOE ‖ κ. ἀκ.] ἀκ. δὲ ταῦτα R ὁ add RPOE ‖ [καὶ] A ‖ [1–2] ἀκ. Ἀ. om C ‖ [2] πρ. α.] αὐτοῖς RCΣ (cf 68, 14) ὁ ἀπόστολος add C ‖ τέκνα Σ om C μου add RP(Ω) ‖ [3] γὰρ om RCO ‖ οὐ μὴ] οὐκ RΠ ‖ ἐν τῷ ᾅδη Π om O μένειν add R ‖ ἀ. ἐπ. ἐκ.] ἐπ. γὰρ ΠΣ ἐκ. γὰρ ἐπ. R ἀλλὰ διατοῦτο ἀρτίως ἀπήλθων εἰς τὴν ἄβυσσον O ‖ scr ἐκεῖ?? ἐκεῖσε?? ‖ [4] εἰς - Χρ. om Θ ‖ [5] ὁ μακάριος ἀ. ἐκέλ. R ‖ μακάριος ΠΩ ‖ συναχθῆναι (R) ἀχθῆναι N ‖ [6] ἴσχυον R ἠδύναντο O ‖ ἐνεγκεῖν ROE ἀνενέγκαι MN ‖ [7–8] πολ. - κτ.] ἀπὸ τοῦ πλήθους C ‖ [7] πολλοῖς A ‖ ὄ. ἦν τελ. O ‖ τελ.] ὁ τελ. (R)Σ ‖ [8] Ἀ.] ὁ μακάριος ἀ. O ὁ ἀ. ME om C πρὸς τὸν κύριον (ἡμῶν add RE) ἰησοῦν χριστὸν add RΣ: cf 113, 13 ‖ πάντες] οἱ ἄνθρωποι add MN: cf 116, 6 ‖ ἀνέστησαν ROMN ‖ [9] διεχάραξεν (Π)Ω ἐπὶ τὴν γῆν add Ω ‖ τύπον om R ‖ ἐκκλησίαν R ἐπὶ τῆς γῆς add Π ἐπὶ τὸν τόπον ἐκεῖνον add R ‖ [10] τ. ἐ.] αὐτὴν C ‖ τὴν om Θ ‖ ἐκκλ. om RO(E) ‖ βαπτ. om Θ ‖ [11] κυρ. - Χρ.] θεοῦ Π νόμου RΩ ‖ [11–12] ἡμ. - γν.] καὶ C ‖ [11] αὐτ.] ὅτι add PE ‖ [12] στ. πρ. om O ‖ ἵνα om O ‖ γν.] παραδώσω PΣ δῶ R om O ὑμῖν add R(Σ) ‖ τ. κυρ. om R ‖ ὑμῶν R μου O om C ‖ [13] Χρ.] οὐ παραδώσω ὑμῖν νῦν ἀλλὰ πορεύομαι πρὸς τοὺς μαθητάς μου καὶ πάλιν ἔρχομαι καὶ στηρίξω ὑμᾶς ἐν τῇ πίστει καὶ ἀναγάγω τοὺς δεκατέσσαρις δημίους σὺν τῷ γηραιῷ ἐκ τῆς ἀβύσσου add (Π) ὃν ὑπέδειξα ὑμῖν ὅτι πονηρὰ εἰσὶν τὰ ἔργα ὑμῶν παρὰ πάντας ἀνθρώπους ἀλλ' ἐπανελθὼν παραδώσω ὑμῖν add R ἃ παραδώσω ὑμῖν νῦν add OMN ‖ κ. ἐδ. α. π.] ἐκεῖνοι δὲ εἶπον C ‖ ἅπαντες P λέγοντες add RΩ καὶ ἔλεγον add P ‖ σου] πάτερ add R ‖ μεῖνον ME: cf 115, 10; 116, 9 ‖ [14] μεθ' ἡμῶν RME: cf 115, 10 ‖ ἡμ. ἔτι ὀλ. PO ἔτι ἡμ. ὀλ. R: cf 115, 10 ‖ τῆς] ἀγαθῆς add O ‖ [15] δε. α. om RC αὐτὸς add P ‖ ἐπ.] αὐτοῖς add RPOM(N) ‖ [16] ἀλλ' ε. α.] λέγων P ‖ [16]–115,[1] εἶπεν - μου καὶ om C ‖ [16] ἔλεγεν ROM ‖ αὐτ.] πρὸς αὐτοὺς (cf 68, 14) ὅτι R ‖ πρ. πορ. O πρότερον πορ. M(N) ‖ πορεύομαι RP: cf 115, 3 ‖ πρῶτ. om PE*

Καὶ ἠκολούθουν ὄπισθεν τὰ παιδία κλαίοντα καὶ δεόμενα σὺν τοῖς ἀνδράσιν, καὶ ἔβαλαν σποδὸν ἐπὶ τὰς κεφαλὰς αὐτῶν· καὶ οὐκ ἐπείθετο αὐτοῖς ἀλλ' εἶπεν· Πορεύσομαι πρὸς τοὺς μαθητάς μου, καὶ μετὰ ταῦτα ἐπανέλθω πρὸς ὑμᾶς. Καὶ ἐπορεύετο τὴν ὁδὸν αὐτοῦ.

33 *Καὶ κατῆλθεν ὁ κύριος Ἰησοῦς γενόμενος ὅμοιος μικρῷ παιδίῳ εὐπρεπεῖ, καὶ συναντήσας τὸν Ἀνδρέαν εἶπεν· Ἀνδρέα, διὰ τί ἐξελθὼν ἔασας αὐτοὺς ἀκάρπους, καὶ οὐκ ἐσπλαγχνίσθης ἐπὶ τοῖς παιδίοις τοῖς ἀκολουθοῦσιν ὄπισθέν σου καὶ τῶν δεομένων ἀνδρῶν ὅτι Ποίησον μεθ' ἡμῶν ἡμέρας ὀλίγας; Ἡ γὰρ βοὴ αὐτῶν καὶ ὁ κλαυθμὸς ἀνέβη εἰς οὐρανούς. νῦν οὖν ἐπιστρέψας εἴσελθε εἰς τὴν πόλιν καὶ παράμεινον ἐκεῖ ἡμέρας*
ἑπτά, ἕως οὗ ἐπιστη|ρίξω τὰς ψυχὰς αὐτῶν ἐν τῇ πίστει· καὶ 166 T
τότε ἐξέλθῃς ἐκ τῆς πόλεως ταύτης, καὶ ἀπελεύσει εἰς τὴν

[1–4] *καὶ - μου om E* ‖ [1] *καὶ] οὕτως ἐλεύσομαι πρὸς ὑμᾶς ἀπερχομένου δὲ αὐτοῦ add MN* ‖ *ἠκολούθησαν R αὐτοῦ add P αὐτῷ add RCMN* ‖ *ὄπ. om RCMN* ‖ *τὰ π. om RCOMN* ‖ *κλαίοντες καὶ δεόμενοι RCO αὐτοῦ add R* ‖ *σὺν] ἅμα MN ἅμα σὺν RP om CO: cf 69, 9* ‖ [2] *τ. ἀ.] γυναιξὶ καὶ παιδίοις R ἄνδρες καὶ γυναῖκες καὶ παιδία O om C* ‖ *σπ. βάλοντες C* ‖ *ἔβαλλον (P)N ἔβαλον R βαλόντες M* ‖ *τὴν κεφαλὴν RP* ‖ *αὐτῶν] καὶ ἐγονυπέτουν αὐτὸν βοῶντες ἐλέησον ἡμᾶς add R* ‖ [2–5] *κ. οὐκ - αὐτοῦ om C* ‖ [3] *ἀλλ'] καὶ ἀποκριθεὶς R* ‖ [3–4] *εἶπεν - ὑμ. καὶ om P* ‖ [3] *εἶπεν] αὐτοῖς add ROMN* ‖ *πορεύομαι R πρῶτον add R: cf 114, 16* ‖ [4] *μ. τ.] πάλιν O οὕτως E* ‖ *ἐπανήξω O ἐπανάξω R ἥξω MN ἐπιστρέψω E* ‖ *πρὸς] ἐφ' R* ‖ *ἐπορεύθη E ἐπὶ add R* ‖ [6] *καὶ κ.] κ. δὲ R* ‖ *κύρ.] ἡμῶν add CE* ‖ *Ἰ.] χριστὸς add CMN om RO ἐκ τοῦ οὐρανοῦ add R* ‖ *ὅμ.] ὡς E* ‖ [6–7] *π. μ. ΠΟΜΝ μικρὸν πεδίον A παιδίον μικρὸν E* ‖ [7] *παιδαρίῳ R* ‖ *εὐπρεπὶ A om R* ‖ *συνναντήσας A ἀπαντήσας R* ‖ *τῷ ἀνδρέα (Θ)* ‖ *ἔφη C αὐτῷ add RP* ‖ *Ἀ. om RMN* ‖ [8] *ἐξ.] ἀναχωρεῖς Π περιπατεῖς οὕτως O περιεπάτησας ἀπ' αὐτῶν R om Σ ἐξῆλθες Tischendorf* ‖ *εἴασας ME (cf 99, 5; 104, 4) καὶ ἀφῆκας R: cf 116, 7* ‖ *α. ἀκ.] εἶναι add R: cf 104, 4; 114, 3* ‖ *κ. οὐκ] οὐδὲ RΩ κἂν add O* ‖ *καὶ] διὰ τί add Π* ‖ *ἐσπ.] κἂν add MN* ‖ [9] *ἐπὶ] ἐν OE om R* ‖ *τοῖς] μικροῖς add RΠMN* ‖ *παιδ.] τοῖς μικροῖς add O* ‖ *τοῖς alt] τούτοις τοῖς (Π) om Ω ἀκολουθήσασίν R ἀκολουθούντων OE κλαίουσιν C* ‖ *ὄπ. σ.] σοι R σὺν ἀνδράσιν καὶ γυναιξὶν add R* ‖ *καὶ om R* ‖ *τῶν om Θ* ‖ *δεομένοις Π(M)N* ‖ [10] *ἀνδρ.] σὺν τοῖς ἀνδράσιν ΠΣ σὺν γυναιξὶ καὶ ἀνδράσι O om R καὶ λεγόντων add E κραζόντων add O σου καὶ κλαιόντων καὶ βοώντων add R* ‖ *ὅτι] ὅ (?) P om RMN* ‖ *ποιῆσαι σὺν αὐτοῖς MN* ‖ *ὀλ. ἡμ. Σ: cf 114, 14* ‖ *ἡμέρ.] ἔτι add O: cf 114, 14* ‖ [11] *κλαθμὸς A (cf 99, 13) αὐτῶν add RO* ‖ *ε. τοὺς οὐρ. E ε. τὸν οὐρανὸν RO ἐν τοῖς οὐρανοῖς ΠMN (cf 67, 18) ὥστε ἀκοῦσαι τὸν κλαυθμὸν αὐτῶν ἐδάκρυσαν οἱ ὀφθαλμοί μου ἐνώπιον τοῦ πατρός μου διὰ τὴν μετάνοιαν αὐτῶν add R* ‖ *οὖν om PM* ‖ [12] *ἐν τῇ πόλει Π* ‖ *ποιήσῃς R: cf 10; 114, 13* ‖ *ἐκεῖ] αὐτοῖς O om E* ‖ [13] *ζ' P: cf 116, 10; 11* ‖ *ἕως οὗ] καὶ ἔσῃ R* ‖ *οὗ om PMN* ‖ *ἐπιστηρίξῃς (Σ) ἐπιστηρίζων R* ‖ [14] *τότε om A: del?* ‖ *ἐξ. - καὶ om C* ‖ *ἔξελθε RΣ* ‖ [14–116,1] *τῆς πόλ. - πόλιν om R* ‖ [14] *ταύτης om PΩ* ‖ [14–116,1] *ἐν τῇ πόλει ON ἐν τῇ χώρα ME*

πόλιν τῶν βαρβάρων σὺ καὶ οἱ μαθηταί σου. καὶ μετὰ τὸ εἰσελθεῖν σε ἐν τῇ πόλει ἐκείνῃ, καὶ κηρύξαι τὸ εὐαγγέλιόν μοι ἐν αὐτῇ, καὶ ἐξέλθῃς ἀπ᾿ αὐτῶν καὶ πάλιν εἰσέλθῃς εἰς τὴν πόλιν ταύτην, καὶ ἀνενέγκῃς τοὺς ἄνδρας τοὺς ἐν τῇ ἀβύσσῳ. Τότε Ἀνδρέας ἐπιστρέψας εἰσῆλθεν ἐν τῇ πόλει λέγων· Εὐλογήσω σε κύριέ μου Ἰησοῦ Χριστέ, ὁ σῶσαι θέλων πᾶσαν ψυχήν, ὅτι οὐκ ἔασάς με ἐξελθεῖν ἐκ τῆς πόλεως ταύτης σὺν τῷ θυμῷ μου. Καὶ εἰσελθόντος αὐτοῦ εἰς τὴν πόλιν ἰδόντες αὐτὸν ἐχάρησαν χαρὰν μεγάλην σφόδρα· καὶ ἐποίησεν ἐκεῖ ἡμέρας ἑπτὰ διδάσκων καὶ ἐπιστηρίζων αὐτοὺς ἐπὶ τὸν κύριον Ἰησοῦν Χριστόν. καὶ πληρωθέντων τῶν ἑπτὰ ἡμερῶν ἐγένετο ἐν τῷ ἐκπορεύεσθαι τὸν μακάριον Ἀνδρέαν, συνήχθησαν πάντες ἐπ᾿ αὐτὸν ἀπὸ παιδίου ἕως πρεσβυτέρου, καὶ προέπεμπαν αὐτὸν λέγοντες· Εἷς θεὸς Ἀνδρέου, εἷς κύριος Ἰησοῦς Χριστός, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας. ἀμήν.

[6] cf Tim 1, 2, 4

---

[1] *χώραν Π: cf 65, 7* ‖ [1–3] *σὺ - αὐτῇ om A* ‖ [1] *σὺ] καὶ σὺ MN* ‖ [1–2] *μ. τὸ ε.] μέλλων εἰσέρχεσθαι R* ‖ [2] *σε om ROMN* ‖ *ἐκ.] ταύτῃ C* ‖ *καὶ κηρ. - αὐτῇ om RΩ* ‖ [3–4] *ἐν αὐτῇ - π. ταύτην om C* ‖ [3] *καὶ om ROMN: del?* ‖ [3–4] *ἐξ. - ταύτην] ἐξέλθουσιν ἐπὶ σέ R* ‖ [3] *ἔξελθε MN* ‖ *αὐτῆς P* ‖ *καὶ om P* ‖ *πάλλην A* ‖ *εἴσελθε (M)N* ‖ [3–4] *ἐν τῇ πόλει ταύτῃ PΩ* ‖ [4] *καὶ ἀν. - ἀβ. om A* ‖ *ἀνενέγκω MN* ‖ *ἄ. τοὺς et τῇ om R* ‖ *ἀβ.] καὶ ποιήσεις ἅ σοι ἐντέλομαι add C* ‖ [5] *ἐπ. ἀνδ. ἦλθεν (Π) εἰσελθὼν ὁ ἀ. R* ‖ *ἐπιστρ. om RE* ‖ *εἰς τὴν πόλιν RPΣ* ‖ *τῇ om A* ‖ *εἶπεν R* ‖ *εὐλογῶ Π (cf 76, 7) εὐλογητὸς εἶ RE* ‖ [6] *σε om RE* ‖ *μου - ψ. om C* ‖ *μου om RΣ* ‖ *Χρ.] ὁ θεὸς ἡμῶν add N* ‖ *ψ.] ἀνθρωπίνην add E: cf 114, 8* ‖ [7] *εἴασας ΠΩ: cf 115, 8* ‖ *τῷ om R* ‖ [8] *σου E* ‖ *εἰσ. - ἰδόντες] ἐγένετο ὡς ἴδον R* ‖ *ἐν τῇ πόλει Ω (om C)* ‖ *πόλλην A* ‖ *αὐτὸν] οἱ ἐν τῇ πόλει add R οἱ τῆς πόλεως add P οἱ πολῖται add C (cf 112, 1) om AΩ* ‖ [9] *μεγάλλην A* ‖ *σφ. om R* ‖ *ποιήσας A* ‖ [10] *ζ´ AP* ‖ *διδ. αὐτ. κ. ἐπ. RO* ‖ *αὐτοῖς A om CM* ‖ [10–11] *ἐπὶ - Χρ.] ἐν τῇ πίστει C* ‖ *εἰς Σ* ‖ [10] *κύρ.] ἡμῶν add Σ* ‖ [10–11] *Ἰ. Χρ. om O* ‖ [11] *πληρωθησῶν R* ‖ *ζ P: cf 10; 115, 13* ‖ [11–12] *ἐγ. - Ἀ. om C* ‖ [11] *ἐν τῷ om RO* ‖ [12] *τ. μ. Ἀ.] αὐτὸν R καὶ add RO: cf 94, 14* ‖ *ἅγιον N om OME* ‖ *ἐπ᾿ α. π. (ΠΟ) ἐπ᾿ α. ἅπαν τὸ πλῆθος τῆς πόλεος R* ‖ *ἐπ᾿ α. om Σ* ‖ *ἅπαντες Σ* ‖ [13] *παιδίων RE νηπίου C καὶ add P* ‖ *πρεσβυτέρων RME πρεσβύτου ΠΟ probabiliter* ‖ *προέπεμπον RΠ προέπεμψαν M(N) προσέπεσον E προσέπιπτον O ἐν τῷ ἐκπορεύεσθαι add C* ‖ *αὐτῷ OE* ‖ *[λ]έγωντες(?) A* ‖ [14] *εἷς θ.] ὁ θ. ἡμῶν R ὁ add MN* ‖ *ἀνδρέα(?) R ὁ ἀ. θεὸς O καὶ add RΠΟ* ‖ *εἷς om R* ‖ [14–15] *ἰη[σοῦς....] εἰς A* ‖ [14] *Χρ.] ὁ ποιῶν θαυμάσια μόνος add C ὁ διασώσας ἀπὸ τῆς πλάνης καὶ ἐνεργείας τοῦ διαβόλου τοῦ πλήσσοντος καὶ διαστρέφοντος τὰς καρδίας τῶν πιστῶν νῦν δὲ διὰ τοῦ μακαρίου ἀνδρέου τοῦ ἐπιστρέψαντος ἡμᾶς ἐπὶ τὸν θεὸν τὸν παντοκράτορα καὶ τὸν κύριον ἡμῶν ἰησοῦν χριστὸν καὶ τὸ ἅγιον καὶ ζωοποιὸν αὐτοῦ πνεῦμα add R* ‖ [15] *κρ.] νῦν καὶ ἀεὶ καὶ add PE* ‖ *αἰ.] τῶν αἰώνων add ROM*

Πράξεις τῶν ἁγίων ἀποστόλων Πέτρου καὶ Ἀνδρέα. 161 T

1 Ἐγένετο ὡς ἐξῆλθεν ὁ ἀπόστολος τοῦ Χριστοῦ Ἀνδρέας ἔξω | τῆς πόλεως τῶν ἀνθρωποφάγων, καὶ ἰδοὺ νεφέλη φωτεινὴ 162 T ἥρπασεν αὐτὸν καὶ τοῦτον ἀπήνεγκεν ἐν τῷ ὄρει οὗ ἦν Πέτρος καὶ Ματθείας καὶ Ἀλέξανδρος καὶ Ῥοῦφος καθεζόμενοι. ὃ δὲ ἰδὼν αὐτούς, ἠσπάσαντο αὐτὸν μετὰ πολλῆς χαρᾶς. τότε λέγει αὐτῷ ὁ Πέτρος· Τί σοι γέγονεν ἀδελφὲ Ἀνδρέα; ἆρά γε ἔσπειρας τὸν λόγον τῆς ἀληθείας ἐν τῇ χώρᾳ τῶν ἀνθρωποφάγων ἢ οὔ; Λέγει αὐτῷ Ἀνδρέας· Ναὶ πάτερ Πέτρε, δι' εὐχῶν σου· ἀλλὰ πολλὰ κακά μοι ἐνέδειξαν οἱ ἄνδρες τῆς πόλεως ἐκείνης· ἔσυραν γάρ με ἐν τῇ πλατείᾳ ἡμέρας τρεῖς, ὥστε τὸ αἷμά μου μολῦναι τὴν πλατεῖαν ὅλην. Λέγει αὐτῷ ὁ Πέτρος· Ἀνδρίζου ἐν κυρίῳ ἀδελφὲ Ἀνδρέα, καὶ δεῦρο ἀνάπαυσαι ἐκ τοῦ κόπου σου· ὁ γὰρ γεωργὸς ὁ καλὸς ἐὰν πονικῶς γεωργήσῃ τὴν γῆν, καὶ καρπὸν φέρῃ, καὶ εὐθέως πᾶς ὁ κόπος αὐτοῦ εἰς χαρὰν γενήσεται· εἰ δὲ κοπιάσει, καὶ οὐ καρποφορήσει ἡ χώρα αὐτοῦ, διπλοῦν ἔχει τὸν κόπον, ὅτι ἄκαρπον ἔχει τὸν σπόρον.

2 Ταῦτα δὲ αὐτοῦ λέγοντος ἐφάνη αὐτοῖς ὁ κύριος Ἰησοῦς Χριστὸς ἐν μορφῇ παιδίου καὶ λέγει αὐτοῖς· Χαῖρε Πέτρε ἐπίσκοπε ὅλης τῆς ἐκκλησίας μου· χαῖρε Ἀνδρέα ὁ καλὸς ἀγωνιστής μου· χαίρετε οἱ συγκληρονόμοι μου· ἀνδρίζεσθε καὶ ἀγω-

---

B cod Baroccianus (Bodlei Oxon) 180 s XII
V cod Vaticanus gr 1192 s XV
aeth liber in aethiopicum conuersus ed Malan
slauon liber in slauonicum conuersus ed Bonwetsch

BV [2] ὅς *B* ἐν τῷ *V* ‖ ἐξελθεῖν *V* ‖ [3] καὶ *om V* ‖ [4] ἀπένεγκεν *B* ‖ εἰς τὸ ὄρος ὃ *V: cf 118, 24* ‖ [4–5] πέτρος κ. ἀλ. ματθίας κ. ρ. *V: cf 118, 9* ‖ [5] καὶ Ῥ. *om B* ‖ καθεζ. *om V* ‖ [5–6] ὡς δὲ εἶδον αὐτὸν *V* ‖ [7] γε *om V: cf 118,12* ‖ [8] πόλει *V: cf 10; 118, 4; 10; 13* ‖ [10] ἄνθρωποι *V* ‖ ἔσυρον *B* ‖ [11] γὰρ] δέ *V* ‖ *post* πλατείᾳ *repet e uersu 10* οἱ ἄνδρες τῆς πόλεως ἐκείνης *B* ‖ ἐμόλυνε *V* ‖ [13] ἀνάλαβε *V* ‖ ἐκ *om V* ‖ [14] ἐὰν *om V* ‖ πονικὸς *B* πεπονικὸς *V* ‖ [14–15] κ. κ. φ. κ. ε.] κ. ε. καρποφορεῖ κ. *V* ‖ [15] *del* καὶ?? ‖ γεν.] ἔρχετε καὶ γεν. *V* ‖ [17] ὅτι - σπόρον *om B: del?* ‖ [18] αὐτῶν λεγόντων *V* ‖ [19] ⟨καλοῦ⟩ παιδίου? *cf aeth* ‖ [20] πάσης *V* ‖ χαίροις *V* ‖ [20–21] ὁ καλ. - χαίρ. *om B*

νίζεσθε ὑπὲρ τῆς ἀνθρωπότητος. ἀμὴν γὰρ λέγω ὑμῖν, κόπους ὑπομένετε καὶ θλίψεις πολλὰς ἐν τῷ κόσμῳ τούτῳ ὑπὲρ τῆς ἀνθρωπότητος· ἐν μιᾷ ὥρᾳ ἀνέσεως ἐν τῇ βασιλείᾳ τοῦ πατρός μου. ἀναστάντες οὖν πορεύεσθε ἐν τῇ πόλει τῶν βαρβάρων καὶ κηρύξατε ἐν αὐτῇ· κἀγὼ ἔσομαι μεθ' ὑμῶν ἐν τοῖς θαυμασίοις τοῖς γινομένοις ἐν αὐτῇ διὰ τῶν χειρῶν ὑμῶν. Ἀσπασάμενος δὲ αὐτοὺς ὁ κύριος Ἰησοῦς ἀνῆλθεν εἰς τοὺς οὐρανοὺς ἐν δόξῃ.

3 Πέτρος δὲ καὶ Ἀνδρέας καὶ Ἀλέξανδρος καὶ Ῥοῦφος καὶ Ματθείας ἐπορεύθησαν εἰς τὴν πόλιν τῶν βαρβάρων. ἐγγισάντων δὲ αὐτῶν τῇ πόλει ἀποκριθεὶς δὲ ὁ Ἀνδρέας εἶπεν τῷ
163 T Πέτρῳ· Πάτερ Πέτρε, ἆρά γε ἔχομεν πάλιν κό|πους ὑπομεῖναι ἐν τῇ πόλει ταύτῃ ὡς καὶ ἐν τῇ χώρᾳ τῶν ἀνθρωποφάγων; Λέγει αὐτῷ ὁ Πέτρος· Οὐκ οἶδα· ἀλλ' ἰδού, ἔστιν γέρων ἔμπροσθεν ἡμῶν σπείρων ἐν τῷ ἀγρῷ αὐτοῦ· ἐὰν φθάσωμεν ἕως αὐτοῦ καὶ ἐρῶμεν αὐτῷ· Δὸς ἡμῖν ἄρτον· καὶ ἐὰν δώῃ ἡμῖν, γνῶμεν ὅτι οὐ κοπιῶμεν ἐν τῇ πόλει ταύτῃ. εἰ δὲ ἡμῖν εἴπῃ ὅτι Ἄρτον οὐκ ἔχω, πάλιν γνῶμεν ὅτι πάλιν κόπος ἡμᾶς μένει. Ὡς δὲ ἤγγισαν τῷ γέροντι, λέγει αὐτῷ ὁ Πέτρος· Χαῖρε γεωργέ. Ὁ δὲ γεωργὸς λέγει αὐτοῖς· Χαίρετε καὶ ὑμεῖς ἔμποροι. Λέγει αὐτῷ ὁ Πέτρος· Ἔστιν σοι ἄρτος ἵνα παρέχῃς τῶν παιδίων τούτων, ἐπειδὴ ὑστερήθημεν; Λέγει αὐτοῖς ὁ γέρων· Ὑπομείνατε ὀλίγον καὶ προσέχετε τῶν βοῶν καὶ τοῦ ἀρότρου καὶ τοῦ ἀγροῦ, ἵνα πορευθῶ ἐν τῇ πόλει καὶ παρέχω ὑμῖν ἄρτους. Λέγει αὐτῷ ὁ Πέτρος· Ἐὰν ξενοδοχήσῃς ἡμᾶς, ἡμεῖς ἐπιτηροῦμεν τὸ ζεῦγος καὶ τὸν ἀγρόν. Λέγει ὁ γέρων· Ναί. Λέγει αὐτῷ ὁ Πέτρος·

---

[2] ὑπομενεῖτε *V* ‖ κ. θλ. π. *om B* ‖ [3] ἐν - ἀνέσ. *om V* ‖ ἐν μιᾷ] ἀλλὰ θαρσεῖτε· ἐγὼ ἀναπαύσω ὑμᾶς ἐν μιᾷ *Woog haud male, nisi forte post* ὥρᾳ *demum lacuna statuenda est* ‖ βασ.] δὲ *add V* ‖ [4] μου] ἀναπαυθήσεσθαι εἰς τοὺς αἰῶνας *add V* ‖ πορ. *om V* ‖ [4–5] κηρ. ἐν τ. π. τ. β. (*om* καὶ *et* ἐν α.) *V* ‖ [5] θαύμασιν *B: cf 126, 19* ‖ [7] ὁ κ. Ἰ. *om V* dominus noster *aeth* ‖ [10] ματθίας *V* ‖ χώραν *V: cf 115, 8* ‖ [11] τῇ] ἐν τῇ *V* ‖ πόλει ⟨.....⟩? ‖ δὲ *alt del Thilo* ‖ λέγει *V* ‖ [12] ἆρά γε *om V* ‖ κόπ. ὑπ. πάλ. *V* ‖ [13] χ.] πόλει *V: cf 115, 8* ‖ [14] ὁ *om B: cf 19; 20; 24; 26; 123, 10 al* ‖ [14–15] ἔμπ. ἡμ. γέρ. ἄνθρωπος *V* ‖ [15] σπέρον *V: scr* σπέρων? *cf 121, 2; 5* ‖ ἐὰν - αὐτοῦ *om V* ‖ [15–16] *scr* φθάσομεν... ἐροῦμεν?? ‖ [15] καὶ *om B* ‖ [16] ἄρτους *V* ‖ [17] εἴπῃ ἡμ. *V* ‖ οὐκ ἔχω ἄρτον *V* ‖ ἔχωμεν *B* ‖ [18] πάλιν *prius del?* ‖ πάλιν *alt om V: cf 12* ‖ κόπους ἡμῖν παρέχει *V* ‖ ἡμῖν *Woog* ‖ [19] ὁ *om B: cf 14* ‖ [19–20] χαῖρε - Πέτρος *om V* ‖ [21] τοῖς παιδίοις τούτοις *Woog (cf 24; 119, 10): sed cf 23; 120, 13; 14; 121, 4* ‖ [22] ὑστεροῦνται *V* ‖ γεωργὸς *V: cf 26* ‖ μικρὸν *V: cf 121, 10* ‖ [23] τὸ ἄρωτρον *V* ‖ [23–24] ἀπέλθω εἰς τὴν πόλιν *V: cf 117, 4* ‖ [24] ὁ *om B* ‖ [26]–119,[1] λέγει ὁ γ. - εἶτα *om V*

Εἶτα οἱ βόες σοί εἰσιν; Λέγει ὁ γέρων· Οὐχί· μεμίσθωμαι γὰρ αὐτούς. Λέγει αὐτῷ ὁ Πέτρος· Πορεύου ἐν τῇ πόλει. Καὶ ἐπορεύθη ὁ γέρων ἐν τῇ πόλει.

4 Καὶ ἀναστὰς ὁ Πέτρος διεζώσατο τὸν ἑαυτοῦ ἐπενδύτην καὶ τὸ λέντιον καὶ λέγει πρὸς τὸν Ἀνδρέαν ὅτι Οὐκ ἔστιν ἡμῖν πρέπον ἀναπαύεσθαι καὶ ἀργεῖν, μάλιστα δὲ ὑπὲρ ἡμῶν κοπιοῦντος τοῦ γέροντος, ἀφεὶς τὸ ἔργον αὐτοῦ. Τότε ὁ Πέτρος ἀψάμενος τοῦ ἀρότρου ἔσπειρεν τὸν σῖτον. Ἀνδρέας δὲ ἦν ὄπισθεν τῶν βοῶν καὶ λέγει τῷ Πέτρῳ· Πάτερ Πέτρε τί κόπους παρέχεις ἡμῖν; σὺ γὰρ εἶ πατὴρ καὶ ποιμὴν πάντων· καὶ σὺ κοπιᾷς ἡμῶν ὄντων; Τότε λαβὼν ὁ Ἀνδρέας τὸ ἄροτρον ἐκ τοῦ Πέτρου ἔσπειρεν τὸν σῖτον καὶ εὐλογήσας εἶπεν· Ὁ σπόρος ὁ εἰς τὴν γῆν ρημένος ἐν τῷ ἀγρῷ τῶν δικαίων ἔρχου. Ὁ δὲ Ῥοῦφος καὶ Ἀλέξανδρος καὶ Ματθείας ἦσαν ἐκ δεξιῶν τῶν βοῶν, εἶπαν δὲ καὶ αὐτοί· Ἡ δρόσος ἡ γλυκυτάτη καὶ ὁ ἄνεμος ὁ καλὸς ἐρχέσθωσαν καὶ ἀναπαυέσθωσαν ἐν τῷ ἀγρῷ τούτῳ. Παραχρῆμα δὲ πᾶς ὁ ἀγρὸς ἐβλάστησεν, καὶ ἐγένετο ὁ στάχυς πλήρης σίτου.

5 Ἐλθὼν δὲ ὁ γεωργὸς μετὰ τῶν ἄρτων καὶ ἀναβλέψας εἶδε πάντα τὸν ἀγρὸν πλήρης στάχυας· ἔθηκε δὲ τοὺς ἄρτους ἐν τῇ γῇ παρὰ τοὺς πόδας τῶν ἀποστόλων … προσεκύνησεν αὐτοὺς λέγων· Δεσπόται μου, ἄρα θεοί ἐστε; ὡς θεοὺς γὰρ ὑμᾶς θεωρῶ. Λέγει αὐτῷ ὁ Πέτρος· Ἀνάστα ἄνθρωπε· οὐ γάρ ἐσμεν θεοί, ἀλλὰ ἀπόστολοί ἐσμεν τοῦ ἀγαθοῦ θεοῦ· ἐξελέξατο ἡμᾶς, καί ἐσμεν δώδεκα· καὶ παρέδωκεν ἡμᾶς ἀγαθὰς διδασκαλίας ἵνα

---

[1] *σοί*] *σὺ V ὑμῶν B (omisso σ interpol ex υ?)* tui *aeth* ‖ *λέγει*] *αὐτῷ add V: cf 2; 118, 26* ‖ *γὰρ om B: cf 124, 18* ‖ [2] *αὐτούς*] tum ait Petrus estne hic ager tuus ita inquit senex meus est *add aeth* ‖ [2–3] *λέγει - γέρων*] *ἀναστὰς δὲ ὁ γέρων εἰσῆλθεν V* ‖ [4] *καὶ ἀν. ὁ*] *ὁ δὲ V* ‖ *ἑαυτοῦ om V: cf 123, 11* ‖ [5] *π. τ. Ἀ.*] *πέτρος τῷ ἀνδρέα V* ‖ [5–6] *πρέπ. ἡμ. V* ‖ [6–7] *κοπ. τ. γέρ. ὑπ. ἡμ. ἀφήσας V* ‖ [7] *ἀφέντος Woog* ‖ [8] *επήρεν B* ‖ *ἦν*] *οὖν V* ‖ [9] *βοῶν*] *ἐξήρχετο add V* ‖ [10] *⟨αὐτὸς ὑποδύῃ καὶ οὐ⟩ παρ. ἡμῖν; ? an scr σεαυτῷ παρέχεις; (sic fere aeth et slauon)?* ‖ *ἡμῖν om V* ‖ *σὺ - πάντων om B* ‖ [11] *ἡμ. ὄ.*] *ἀργῶν add Lipsius I p 554: scr ἡμ. ἑστώτων?* me adstante *aeth om slauon* ‖ *ὁ om V* ‖ [11–12] *ἐκ τ. Π. om V* coepit arare Petrus autem cepit corbes plenas frumenti *add aeth* ‖ [12] *ἔσπερεν B: cf 118, 15* ‖ *κ. εὐλ. εἶπεν*] *λέγων B* ‖ [12–13] *εἰς - ρημ.*] *ἐν τῷ ἀγρῷ τούτῳ σπαρμένος ἀναπαύου V* ‖ [13] *ἐρριμμένος Tischendorf recte ut uid* ‖ *τῶν δ. ἔ.*] *τοῦτο (i e τούτῳ) V* ‖ [13]–122,[22] *ὁ δὲ - σκότους om B*

V [14] *ματθίας V* Matthaeus *slauon* ‖ [15] *ἐρχ.*] et nubes pluant et ueniant *add slauon* ‖ [20] *scr πλήρη στάχυος??* ‖ [21] *ἀποστόλων ⟨καὶ⟩ (aliquid abscis uidetur V)? sic slauon* ‖ [22] *ἄρα et q s*] *paulo plura habet aeth* ‖ [25] *scr ἡμῖν?* ‖ *ἵνα*] *scr ὅπως?? cf 122, 21; 22; 125, 20; 21*

ταύτας διδάξωμεν τοὺς ἀνθρώπους, ὅπως ῥυσθέντες ἀπὸ τοῦ θανάτου ζωὴν αἰώνιον κληρονομήσουσιν. Σταθεὶς δὲ πρὸς αὐτὸν ὁ Πέτρος λέγει· Ἀγαπήσας κύριον τὸν θεόν σου ἐξ ὅλης τῆς ψυχῆς καὶ ἐξ ὅλης τῆς καρδίας σου· μὴ μοιχεύσῃς· μὴ κλέψῃς· μὴ ψευδομαρτυρήσῃς· παίδευσόν σου τὰ τέκνα ἐν φόβῳ θεοῦ· καὶ ζήσεις καλὴν ζωὴν καὶ ἔρχῃ εἰς τὴν δόξαν αὐτοῦ. Ἀποκριθεὶς ὁ ἄνθρωπος εἶπεν αὐτόν· Ἐὰν φυλάξω αὐτά, δύναμαι ποιῆσαι κἀγὼ ἓν θαῦμα ὡς καὶ ὑμεῖς ἐποιήσατε τὸν ἀγρόν μου εὐθέως βλαστῆσαι; Ἀποκριθεὶς δὲ ὁ Πέτρος εἶπεν· Ἀμήν σοι λέγω, ἐὰν ποιήσῃς ταῦτα πάντα, ποιήσεις ὃ βούλει. Ἀπεκρίθη ὁ γέρων· Πάτερ, ἀφελῶ ταῦτα πάντα καὶ ἀκολουθήσω ὑμῖν ὅπου ἐὰν ἀπέρχεσθε. Λέγει αὐτῷ ὁ Πέτρος· Οὐχ οὕτως ἔσται· ἀλλὰ πορεύου καὶ δὸς τοὺς βόας τοῦ κυρίου αὐτῶν, καὶ ἀνάγγειλον τῇ γυναικί σου καὶ τῶν τέκνων σου· οὐ γὰρ οἴδασιν φθάσειν αὐτοὺς ἡ χάρις τοῦ θεοῦ. καὶ εὐπρέπησόν σου τὸν οἶκον ὅπως ἐλθόντες ἐκεῖ διαμείνωμεν· δεῖ γὰρ ἡμᾶς ἐν τῇ πόλει ταύτῃ μεῖναι, ἐπειδὴ ὁ δεσπότης ἡμῶν Χριστὸς ἐκάλεσεν ἡμᾶς ἐν αὐτῇ.

6 Τότε ὁ ἄνθρωπος παραλαβὼν δεσμίδιν ἐκ τοῦ σίτου τοῦ ἀγροῦ ἐκρέμασεν αὐτὸ ἐν ῥάβδῳ ὄπισθεν αὐτοῦ· καὶ λαβὼν τὸ ἄροτρον καὶ τοὺς βόας ἐπορεύθη εἰς τὴν πόλιν. εἰσερχομένου δὲ αὐτοῦ θεωροῦσίν τινες αὐτὸν ἐκ τῶν ἐκεῖσε καὶ λέγουσι τῷ γέροντι· Πόθεν εὗρες τὸ δεσμίδιν τῶν σταχύων; καιρὸς γάρ ἐστι σπόρου. Αὐτὸς δὲ μᾶλλον σπουδαιότερον κατεδίωκεν πρὸς τὴν οἰκίαν αὐτοῦ, εὐφραινόμενος σφόδρα πρὸς τὸ εὐτρεπίσαι τὸν οἶκον αὐτοῦ τοῖς ἀποστόλοις.

7 Καὶ ἀκούσαντες οἱ πρῶτοι τῆς πόλεως τὰ γενόμενα καὶ ἀποστείλαντες ἐκάλεσαν τὸν γέροντα καὶ ἐπυνθάνοντο· Ποῦ εὗρες τοὺς στάχυας μὴ ὄντος καιρὸς θέρους; Αὐτὸς δὲ οὐκ ἀπεκρίνατο αὐτούς. λέγουσιν αὐτῷ πάλιν· Εἰπὲ ἡμῖν τὴν ἀλήθειαν· εἰ δὲ μή γε, κακῶς ἀποθνήσκεις. Αὐτὸς δὲ ἀποκρίνατο λέγων· Οὐ μέλει μοι περὶ τοῦ θανάτου ὑμῶν. ἐγὼ γὰρ εὗρον

[3] cf Matth 22, 37; deut 6, 5; exod 20, 13; 14; 16; deut 4, 9; 10?

---

[2] *post δὲ senis interrogatio intercidisse uidetur* ‖ [3] *scr Ἀγαπήσεις?* ‖ [4] *ψυχῆς ⟨σου⟩?* ‖ [7] *⟨δὲ⟩ ὁ? cf 9 al* ‖ *scr αὐτῷ? cf 121, 4; 31; 120, 30; 121, 31; 126, 28* ‖ [8] *ἡμεῖς V* ‖ [11] *scr ἀφήσω uel ἀφῶ?* relinquam *aeth slauon* ‖ *ἡμῖν V* ‖ [12] *scr ἀπέρχησθε? cf 121, 8; 30* ‖ [13] *scr τῷ κυρίῳ?? cf 118, 21* ‖ [14] *scr τοῖς τέκνοις?? cf 118, 21* ‖ *οὐ γ. οἴδ.]* quae uidisti et *slauon* ‖ *scr ⟨ὅτι⟩ uel ⟨καὶ⟩ φθάσει?* ‖ [15] *scr τὴν χάριν??* ‖ *scr εὐτρέπισον: cf 25; 121, 10* ‖ [20] *ῥάνδῳ V* ‖ [23] *scr Ποῦ?? cf 28* ‖ [29] *scr καιροῦ?* ‖ [30] *αὐτούς] cf 7* ‖ [31] *scr ἀπεκρίνατο?*

τὴν αἰώνιον ζωήν· ἐὰν θέλητε τὴν ἀλήθειαν μαθεῖν, ἄνθρωποι παρεγένοντο πρός με ἐν τῷ ἀγρῷ μου· κἀγὼ ἔσπερον· καὶ ἠρώτησάν με λέγοντες· Ἔχεις ἄρτους ἵνα δώῃς ἡμῖν; Ἐγὼ δὲ εἶπον αὐτοῖς· Μείνατε παρὰ τῶν βοῶν, κἀγὼ ἀπέρχομαι εἰς τὴν πόλιν καὶ φέρω ὑμῖν ἄρτους· Στραφεὶς δὲ εὗρον αὐτοὺς σπέροντας ἐν τῷ ἀγρῷ, καὶ ἐξελθόντες στάχυες· ἰδὼν δὲ ἐγὼ τὸ παράδοξον θαῦμα παρεβιασάμην αὐτοὺς ἵνα εἰσελθόντες εἰς τὴν πόλιν ἀναπαύσονται ἐν τῇ οἰκίᾳ μου. καὶ ἐὰν βούλεσθε ἰδεῖν αὐτούς, πορεύεσθε πρὸς αὐτοὺς ἐν εἰρήνῃ· εἰ δὲ μή γε, μείνατε ὀλίγον εὐτρεπίσαι τὸν οἶκόν μου, ἵνα εἰσέλθωσιν καὶ θεωρῆτε αὐτούς. Ταῦτα δὲ αὐτοῦ εἰπόντος ἀνεχώρησεν ἀπ' αὐτούς.

8 Ὁ δὲ μισόκαλος διάβολος εἰσελθὼν εἰς τὰς καρδίας αὐτῶν τῶν πρώτων τῆς πόλεως, καὶ συναχθέντες ἔλεγον πρὸς ἀλλήλους· Οὐαὶ ἡμῖν, οἱ ἄνθρωποι οὗτοι ἐκ τῶν δώδεκα Γαλιλαίων εἰσὶν τῶν μαγευόντων τοὺς ἀνθρώπους· οὗτοι γάρ εἰσιν οἱ ἀφορίζοντες τοὺς ἀνθρώπους ἐκ τῶν γυναικῶν καὶ τὰς γυναῖκας ἀπὸ τῶν ἀνδρῶν αὐτῶν. τί οὖν ποιήσωμεν; οὐ θέλομεν γὰρ εἰσελθεῖν εἰς τὴν πόλιν ἡμῶν, μήποτε ἀφορίσωσιν ἡμᾶς ἐκ τῶν γυναικῶν ἡμῶν. Τινὲς δὲ ἐξ αὐτῶν ἔλεγον· Οἱ πέντε ἄνδρες εἰσίν· ἐξελθόντες φονεύσωμεν αὐτούς. Ἕτεροι δὲ εἶπον· Οὐ δυνάμεθα φονεῦσαι αὐτούς· ἠκούσαμεν γὰρ ὅτι τινὰ διδάσκαλον ἔχουσιν λεγόμενον Ἰησοῦν, καὶ εἴ τι ἂν αἰτήσωνται, εὐθέως ὑπακούει αὐτῶν. καὶ μή πως αἰτήσωνται κατακλυσμόν, ὑπακούσῃ αὐτῶν· ἐὰν δὲ καὶ πῦρ αἰτήσωνται, ποιήσει οὕτως. λοιπὸν οὖν οὐ δυνάμεθα πρὸς αὐτούς τι ποιῆσαι, μή πως καὶ πῦρ αἰτήσωνται, καὶ ποιῆσαι, καὶ καύσωσιν ἡμᾶς καὶ τὴν πόλιν ἡμῶν. Ἔκλαιον δὲ ὀδυρόμενοι καὶ ἔλεγον· Ἄλλο τι ἔχομεν ποιῆσαι;

9 Εἷς δὲ ἐξ αὐτῶν πλησθεὶς ὀργῆς καὶ θυμοῦ λέγει πρὸς αὐτούς· Ἐὰν ἀκούσετέ μου, οὐκ ἀφήσω αὐτοὺς εἰσελθεῖν ἐνταῦθα. Λέγουσιν αὐτῷ· Τί ἔχεις ποιῆσαι; Λέγει αὐτούς· Θεωρεῖτε τοὺς ἀνθρώπους τούτους ὅτι μισοῦσιν τὸ γένος τῶν γυναικῶν, μᾶλλον δὲ τὰς πόρνας· νῦν οὖν ἀκούσατέ μου, καὶ

[22] cf Matth 21, 22

---

[2] *scr ἔσπειρον? cf 5; 118, 15* ‖ [4] *τῶν βοῶν] cf 118, 21* ‖ [5] *σπέρ.] cf 2* ‖ [6] *στάχυες ⟨.....⟩?* ‖ [8] *βούλ.] cf 1; 120, 12; 30* ‖ [10] *εὐτρεπίσαι ⟨με⟩? an scr εὐτρεπίσω?* ‖ [11] *scr ἀπ' αὐτῶν? cf 120, 7* ‖ [13] *del τῶν πρ. τ. πόλ.? om aeth* ‖ [14] *οἱ repet V* ‖ [16] *ἀνθρ.] scr ἄνδρας?* ‖ [16] *et* [18] *ἐκ] scr ἀπὸ?* ‖ [18] *εἰσελθεῖν ⟨αὐτοὺς⟩?* ‖ [19] *οἱ π.] scr ὅτι π.??* quinque tantum *slauon* ‖ [23] *⟨καὶ⟩ ὑπακούσῃ? cf 26* ‖ [25] *καὶ] scr κἂν?* ‖ [26] *scr ποιήσῃ? an del καὶ ποιῆσαι?* ‖ [30] *scr ἀκούσητέ? cf 8* ‖ [31] *αὐτούς] cf 120, 7* ‖ [33] *μᾶλλον - πόρνας om slauon: del?*

εὕρωμεν γυναῖκαν πόρνην εὔμορφον, καὶ ταύτην παραθήσομεν εἰς τὴν πύλην τῆς πόλεως γυμνήν, τῷ σχήματι κεκοσμημένην· καὶ βλέψαντες αὐτὴν φύγωσιν τοῦ μὴ εἰσελθεῖν εἰς τὴν πόλιν ταύτην. Καὶ εὐθέως ἤνεγκαν τῇ πύλῃ τῆς πόλεως γυμνήν.

10 Οἱ δὲ ἀπόστολοι τοῦ Χριστοῦ μαθόντες διὰ τοῦ πνεύματος τὴν ἐνέδραν αὐτῶν, λέγει Ἀνδρέας τῷ Πέτρῳ· Θεωρεῖς πάτερ τὴν ἀναισχυντίαν τῆς γυναικὸς ταύτης, πῶς εἰσῆλθεν ὁ Σατανᾶς εἰς αὐτήν, ἵνα πειράσῃ ἡμᾶς; κέλευσον ἡμῖν, ἵνα παιδεύσω αὐτήν. Λέγει αὐτῷ Πέτρος· Ἔχεις ἐξουσίαν κατ᾽ αὐτῆς· ποίησον ὃ βούλει. Τότε Ἀνδρέας προσηύξατο λέγων· Κύριε Ἰησοῦ Χριστέ, κατάπεμψον Μιχαὴλ τὸν ἀρχάγγελόν σου, ὅπως κρεμάσῃ τὴν γυναῖκαν ταύτην ἐκ τῶν τριχῶν αὐτῆς ἐν τῷ ἀέρι μέσον οὐρανοῦ καὶ γῆς, ἕως οὗ διαβῶμεν καὶ εἰσέλθωμεν ἐν τῇ πόλει καὶ κηρύξωμεν ἐν αὐτῇ σέ· ἐρχομένων δὲ ἡμῶν τότε καταβήσεται ἐκ τοῦ ἀέρος.

11 Παραχρῆμα δὲ ὁ ἄγγελος ἐκρέμασεν αὐτὴν ἐν τῷ ἀέρι· καὶ πᾶν τὸ πλῆθος τῆς πόλεως ἐθεώρουν αὐτήν. τότε ἡ γυνὴ ἔκραξε φωνὴν μεγάλην λέγουσα· Μὴ ἀνάπαυσιν ἴδωσιν οἱ ἄρχοντες τῆς πόλεως ταύτης, ὅτι ἤνεγκάν με εἰς τὴν τιμωρίαν ταύτην, ἐπειδὴ οὐκ εἴασάν με ἰδεῖν τοὺς ἀποστόλους τοῦ Χριστοῦ εἰσερχομένους ἐν τῇ πόλει, ὅπως κἀμὲ ἐλευθερώσουσιν ἐκ τῶν πολλῶν μου ἁμαρτιῶν, ὅπως φύγω ἐκ τοῦ σκότους καὶ 164 T ἔλθω εἰς τὸ φῶς. ἐξέλθατε τοίνυν οἱ | νεανίσκοι τῆς πόλεως οὓς εὗρον ἐγὼ ἐν τῷ βυθῷ τῆς ἀπωλείας ἕως σήμερον· ἰδοὺ γὰρ οἱ ἀπόστολοι τοῦ Χριστοῦ εἰσέρχονται ἐν τῇ πόλει συγχωρῶντες τὰς ἁμαρτίας τῶν πιστευόντων εἰς αὐτοὺς καὶ θεραπεύοντες πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν. εὔξασθε ὑπὲρ ἐμοῦ, ὅπως ἐλεήσῃ με καὶ ῥυσθῶ ἐκ τῆς ἀνάγκης ταύτης.

12 Πολλοὶ δὲ ἐκ τοῦ ὄχλου ἐπίστευσαν τῷ Χριστῷ διὰ τὸν λόγον τῆς γυναικός, καὶ πεσόντες παρὰ τοὺς πόδας τῶν ἀποστόλων προσεκύνουν αὐτούς. αὐτοὶ δὲ ἐτίθουν τὰς χεῖρας ἐπ᾽ αὐτούς· τοὺς δὲ ἀσθενοῦντας ἐν τῇ πόλει ἰάσαντο, τυφλοῖς

26 cf Matth 4, 23

---

1 *scr γυναῖκα?: cf 12* ‖ 4 *ταύτην*] ac mox reppererunt scortum et nudauerunt et auro margaritisque ornauerunt ut iussi erant *add slauon: similia aeth* ‖ 5 *Χρ.*] uenerunt ad portam et uiderunt mulierem nudam *add aeth slauon* ‖ 12 *scr γυναῖκα?: cf 1* ‖ 14 *scr ἐξερχομένων? (aeth slauon)* 18 *εἴδωσιν V* ‖ 21—28 *ὅπως et q s] haud pauca aliter aeth slauon*

BV 23 *τοίνυν*] *οὖν V* ‖ 24 *ἐγὼ om B* ‖ 25 *συγχωρόντες B: scr συγχωροῦντες?* ‖ 26 *τὰς om B* ‖ *scr αὐτὸν?* ‖ 28 *ἐλεήσωσίν V* ‖ 31 *προσεκύνησαν* ‖ 31—32 *αὐτοὶ - αὐτούς om V*

τὸ βλέπειν ἐχαρίσαντο, κωφοῖς τὸ ἀκούειν, δαίμονας ἀπήλαυνον· καὶ πᾶς ὁ ὄχλος ἐδόξαζον τὸν πατέρα καὶ υἱὸν καὶ τὸ ἅγιον πνεῦμα.

13 Ἦν δέ τις πλούσιος ἐν τῇ πόλει ὀνόματι Ὀνησίφορος· οὗτος οὖν θεωρήσας τὰ σημεῖα τὰ γινόμενα διὰ τῶν ἀποστόλων λέγει αὐτοῖς· Ἐὰν πιστεύσω εἰς τὸν θεὸν ὑμῶν, δύναμαι ποιῆσαι κἀγὼ σημεῖον ὡς καὶ ὑμεῖς; Λέγει αὐτῷ Ἀνδρέας· Ἐὰν ἀποτάξῃ πάντων τῶν ὑπαρχόντων σου καὶ τῆς γυναικός σου καὶ τῶν τέκνων σου ὡς καὶ ἡμεῖς ἀπεταξάμεθα, τότε καὶ σὺ ποιήσεις σημεῖα. Ταῦτα ἀκούσας ὁ Ὀνησίφορος καὶ θυμοῦ πλησθείς, λαβὼν τὸ ἑαυτοῦ λέντιον ἔβαλεν εἰς τὸν τράχηλον τοῦ Ἀνδρέου, καὶ τύπτων αὐτὸν ἔλεγεν αὐτῷ· Μάγος εἶ· τὴν γυναῖκά μου καὶ τὰ τέκνα μου καὶ τὰ ἀγαθά μου πῶς σὺ ἀναγκάζεις με καταλιπεῖν;

14 Τότε ὁ Πέτρος στραφεὶς καὶ ἰδὼν αὐτὸν τύπτοντα τὸν Ἀνδρέα λέγει αὐτῷ· Ἄνθρωπε παῦσαι λοιπὸν τύπτων τὸν Ἀνδρέα. Λέγει αὐτῷ Ὀνησίφορος· Θεωρῶ σε ὅτι φρονιμώτερος αὐτοῦ εἶ· εἰπέ μοι οὖν καὶ σὺ ἵνα καταλείψω τὴν γυναῖκά μου καὶ τὰ τέκνα μου καὶ τὰ ἀγαθά μου· ἢ τί σὺ λέγεις; Λέγει αὐτῷ ὁ Πέτρος· Ἐγὼ ἕν σοι ῥῆμα λέγω· εὐκοπώτερόν ἐστιν κάμηλον διὰ τρυμαλιᾶς ῥαφίδος εἰσελθεῖν ἢ πλούσιον εἰς τὴν βασιλείαν τοῦ θεοῦ εἰσελθεῖν. Ταῦτα ἀκούσας ὁ Ὀνησίφορος καὶ ἐπὶ πλεῖον πλησθεὶς | ὀργῆς καὶ θυμοῦ, λαβὼν τὸ λέντιον 165 T
ἐκ τοῦ τραχήλου τοῦ Ἀνδρέου ἔβαλεν εἰς τὸν τράχηλον τοῦ Πέτρου, καὶ οὕτως ἔσυρεν λέγων· Ὄντως μέγας μάγος εἶ πλεῖον τούτου· οὐ γὰρ εἰσέρχεται κάμηλος διὰ τρυπήματος ῥαφίδος· εἰ δὲ καὶ δείξεις μοι τοῦτο τὸ θαῦμα, πιστεύω εἰς τὸν θεόν σου· οὐ μόνον δὲ ἐγώ, ἀλλὰ καὶ πᾶσα ἡ πόλις· εἰ δὲ μή γε, μεγάλως τιμωρηθῇς ἐν μέσῳ τῆς πόλεως.

[20] cf Luc 18, 25

---

[1] *ἀπέλαυνον V* ‖ [2] *καὶ om B* ‖ *τὸν om V: del??* ‖ *καὶ om V* ‖ *scr ⟨τὸν⟩ υἱὸν?? cf 127, 5* ‖ *τὸ om V: del??* ‖ [5] *τὰ σημ. om V: cf 118, 5* ‖ [7] *κ. σ. π. V: cf 120, 7* ‖ [8] *ἀποτάξεις V* ‖ *πάντα τὰ ὑπάρχοντά V* ‖ *τὴν γυναῖκαν V* ‖ [9] *τὰ τέκνα V* ‖ *ἀποταξώμεθα V* ‖ [10] *ἀκ.] δὲ ἀκ. V: cf 22* ‖ *ὁ om V: cf 17; 22; 125, 3; 126, 11; 18; 118, 14* ‖ *καὶ om B: cf 22* ‖ [12] *αὐτῷ om V* ‖ [16] *utroque loco scr Ἀνδρέαν?* ‖ *παῦσον B* ‖ *τοῦ λειποῦ τύπτοντα V* ‖ [17] *αὐτῷ ⟨ὁ⟩? cf 10* ‖ [18] *οὖν om V* ‖ *ἵνα] scr ἆρα?* ‖ [19] *ἢ om B* ‖ [20] *ὁ om B: cf 118, 14* ‖ *ἐγὼ om B* ‖ *ῥ. σοι V* ‖ [21] *κάμιλον BV constanter: cf 124, 22 ss* ‖ *τριπήματος (ι ex υ rasura effectum?) V (cf codd N T ap Luc): scr τρυπήματος?? cf 26; 124, 16* ‖ *ne scr διελθεῖν: cf 26; 125, 17; 18; 20; 22* ‖ *πλούσιος V* ‖ [22] *ὁ om V: cf 10* ‖ [23] *scr ἔτι? cf 10* ‖ *κ. θ. om V* ‖ [24] *τοῦ ante Ἀ. et ante Π. om V* ‖ [25] *οὕτως om V* ‖ *μέγας om V: cf 125, 4* ‖ *εἶ om B* ‖ *πλείων B* ‖ [27] *δείξῃ V* ‖ *τὸ om B* ‖ *τὸν om V* ‖ [28] *σου] ὃν σὺ κηρίττης V* ‖ *δὲ om V* ‖ [29] *scr τιμωρηθήσῃ?*

15 *Ταῦτα δὲ ἀκούσας ὁ Πέτρος ἐλυπήθη λίαν, καὶ σταθεὶς καὶ ἐκτείνας τὰς χεῖρας εἰς τὸν οὐρανὸν προσηύξατο λέγων· Δέσποτα κύριε ὁ θεὸς ἡμῶν, ἐπάκουσόν μου τῇ ὥρᾳ ταύτῃ. ἀγρεύσω γὰρ ἡμᾶς ἐκ τῶν σῶν λόγων. οὐ γὰρ προφήτης εἶπεν ταύτην τὴν διασάφησιν αὐτοῦ ἀπαγγέλλων, οὐδὲ πάλιν πατριάρχης, ἵνα μάθωμεν ταύτην τὴν ἑρμηνείαν· καὶ νῦν ζητοῦσιν παρ' ἡμῶν τὴν τοιαύτην διασάφησιν μετὰ παρρησίας. σὺ οὖν δέσποτα μὴ παρίδῃς ἡμᾶς· σὺ γὰρ εἶ ὁ ὑμνούμενος ὑπὸ τῶν χερουβίμ.*

16 *Ταῦτα δὲ αὐτοῦ εἰπόντος ἐφάνη ὁ σωτὴρ ἐν μορφῇ παιδίου δωδεκαετοῦς φοροῦν ὀθόνιον ἔχων ὁμαλὴν ἔσωθεν καὶ ἔξωθεν· καὶ λέγει αὐτοῖς· Θαρσεῖτε καὶ μὴ πτοεῖσθε οἱ ἐκλεκτοί μου μαθηταί· ἐγὼ γάρ εἰμι μεθ' ὑμῶν πάντοτε· ἐνεχθήτω δὲ ἡ ῥαφὶς καὶ ὁ κάμηλος. Καὶ ταῦτα εἰπὼν ἀνῆλθεν εἰς τοὺς οὐρανούς. πανταπώλης δέ τις ἦν ἐν τῇ πόλει πιστεύσας τῷ κυρίῳ διὰ Φιλίππου τοῦ ἀποστόλου· καὶ ἀκούσας ταῦτα δραμὼν ἐζήτησεν ῥαφίδα ἔχουσαν μεγάλην τρυμαλιάν, χάριν παρέχων τοῖς ἀποστόλοις. Τότε μαθὼν ὁ Πέτρος λέγει αὐτῷ· Τέκνον μὴ ζήτει μεγάλην ῥαφήν· οὐκ ἀδυνατεῖ γὰρ τῷ θεῷ ἡμῶν πᾶν ῥῆμα· ἀλλὰ μᾶλλον φέρε ἡμῖν λεπτὴν ῥαφήν.*

17 *Τῆς δὲ ῥαφῆς ἐνεχθείσης καὶ παντὸς τοῦ πλήθους τῆς πόλεως ἱσταμένων πρὸς θεωρίαν, ἀναβλέψας ὁ Πέτρος εἶδεν κάμηλον ἐρχομένην· εἶπεν δὲ ἐνεχθῆναι αὐτήν. τότε ἔπηξεν τὴν ῥαφίδαν εἰς τὴν γῆν καὶ κράξας φωνῇ μεγάλῃ εἶπεν· Ἐν ὀνόματι τοῦ σταυρωθέντος Ἰησοῦ Χριστοῦ ἐπὶ Ποντίου Πιλάτου κελεύω σοι κάμηλε ἵνα εἰσέλθῃς διὰ τρυμαλιᾶς τῆς ῥαφίδος. Τότε ἡ τρύπη τῆς ῥαφίδος ἠνοίχθη ὡς πύλη καὶ διῆλθεν* 166 T *δι' αὐτῆς ὁ κάμηλος· καὶ πᾶς ὁ | ὄχλος ἐθεώρει. πάλιν λέγει*

[17] cf Luc 1, 37

---

[1] *δὲ om V: del? cf 123, 10 ‖ καὶ om V ‖* [3] *τὴν ὥραν ταύτην V ‖* [4] *ἄγρευσον V ἀγρεύσουσιν Tischendorf: scr ἀγρεύσωσιν?? ἀγρεύσονται?? ἀγρεύουσιν? cf 6 ‖* [4–5] *scr εἶπεν ταῦτα ἵνα τ. δ. α. ἀπαγγέλλωμεν? ‖* [4] *ἀπαγγέλων V: scr ἀπ' ἀγγέλων??? ‖* [6] *παρ' om V ‖* [6–7] *ταύτην τὴν διασ ἡμ. (om παρ') V ‖* [10] *φορῶν V ‖ ὀθόνην (i e ὀθόνιν?) V ‖* [10–11] *ἔχων - ἔξ. om B ‖* [10] *scr ὀθόνην ὁμαλὴν (del ἔχων)?? ‖* [11] *πτοηθήται V ‖* [13] *δὲ om B ‖* [14] *παντάπολις B πατάπιος V correxit Tischendorf: scr παντοπώλης? ‖* [16] *ῥαφήδην (i e ῥαφίδιν cf 125, 5; 7) B: scr ῥαφὴν?? cf 18; 125, 11; 13 ῥαφίδαν Tischendorf fort recte: cf 23; 125, 5 ‖ ἔχ. om V ‖* [17] *τότε] τούτω V ‖ αὐτῷ om B ‖* [18] *ῥαφίδα V ‖ γὰρ om V (cf 119, 1): scr παρὰ? γὰρ ⟨παρὰ?⟩ ‖* [19] *ἡμῶν om B ‖ λεπτῇ ῥαφίδα V ‖* [21] *ἱσταμένους V: cf 122, 17; 123, 2 ‖* [21–23] *ὁ Π. - κράξας] εἰς τὸν οὐρανὸν V ‖* [23] *εἶπεν μεγ. τῇ φ. V ‖* [24] *ἰησ. χρ. τ. στ. V ‖* [25] *διὰ ⟨τῆς⟩? ‖* [26] *ῥαφῆς V ‖* [27] *ὁ] ἡ V: cf 125, 1; 2; 15; 19; 22 sed etiam 126, 15*

ὁ Πέτρος τῷ καμήλῳ· Εἴσελθε πάλιν διὰ τῆς ῥαφίδος. Καὶ εἰσῆλθεν πάλιν δεύτερον ὁ κάμηλος.

18 Ταῦτα ἰδὼν ὁ Ὀνησίφορος λέγει τῷ Πέτρῳ· Ἀληθῶς μέγας μάγος εἶ σύ· ἐγὼ γὰρ οὐ πιστεύω εἰ μὴ ἐγὼ πέμψω καὶ φέρω ῥαφίδιν καὶ κάμηλον. Καὶ προσκαλεσάμενος ἕνα ἐκ τῶν παίδων αὐτοῦ λέγει αὐτῷ λαθραίως· Πορεύθητι καὶ φέρε μοι ὧδε κάμηλον καὶ ῥαφίδιν· εὑρὲ δὲ καὶ γυναῖκα μεμιασμένην, καὶ αὐτὴν ἐπιβιβάσας ἔνεγκε ὧδε, καὶ χοίρινον κρέας. οἱ γὰρ ἄνδρες οὗτοι μάγοι εἰσίν. Μαθὼν δὲ ὁ Πέτρος τὸ μυστήριον διὰ τοῦ πνεύματος λέγει τῷ Ὀνησιφόρῳ· Ἄνθρωπε βαρυκάρδιε πέμψον, φέρε τὸν κάμηλον καὶ τῆν γυναῖκαν καὶ τὴν ῥαφὴν σὺν τῷ κρέατι.

19 Ὡς δὲ ἤνεγκαν αὐτὰ λαβὼν πάλιν ὁ Πέτρος τὴν ῥαφὴν ἔπηξεν εἰς τὴν γῆν σὺν τῷ κρέατι· ἡ δὲ γυνὴ ἦν καθεζομένη ἐν τῷ καμήλῳ. τότε λέγει ὁ Πέτρος· Ἐν τῷ ὀνόματι τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ ἐσταυρωμένου κελεύω σοι κάμηλε ἵνα εἰσέλθῃς διὰ τῆς ῥαφίδος ταύτης. Εὐθέως δὲ ἠνοίχθη τῆς βελόνης ἡ τρύπη καὶ ἐγένετο ὡσεὶ πύλη, καὶ εἰσῆλθεν δι' αὐτῆς ὁ κάμηλος. Λέγει πάλιν ὁ Πέτρος τῷ καμήλῳ· Εἴσελθε πάλιν δι' αὐτῆς, ὅπως ἴδωσιν πάντες τὴν δόξαν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὅπως πιστεύσωσίν τινες εἰς αὐτόν. Τότε εἰσῆλθεν πάλιν ὁ κάμηλος διὰ τῆς βελόνης.

20 Ἰδὼν δὲ Ὀνησίφορος ἐβόησεν φωνὴν μεγάλην λέγων· Ἀληθῶς μέγας ὁ θεὸς Πέτρου καὶ Ἀνδρέου, κἀγὼ ἀπὸ τοῦ νῦν πιστεύω εἰς τὸ ὄνομα τοῦ κυρίου ὑμῶν Ἰησοῦ Χριστοῦ. νῦν οὖν ἄκουσον τῶν ῥημάτων μου ὦ Πέτρε. ἔχω τοίνυν ἀρούρας, ἀμπέλους καὶ ἀγρούς· ἔχω δὲ καὶ εἴκοσι ἑπτὰ λίτρας

---

[1] τ. κ.] πρὸς τὸν κάμιλον *V* ‖ δ. τ. ῥ.] διαὐτῆς δεῦτερον *V: cf 2?* ‖ [2] πάλ. εἰσ. ὁ κ. διὰ τῆς ῥαφῆς δεύτ. *V* ‖ ὁ *om V: cf 123, 10* ‖ [4] σύ *om B* ‖ εἰ] ἡμῖν ἐὰν *V* ‖ ἐγὼ *om V* ‖ πέψω *V: cf 11* ‖ [5] καὶ *om V* ‖ εἰσφέρουσιν *V: cf 11* ‖ ῥαφίδην *B* ῥαφίδι *V* ῥαφίδαν *Tischendorf fort recte: cf 7; 124, 16* ‖ ἐκ *om V: cf 120, 22; 121, 14; 19; 29* ‖ [6] προπορεύθητι *V* ‖ ἔνεγγέ *V* ‖ [7] ῥαφίδην *B* ῥαφίδι *V* ῥαφίδαν *Tischendorf fort recte: cf 5* ‖ μεμιαμένην *B* ‖ [8] κ. α. ἐπ. *om V* ‖ ἔνεγγε *V* ‖ κ. χ. κρ. *om B* ‖ [9] τὸ μυστ. *om V: del?* ‖ [10] ἄ. βαρ. *om B* ‖ [11] πέψον *V: cf 4* ‖ ⟨καὶ⟩ φ.? *cf 5* ‖ τὴν *B: cf 124, 27* ‖ κ. τ. γ. *om V* ‖ *scr* γυναῖκα? ‖ ῥαφίδα *V* ‖ [12] σὺν τ. κρ. *om B* ‖ [13] αὐτὰ *om B: del?* ‖ πάλιν *om B* ‖ ῥαφίδα *V* ‖ [14] σὺν τ. κρ. *om B* ‖ καθημένη *V: cf 1, 5* ‖ [16] σταυρωθέντος *V* ‖ [17] εὐθ. δὲ] καὶ εὐθ. *V* ‖ [18] ἡ τρ. τ. βελ. *V* ‖ ὃς ἡ *B* (ὥς ἡ *Tischendorf*) ὡς *V* ‖ εἴσελθεν *B* ‖ [21] ὅπως] καὶ *V: cf 120, 1; 122, 22* ‖ τινες *om V* ‖ [23] δὲ ⟨ὁ⟩? *cf 123, 10* ‖ ἀνενόησεν *V* ‖ φ. μεγ. *om B: scr* φωνῇ μεγάλῃ? ‖ [24] μέγας *om B* ‖ [25] ὑμ. *om V: scr* ἡμῶν??? *del??* ‖ [26] οὖν *om V* ‖ [27] κβ' *V*

νίζεσθε ὑπὲρ τῆς ἀνθρωπότητος. ἀμὴν γὰρ λέγω ὑμῖν, κόπους ὑπομένετε καὶ θλίψεις πολλὰς ἐν τῷ κόσμῳ τούτῳ ὑπὲρ τῆς ἀνθρωπότητος· ἐν μιᾷ ὥρᾳ ἀνέσεως ἐν τῇ βασιλείᾳ τοῦ πατρός μου. ἀναστάντες οὖν πορεύεσθε ἐν τῇ πόλει τῶν βαρβάρων καὶ κηρύξατε ἐν αὐτῇ· κἀγὼ ἔσομαι μεθ' ὑμῶν ἐν τοῖς θαυμασίοις τοῖς γινομένοις ἐν αὐτῇ διὰ τῶν χειρῶν ὑμῶν. Ἀσπασάμενος δὲ αὐτοὺς ὁ κύριος Ἰησοῦς ἀνῆλθεν εἰς τοὺς οὐρανοὺς ἐν δόξῃ.

3 Πέτρος δὲ καὶ Ἀνδρέας καὶ Ἀλέξανδρος καὶ Ῥοῦφος καὶ Ματθείας ἐπορεύθησαν εἰς τὴν πόλιν τῶν βαρβάρων. ἐγγισάντων δὲ αὐτῶν τῇ πόλει ἀποκριθεὶς δὲ ὁ Ἀνδρέας εἶπεν τῷ
163 T Πέτρῳ· Πάτερ Πέτρε, ἆρά γε ἔχομεν πάλιν κό|πους ὑπομεῖναι ἐν τῇ πόλει ταύτῃ ὡς καὶ ἐν τῇ χώρᾳ τῶν ἀνθρωποφάγων; Λέγει αὐτῷ ὁ Πέτρος· Οὐκ οἶδα· ἀλλ' ἰδού, ἔστιν γέρων ἔμπροσθεν ἡμῶν σπείρων ἐν τῷ ἀγρῷ αὐτοῦ· ἐὰν φθάσωμεν ἕως αὐτοῦ καὶ ἐρῶμεν αὐτῷ· Δὸς ἡμῖν ἄρτον· καὶ ἐὰν δώῃ ἡμῖν, γνῶμεν ὅτι οὐ κοπιῶμεν ἐν τῇ πόλει ταύτῃ. εἰ δὲ ἡμῖν εἴπῃ ὅτι Ἄρτον οὐκ ἔχω, πάλιν γνῶμεν ὅτι πάλιν κόπος ἡμᾶς μένει. Ὡς δὲ ἤγγισαν τῷ γέροντι, λέγει αὐτῷ ὁ Πέτρος· Χαῖρε γεωργέ. Ὁ δὲ γεωργὸς λέγει αὐτοῖς· Χαίρετε καὶ ὑμεῖς ἔμποροι. Λέγει αὐτῷ ὁ Πέτρος· Ἔστιν σοι ἄρτος ἵνα παρέχῃς τῶν παιδίων τούτων, ἐπειδὴ ὑστερήθημεν; Λέγει αὐτοῖς ὁ γέρων· Ὑπομείνατε ὀλίγον καὶ προσέχετε τῶν βοῶν καὶ τοῦ ἀρότρου καὶ τοῦ ἀγροῦ, ἵνα πορευθῶ ἐν τῇ πόλει καὶ παρέχω ὑμῖν ἄρτους. Λέγει αὐτῷ ὁ Πέτρος· Ἐὰν ξενοδοχήσῃς ἡμᾶς, ἡμεῖς ἐπιτηροῦμεν τὸ ζεῦγος καὶ τὸν ἀγρόν. Λέγει ὁ γέρων· Ναί. Λέγει αὐτῷ ὁ Πέτρος·

---

[2] ὑπομενεῖτε V ‖ κ. θλ. π. om B ‖ [3] ἐν - ἀνέσ. om V ‖ ἐν μιᾷ] ἀλλὰ θαρσεῖτε· ἐγὼ ἀναπαύσω ὑμᾶς ἐν μιᾷ *Woog haud male, nisi forte post* ὥρᾳ *demum lacuna statuenda est* ‖ βασ.] δὲ *add* V ‖ [4] μου] ἀναπαυθήσεσθαι εἰς τοὺς αἰῶνας *add* V ‖ πορ. *om* V ‖ [4–5] κηρ. ἐν τ. π. τ. β. (*om* καὶ *et* ἐν α.) V ‖ [5] θαύμασιν B: *cf* 126, 19 ‖ [7] ὁ κ. Ἰ. *om* V dominus noster *aeth* ‖ [10] ματθίας V ‖ χώραν V: *cf* 115, 8 ‖ [11] τῇ] ἐν τῇ V ‖ πόλει ⟨.....⟩? ‖ δὲ *alt del Thilo* ‖ λέγει V ‖ [12] ἆρά γε *om* V ‖ κόπ. ὑπ. πάλ. V ‖ [13] χ.] πόλει V: *cf* 115, 8 ‖ [14] ὁ *om* B: *cf* 19; 20; 24; 26; 123, 10 *al* ‖ [14–15] ἔμπ. ἡμ. γέρ. ἄνθρωπος V ‖ [15] σπέρον V: *scr* σπέρων? *cf* 121, 2; 5 ‖ ἐὰν - αὐτοῦ *om* V ‖ [15–16] *scr* φθάσομεν... ἐροῦμεν?? ‖ [15] καὶ *om* B ‖ [16] ἄρτους V ‖ [17] εἴπῃ ἡμ. V ‖ οὐκ ἔχω ἄρτον V ‖ ἔχωμεν B ‖ [18] πάλιν *prius del?* ‖ πάλιν *alt om* V: *cf* 12 ‖ κόπους ἡμῖν παρέχει V ‖ ἡμῖν *Woog* ‖ [19] ὁ *om* B: *cf* 14 ‖ [19–20] χαῖρε - Πέτρος *om* V ‖ [21] τοῖς παιδίοις τούτοις *Woog* (*cf* 24; 119, 10): *sed cf* 23; 120, 13; 14; 121, 4 ‖ [22] ὑστεροῦνται V ‖ γεωργὸς V: *cf* 26 ‖ μικρὸν V: *cf* 121, 10 ‖ [23] τὸ ἄρωτρον V ‖ [23–24] ἀπέλθω εἰς τὴν πόλιν V: *cf* 117, 4 ‖ [24] ὁ *om* B ‖ [26]–119,[1] λέγει ὁ γ. - εἶτα *om* V

Εἶτα οἱ βόες σοί εἰσιν; Λέγει ὁ γέρων· Οὐχί· μεμίσθωμαι γὰρ αὐτούς. Λέγει αὐτῷ ὁ Πέτρος· Πορεύου ἐν τῇ πόλει. Καὶ ἐπορεύθη ὁ γέρων ἐν τῇ πόλει.

4 Καὶ ἀναστὰς ὁ Πέτρος διεζώσατο τὸν ἑαυτοῦ ἐπενδύτην καὶ τὸ λέντιον καὶ λέγει πρὸς τὸν Ἀνδρέαν ὅτι Οὐκ ἔστιν ἡμῖν πρέπον ἀναπαύεσθαι καὶ ἀργεῖν, μάλιστα δὲ ὑπὲρ ἡμῶν κοπιοῦντος τοῦ γέροντος, ἀφεὶς τὸ ἔργον αὐτοῦ. Τότε ὁ Πέτρος ἁψάμενος τοῦ ἀρότρου ἔσπειρεν τὸν σῖτον. Ἀνδρέας δὲ ἦν ὄπισθεν τῶν βοῶν καὶ λέγει τῷ Πέτρῳ· Πάτερ Πέτρε τί κόπους παρέχεις ἡμῖν; σὺ γὰρ εἶ πατὴρ καὶ ποιμὴν πάντων· καὶ σὺ κοπιᾷς ἡμῶν ὄντων; Τότε λαβὼν ὁ Ἀνδρέας τὸ ἄροτρον ἐκ τοῦ Πέτρου ἔσπειρεν τὸν σῖτον καὶ εὐλογήσας εἶπεν· Ὁ σπόρος ὁ εἰς τὴν γῆν ρημένος ἐν τῷ ἀγρῷ τῶν δικαίων ἔρχου. Ὁ δὲ Ῥοῦφος καὶ Ἀλέξανδρος καὶ Ματθείας ἦσαν ἐκ δεξιῶν τῶν βοῶν, εἶπαν δὲ καὶ αὐτοί· Ἡ δρόσος ἡ γλυκυτάτη καὶ ὁ ἄνεμος ὁ καλὸς ἐρχέσθωσαν καὶ ἀναπαυέσθωσαν ἐν τῷ ἀγρῷ τούτῳ. Παραχρῆμα δὲ πᾶς ὁ ἀγρὸς ἐβλάστησεν, καὶ ἐγένετο ὁ στάχυς πλήρης σίτου.

5 Ἐλθὼν δὲ ὁ γεωργὸς μετὰ τῶν ἄρτων καὶ ἀναβλέψας εἶδε πάντα τὸν ἀγρὸν πλήρης στάχυας· ἔθηκε δὲ τοὺς ἄρτους ἐν τῇ γῇ παρὰ τοὺς πόδας τῶν ἀποστόλων ... προσεκύνησεν αὐτοὺς λέγων· Δεσπόται μου, ἆρα θεοί ἐστε; ὡς θεοὺς γὰρ ὑμᾶς θεωρῶ. Λέγει αὐτῷ ὁ Πέτρος· Ἀνάστα ἄνθρωπε· οὐ γάρ ἐσμεν θεοί, ἀλλὰ ἀπόστολοί ἐσμεν τοῦ ἀγαθοῦ θεοῦ· ἐξελέξατο ἡμᾶς, καί ἐσμεν δώδεκα· καὶ παρέδωκεν ἡμᾶς ἀγαθὰς διδασκαλίας ἵνα

---

[1] *σοί*] *σὺ V ὑμῶν B* (*omisso σ interpol ex υ?*) tui *aeth* ‖ *λέγει*] *αὐτῷ add V: cf 2; 118, 26* ‖ *γὰρ om B: cf 124, 18* ‖ [2] *αὐτούς*] tum ait Petrus estne hic ager tuus ita inquit senex meus est *add aeth* ‖ [2–3] *λέγει - γέρων*] *ἀναστὰς δὲ ὁ γέρων εἰσῆλθεν V* ‖ [4] *καὶ ἀν. ὁ*] *ὁ δὲ V* ‖ *ἑαυτοῦ om V: cf 123, 11* ‖ [5] *π. τ. Ἀ.*] *πέτρος τῶ ἀνδρέα V* ‖ [5–6] *πρέπ. ἡμ. V* ‖ [6–7] *κοπ. τ. γέρ. ὑπ. ἡμ. ἀφήσας V* ‖ [7] *ἀφέντος Woog* ‖ [8] *επήρεν B* ‖ *ἦν*] *οὖν V* ‖ [9] *βοῶν*] *ἐξήρχετο add V* ‖ [10] *⟨αὐτὸς ὑποδύῃ καὶ οὐ⟩ παρ. ἡμῖν; ? an scr σεαυτῷ παρέχεις;* (*sic fere aeth et slauon*)? ‖ *ἡμῖν om V* ‖ *σὺ - πάντων om B* ‖ [11] *ἡμ. ὄ.*] *ἀργῶν add Lipsius I p 554: scr ἡμ. ἑστώτων?* me adstante *aeth om slauon* ‖ *ὁ om V* ‖ [11–12] *ἐκ τ. Π. om V* coepit arare Petrus autem cepit corbes plenas frumenti *add aeth* ‖ [12] *ἔσπερεν B: cf 118, 15* ‖ *κ. εὐλ. εἶπεν*] *λέγων B* ‖ [12–13] *εἰς - ρημ.*] *ἐν τῶ ἀγρῶ τοῦτω σπαρμένος ἀναπαύου V* ‖ [13] *ἐρριμμένος Tischendorf recte ut uid* ‖ *τῶν δ. ἔ.*] *τοῦτο* (*i e τούτῳ*) *V* ‖ [13]–122,[22] *ὁ δὲ - σκότους om B*

V [14] *ματθίας V* Matthaeus *slauon* ‖ [15] *ἐρχ.*] et nubes pluant et ueniant *add slauon* ‖ [20] *scr πλήρη στάχυος??* ‖ [21] *ἀποστόλων ⟨καὶ⟩* (*aliquid abscis uidetur V*)? *sic slauon* ‖ [22] *ἆρα et q s*] *paulo plura habet aeth* ‖ [25] *scr ἡμῖν?* ‖ *ἵνα*] *scr ὅπως?? cf 122, 21; 22; 125, 20; 21*

ταύτας διδάξωμεν τοὺς ἀνθρώπους, ὅπως ῥυσθέντες ἀπὸ τοῦ θανάτου ζωὴν αἰώνιον κληρονομήσουσιν. Σταθεὶς δὲ πρὸς αὐτὸν ὁ Πέτρος λέγει· Ἀγαπήσας κύριον τὸν θεόν σου ἐξ ὅλης τῆς ψυχῆς καὶ ἐξ ὅλης τῆς καρδίας σου· μὴ μοιχεύσῃς· μὴ κλέψῃς· μὴ ψευδομαρτυρήσῃς· παίδευσόν σου τὰ τέκνα ἐν φόβῳ θεοῦ· καὶ ζήσεις καλὴν ζωὴν καὶ ἔρχῃ εἰς τὴν δόξαν αὐτοῦ. Ἀποκριθεὶς ὁ ἄνθρωπος εἶπεν αὐτόν· Ἐὰν φυλάξω αὐτά, δύναμαι ποιῆσαι κἀγὼ ἓν θαῦμα ὡς καὶ ὑμεῖς ἐποιήσατε τὸν ἀγρόν μου εὐθέως βλαστῆσαι; Ἀποκριθεὶς δὲ ὁ Πέτρος εἶπεν· Ἀμήν σοι λέγω, ἐὰν ποιήσῃς ταῦτα πάντα, ποιήσεις ὃ βούλει. Ἀπεκρίθη ὁ γέρων· Πάτερ, ἀφελῶ ταῦτα πάντα καὶ ἀκολουθήσω ὑμῖν ὅπου ἐὰν ἀπέρχεσθε. Λέγει αὐτῷ ὁ Πέτρος· Οὐχ οὕτως ἔσται· ἀλλὰ πορεύου καὶ δὸς τοὺς βόας τοῦ κυρίου αὐτῶν, καὶ ἀνάγγειλον τῇ γυναικί σου καὶ τῶν τέκνων σου· οὐ γὰρ οἴδασιν φθάσειν αὐτοὺς ἡ χάρις τοῦ θεοῦ. καὶ εὐπρέπησόν σου τὸν οἶκον ὅπως ἐλθόντες ἐκεῖ διαμείνωμεν· δεῖ γὰρ ἡμᾶς ἐν τῇ πόλει ταύτῃ μεῖναι, ἐπειδὴ ὁ δεσπότης ἡμῶν Χριστὸς ἐκάλεσεν ἡμᾶς ἐν αὐτῇ.

6 Τότε ὁ ἄνθρωπος παραλαβὼν δεσμίδιν ἐκ τοῦ σίτου τοῦ ἀγροῦ ἐκρέμασεν αὐτὸ ἐν ῥάβδῳ ὄπισθεν αὐτοῦ· καὶ λαβὼν τὸ ἄροτρον καὶ τοὺς βόας ἐπορεύθη εἰς τὴν πόλιν. εἰσερχομένου δὲ αὐτοῦ θεωροῦσίν τινες αὐτὸν ἐκ τῶν ἐκεῖσε καὶ λέγουσι τῷ γέροντι· Πόθεν εὗρες τὸ δεσμίδιν τῶν σταχύων; καιρὸς γάρ ἐστι σπόρου. Αὐτὸς δὲ μᾶλλον σπουδαιότερον κατεδίωκεν πρὸς τὴν οἰκίαν αὐτοῦ, εὐφραινόμενος σφόδρα πρὸς τὸ εὐτρεπίσαι τὸν οἶκον αὐτοῦ τοῖς ἀποστόλοις.

7 Καὶ ἀκούσαντες οἱ πρῶτοι τῆς πόλεως τὰ γενόμενα καὶ ἀποστείλαντες ἐκάλεσαν τὸν γέροντα καὶ ἐπυνθάνοντο· Ποῦ εὗρες τοὺς στάχυας μὴ ὄντος καιροῦ θέρους; Αὐτὸς δὲ οὐκ ἀπεκρίνατο αὐτούς. λέγουσιν αὐτῷ πάλιν· Εἰπὲ ἡμῖν τὴν ἀλήθειαν· εἰ δὲ μή γε, κακῶς ἀποθνήσκεις. Αὐτὸς δὲ ἀποκρίνατο λέγων· Οὐ μέλει μοι περὶ τοῦ θανάτου ὑμῶν. ἐγὼ γὰρ εὗρον

[3] cf Matth 22, 37; deut 6, 5; exod 20, 13; 14; 16; deut 4, 9; 10?

---

[2] *post δὲ senis interrogatio intercidisse uidetur* ‖ [3] *scr* Ἀγαπήσεις? ‖ [4] ψυχῆς <σου>? ‖ [7] <δὲ> ὁ? *cf 9 al* ‖ *scr* αὐτῷ? *cf 121, 4; 31; 120, 30; 121, 31; 126, 28* ‖ [8] ἡμεῖς *V* ‖ [11] *scr* ἀφήσω *uel* ἀφῶ? relinquam *aeth slauon* ‖ ἡμῖν *V* ‖ [12] *scr* ἀπέρχησθε? *cf 121, 8; 30* ‖ [13] *scr* τῷ κυρίῳ?? *cf 118, 21* ‖ [14] *scr* τοῖς τέκνοις?? *cf 118, 21* ‖ οὐ γ. οἴδ.] quae uidisti et *slauon* ‖ *scr* <ὅτι> *uel* <καὶ> φθάσει? ‖ [15] *scr* τὴν χάριν?? ‖ *scr* εὐτρέπισον: *cf 25; 121, 10* ‖ [20] ῥάνδῳ *V* ‖ [23] *scr* Ποῦ?? *cf 28* ‖ [29] *scr* καιροῦ? ‖ [30] αὐτούς] *cf 7* ‖ [31] *scr* ἀπεκρίνατο?

τὴν αἰώνιον ζωήν· ἐὰν θέλητε τὴν ἀλήθειαν μαθεῖν, ἄνθρωποι παρεγένοντο πρός με ἐν τῷ ἀγρῷ μου· κἀγὼ ἔσπερον· καὶ ἠρώτησάν με λέγοντες· Ἔχεις ἄρτους ἵνα δώῃς ἡμῖν; Ἐγὼ δὲ εἶπον αὐτοῖς· Μείνατε παρὰ τῶν βοῶν, κἀγὼ ἀπέρχομαι εἰς τὴν πόλιν καὶ φέρω ὑμῖν ἄρτους· Στραφεὶς δὲ εὗρον αὐτοὺς σπέροντας ἐν τῷ ἀγρῷ, καὶ ἐξελθόντες στάχυες· ἰδὼν δὲ ἐγὼ τὸ παράδοξον θαῦμα παρεβιασάμην αὐτοὺς ἵνα εἰσελθόντες εἰς τὴν πόλιν ἀναπαύσονται ἐν τῇ οἰκίᾳ μου. καὶ ἐὰν βούλεσθε ἰδεῖν αὐτούς, πορεύεσθε πρὸς αὐτοὺς ἐν εἰρήνῃ· εἰ δὲ μή γε, μείνατε ὀλίγον εὐτρεπίσαι τὸν οἶκόν μου, ἵνα εἰσέλθωσιν καὶ θεωρῆτε αὐτούς. Ταῦτα δὲ αὐτοῦ εἰπόντος ἀνεχώρησεν ἀπ᾿ αὐτούς.

8 Ὁ δὲ μισόκαλος διάβολος εἰσελθὼν εἰς τὰς καρδίας αὐτῶν τῶν πρώτων τῆς πόλεως, καὶ συναχθέντες ἔλεγον πρὸς ἀλλήλους· Οὐαὶ ἡμῖν, οἱ ἄνθρωποι οὗτοι ἐκ τῶν δώδεκα Γαλιλαίων εἰσὶν τῶν μαγευόντων τοὺς ἀνθρώπους· οὗτοι γάρ εἰσιν οἱ ἀφορίζοντες τοὺς ἀνθρώπους ἐκ τῶν γυναικῶν καὶ τὰς γυναῖκας ἀπὸ τῶν ἀνδρῶν αὐτῶν. τί οὖν ποιήσωμεν; οὐ θέλομεν γὰρ εἰσελθεῖν εἰς τὴν πόλιν ἡμῶν, μήποτε ἀφορίσωσιν ἡμᾶς ἐκ τῶν γυναικῶν ἡμῶν. Τινὲς δὲ ἐξ αὐτῶν ἔλεγον· Οἱ πέντε ἄνδρες εἰσίν· ἐξελθόντες φονεύσωμεν αὐτούς. Ἕτεροι δὲ εἶπον· Οὐ δυνάμεθα φονεῦσαι αὐτούς· ἠκούσαμεν γὰρ ὅτι τινὰ διδάσκαλον ἔχουσιν λεγόμενον Ἰησοῦν, καὶ εἴ τι ἂν αἰτήσωνται, εὐθέως ὑπακούει αὐτῶν. καὶ μή πως αἰτήσωνται κατακλυσμόν, ὑπακούσῃ αὐτῶν· ἐὰν δὲ καὶ πῦρ αἰτήσωνται, ποιήσει οὕτως. λοιπὸν οὖν οὐ δυνάμεθα πρὸς αὐτούς τι ποιῆσαι, μή πως καὶ πῦρ αἰτήσωνται, καὶ ποιῆσαι, καὶ καύσωσιν ἡμᾶς καὶ τὴν πόλιν ἡμῶν. Ἔκλαιον δὲ ὀδυρόμενοι καὶ ἔλεγον· Ἄλλο τι ἔχομεν ποιῆσαι;

9 Εἷς δὲ ἐξ αὐτῶν πλησθεὶς ὀργῆς καὶ θυμοῦ λέγει πρὸς αὐτούς· Ἐὰν ἀκούσετέ μου, οὐκ ἀφήσω αὐτοὺς εἰσελθεῖν ἐνταῦθα. Λέγουσιν αὐτῷ· Τί ἔχεις ποιῆσαι; Λέγει αὐτούς· Θεωρεῖτε τοὺς ἀνθρώπους τούτους ὅτι μισοῦσιν τὸ γένος τῶν γυναικῶν, μᾶλλον δὲ τὰς πόρνας· νῦν οὖν ἀκούσατέ μου, καὶ

22 cf Matth 21, 22

2 scr ἔσπειρον? cf 5; 118, 15 ‖ 4 τῶν βοῶν] cf 118, 21 ‖ 5 σπέρ.] cf 2 ‖ 6 στάχυες <.....>? ‖ 8 βούλ.] cf 1; 120, 12; 30 ‖ 10 εὐτρεπίσαι <με>? an scr εὐτρεπίσω? ‖ 11 scr ἀπ᾿ αὐτῶν? cf 120, 7 ‖ 13 del τῶν πρ. τ. πόλ.? om aeth ‖ 14 οἱ repet V ‖ 16 ἀνθρ.] scr ἄνδρας? ‖ 16 et 18 ἐκ] scr ἀπὸ? ‖ 18 εἰσελθεῖν <αὐτούς>? ‖ 19 οἱ π.] scr ὅτι π.?? quinque tantum slauon ‖ 23 <καὶ> ὑπακούσῃ? cf 26 ‖ 25 καὶ] scr κἂν? ‖ 26 scr ποιήσῃ? an del καὶ ποιῆσαι? ‖ 30 scr ἀκούσητέ? cf 8 ‖ 31 αὐτούς] cf 120, 7 ‖ 33 μᾶλλον - πόρνας om slauon: del?

εὕρωμεν γυναῖκαν πόρνην εὔμορφον, καὶ ταύτην παραθήσομεν εἰς τὴν πύλην τῆς πόλεως γυμνήν, τῷ σχήματι κεκοσμημένην· καὶ βλέψαντες αὐτὴν φύγωσιν τοῦ μὴ εἰσελθεῖν εἰς τὴν πόλιν ταύτην. Καὶ εὐθέως ἤνεγκαν τῇ πύλῃ τῆς πόλεως γυμνήν.

10 Οἱ δὲ ἀπόστολοι τοῦ Χριστοῦ μαθόντες διὰ τοῦ πνεύματος τὴν ἐνέδραν αὐτῶν, λέγει Ἀνδρέας τῷ Πέτρῳ· Θεωρεῖς πάτερ τὴν ἀναισχυντίαν τῆς γυναικὸς ταύτης, πῶς εἰσῆλθεν ὁ Σατανᾶς εἰς αὐτήν, ἵνα πειράσῃ ἡμᾶς; κέλευσον ἡμῖν, ἵνα παιδεύσω αὐτήν. Λέγει αὐτῷ Πέτρος· Ἔχεις ἐξουσίαν κατ' αὐτῆς· ποίησον ὃ βούλει. Τότε Ἀνδρέας προσηύξατο λέγων· Κύριε Ἰησοῦ Χριστέ, κατάπεμψον Μιχαὴλ τὸν ἀρχάγγελόν σου, ὅπως κρεμάσῃ τὴν γυναῖκαν ταύτην ἐκ τῶν τριχῶν αὐτῆς ἐν τῷ ἀέρι μέσον οὐρανοῦ καὶ γῆς, ἕως οὗ διαβῶμεν καὶ εἰσέλθωμεν ἐν τῇ πόλει καὶ κηρύξωμεν ἐν αὐτῇ σέ· ἐρχομένων δὲ ἡμῶν τότε καταβήσεται ἐκ τοῦ ἀέρος.

11 Παραχρῆμα δὲ ὁ ἄγγελος ἐκρέμασεν αὐτὴν ἐν τῷ ἀέρι· καὶ πᾶν τὸ πλῆθος τῆς πόλεως ἐθεώρουν αὐτήν. τότε ἡ γυνὴ ἔκραξε φωνὴν μεγάλην λέγουσα· Μὴ ἀνάπαυσιν ἴδωσιν οἱ ἄρχοντες τῆς πόλεως ταύτης, ὅτι ἤνεγκάν με εἰς τὴν τιμωρίαν ταύτην, ἐπειδὴ οὐκ εἴασάν με ἰδεῖν τοὺς ἀποστόλους τοῦ Χριστοῦ εἰσερχομένους ἐν τῇ πόλει, ὅπως κἀμὲ ἐλευθερώσουσιν ἐκ τῶν πολλῶν μου ἁμαρτιῶν, ὅπως φύγω ἐκ τοῦ σκότους καὶ
164 T ἔλθω εἰς τὸ φῶς. ἐξέλθατε τοίνυν οἱ | νεανίσκοι τῆς πόλεως οὓς εὗρον ἐγὼ ἐν τῷ βυθῷ τῆς ἀπωλείας ἕως σήμερον· ἰδοὺ γὰρ οἱ ἀπόστολοι τοῦ Χριστοῦ εἰσέρχονται ἐν τῇ πόλει συγχωρῶντες τὰς ἁμαρτίας τῶν πιστευόντων εἰς αὐτοὺς καὶ θεραπεύοντες πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν. εὔξασθε ὑπὲρ ἐμοῦ, ὅπως ἐλεήσῃ με καὶ ῥυσθῶ ἐκ τῆς ἀνάγκης ταύτης.

12 Πολλοὶ δὲ ἐκ τοῦ ὄχλου ἐπίστευσαν τῷ Χριστῷ διὰ τὸν λόγον τῆς γυναικός, καὶ πεσόντες παρὰ τοὺς πόδας τῶν ἀποστόλων προσεκύνουν αὐτούς. αὐτοὶ δὲ ἐτίθουν τὰς χεῖρας ἐπ' αὐτούς· τοὺς δὲ ἀσθενοῦντας ἐν τῇ πόλει ἰάσαντο, τυφλοῖς

[26] cf Matth 4, 23

---

[1] *scr γυναῖκα?: cf 12* ‖ [4] ταύτην] ac mox reppererunt scortum et nudauerunt et auro margaritisque ornauerunt ut iussi erant *add slauon: similia aeth* ‖ [5] Χρ.] uenerunt ad portam et uiderunt mulierem nudam *add aeth slauon* ‖ [12] *scr γυναῖκα?: cf 1* ‖ [14] *scr ἐξερχομένων? (aeth slauon)* [18] εἴδωσιν *V* ‖ [21–28] ὅπως *et q s] haud pauca aliter aeth slauon* *BV* [23] τοίνυν] οὖν *V* ‖ [24] ἐγὼ *om B* ‖ [25] συγχωρόντες *B: scr* συγχωροῦντες? ‖ [26] τὰς *om B* ‖ *scr* αὐτὸν? ‖ [28] ἐλεήσωσίν *V* ‖ [31] προσεκύνησαν ‖ [31–32] αὐτοὶ - αὐτούς *om V*

τὸ βλέπειν ἐχαρίσαντο, κωφοῖς τὸ ἀκούειν, δαίμονας ἀπήλαυνον· καὶ πᾶς ὁ ὄχλος ἐδόξαζον τὸν πατέρα καὶ υἱὸν καὶ τὸ ἅγιον πνεῦμα.

13 Ἦν δέ τις πλούσιος ἐν τῇ πόλει ὀνόματι Ὀνησίφορος· οὗτος οὖν θεωρήσας τὰ σημεῖα τὰ γινόμενα διὰ τῶν ἀποστόλων λέγει αὐτοῖς· Ἐὰν πιστεύσω εἰς τὸν θεὸν ὑμῶν, δύναμαι ποιῆσαι κἀγὼ σημεῖον ὡς καὶ ὑμεῖς; Λέγει αὐτῷ Ἀνδρέας· Ἐὰν ἀποτάξῃ πάντων τῶν ὑπαρχόντων σου καὶ τῆς γυναικός σου καὶ τῶν τέκνων σου ὡς καὶ ἡμεῖς ἀπεταξάμεθα, τότε καὶ σὺ ποιήσεις σημεῖα. Ταῦτα ἀκούσας ὁ Ὀνησίφορος καὶ θυμοῦ πλησθείς, λαβὼν τὸ ἑαυτοῦ λέντιον ἔβαλεν εἰς τὸν τράχηλον τοῦ Ἀνδρέου, καὶ τύπτων αὐτὸν ἔλεγεν αὐτῷ· Μάγος εἶ· τὴν γυναῖκά μου καὶ τὰ τέκνα μου καὶ τὰ ἀγαθά μου πῶς σὺ ἀναγκάζεις με καταλιπεῖν;

14 Τότε ὁ Πέτρος στραφεὶς καὶ ἰδὼν αὐτὸν τύπτοντα τὸν Ἀνδρέα λέγει αὐτῷ· Ἄνθρωπε παῦσαι λοιπὸν τύπτων τὸν Ἀνδρέα. Λέγει αὐτῷ Ὀνησίφορος· Θεωρῶ σε ὅτι φρονιμώτερος αὐτοῦ εἶ· εἰπέ μοι οὖν καὶ σὺ ἵνα καταλείψω τὴν γυναῖκά μου καὶ τὰ τέκνα μου καὶ τὰ ἀγαθά μου· ἢ τί σὺ λέγεις; Λέγει αὐτῷ ὁ Πέτρος· Ἐγὼ ἕν σοι ῥῆμα λέγω· εὐκοπώτερόν ἐστιν κάμηλον διὰ τρυμαλιᾶς ῥαφίδος εἰσελθεῖν ἢ πλούσιον εἰς τὴν βασιλείαν τοῦ θεοῦ εἰσελθεῖν. Ταῦτα ἀκούσας ὁ Ὀνησίφορος καὶ ἐπὶ πλεῖον πλησθεὶς | ὀργῆς καὶ θυμοῦ, λαβὼν τὸ λέντιον 165 T ἐκ τοῦ τραχήλου τοῦ Ἀνδρέου ἔβαλεν εἰς τὸν τράχηλον τοῦ Πέτρου, καὶ οὕτως ἔσυρεν λέγων· Ὄντως μέγας μάγος εἶ πλεῖον τούτου· οὐ γὰρ εἰσέρχεται κάμηλος διὰ τρυπήματος ῥαφίδος· εἰ δὲ καὶ δείξεις μοι τοῦτο τὸ θαῦμα, πιστεύω εἰς τὸν θεόν σου· οὐ μόνον δὲ ἐγώ, ἀλλὰ καὶ πᾶσα ἡ πόλις· εἰ δὲ μή γε, μεγάλως τιμωρηθῇς ἐν μέσῳ τῆς πόλεως.

[20] cf Luc 18, 25

---

[1] *ἀπέλαυνον V* ‖ [2] *καὶ om B* ‖ *τὸν om V: del??* ‖ *καὶ om V* ‖ *scr ⟨τὸν⟩ υἱὸν?? cf 127, 5* ‖ *τὸ om V: del??* ‖ [5] *τὰ σημ. om V: cf 118, 5* ‖ [7] *κ. σ. π. V: cf 120, 7* ‖ [8] *ἀποτάξεις V* ‖ *πάντα τὰ ὑπάρχοντά V* ‖ *τὴν γυναῖκαν V* ‖ [9] *τὰ τέκνα V* ‖ *ἀποταξώμεθα V* ‖ [10] *ἀκ.] δὲ ἀκ. V: cf 22* ‖ *ὁ om V: cf 17; 22; 125, 3; 126, 11; 18; 118, 14* ‖ *καὶ om B: cf 22* ‖ [12] *αὐτῷ om V* ‖ [16] *utroque loco scr Ἀνδρέαν?* ‖ *παῦσον B* ‖ *τοῦ λειποῦ τύπτοντα V* ‖ [17] *αὐτῷ ⟨ὁ⟩? cf 10* ‖ [18] *οὖν om V* ‖ *ἵνα] scr ἆρα?* ‖ [19] *ἢ om B* ‖ [20] *ὁ om B: cf 118, 14* ‖ *ἐγὼ om B* ‖ *ῥ. σοι V* ‖ [21] *κάμιλον BV constanter: cf 124, 22ss* ‖ *τριπήματος (ι ex υ rasura effectum?) V (cf codd N T ap Luc): scr τρυπήματος?? cf 26; 124, 16* ‖ *ne scr διελθεῖν: cf 26; 125, 17; 18; 20; 22* ‖ *πλούσιος V* ‖ [22] *ὁ om V: cf 10* ‖ [23] *scr ἔτι? cf 10* ‖ *κ. θ. om V* ‖ [24] *τοῦ ante Ἀ. et ante Π. om V* ‖ [25] *οὕτως om V* ‖ *μέγας om V: cf 125, 4* ‖ *εἶ om B* ‖ *πλείων B* ‖ [27] *δείξῃ V* ‖ *τὸ om B* ‖ *τὸν om V* ‖ [28] *σου] ὃν σὺ κηρίττης V* ‖ *δὲ om V* ‖ [29] *scr τιμωρηθήσῃ?*

15 *Ταῦτα δὲ ἀκούσας ὁ Πέτρος ἐλυπήθη λίαν, καὶ σταθεὶς καὶ ἐκτείνας τὰς χεῖρας εἰς τὸν οὐρανὸν προσηύξατο λέγων· Δέσποτα κύριε ὁ θεὸς ἡμῶν, ἐπάκουσόν μου τῇ ὥρᾳ ταύτῃ. ἀγρεύσω γὰρ ἡμᾶς ἐκ τῶν σῶν λόγων. οὐ γὰρ προφήτης εἶπεν ταύτην τὴν διασάφησιν αὐτοῦ ἀπαγγέλλων, οὐδὲ πάλιν πατριάρχης, ἵνα μάθωμεν ταύτην τὴν ἑρμηνείαν· καὶ νῦν ζητοῦσιν παρ' ἡμῶν τὴν τοιαύτην διασάφησιν μετὰ παρρησίας. σὺ οὖν δέσποτα μὴ παρίδῃς ἡμᾶς· σὺ γὰρ εἶ ὁ ὑμνούμενος ὑπὸ τῶν χερουβίμ.*

16 *Ταῦτα δὲ αὐτοῦ εἰπόντος ἐφάνη ὁ σωτὴρ ἐν μορφῇ παιδίου δωδεκαετοῦς φοροῦν ὀθόνιον ἔχων ὁμαλὴν ἔσωθεν καὶ ἔξωθεν· καὶ λέγει αὐτοῖς· Θαρσεῖτε καὶ μὴ πτοεῖσθε οἱ ἐκλεκτοί μου μαθηταί· ἐγὼ γάρ εἰμι μεθ' ὑμῶν πάντοτε· ἐνεχθήτω δὲ ἡ ῥαφὶς καὶ ὁ κάμηλος. Καὶ ταῦτα εἰπὼν ἀνῆλθεν εἰς τοὺς οὐρανούς. πανταπώλης δέ τις ἦν ἐν τῇ πόλει πιστεύσας τῷ κυρίῳ διὰ Φιλίππου τοῦ ἀποστόλου· καὶ ἀκούσας ταῦτα δραμὼν ἐζήτησεν ῥαφίδα ἔχουσαν μεγάλην τρυμαλιάν, χάριν παρέχων τοῖς ἀποστόλοις. Τότε μαθὼν ὁ Πέτρος λέγει αὐτῷ· Τέκνον μὴ ζήτει μεγάλην ῥαφήν· οὐκ ἀδυνατεῖ γὰρ τῷ θεῷ ἡμῶν πᾶν ῥῆμα· ἀλλὰ μᾶλλον φέρε ἡμῖν λεπτὴν ῥαφήν.*

17 *Τῆς δὲ ῥαφῆς ἐνεχθείσης καὶ παντὸς τοῦ πλήθους τῆς πόλεως ἱσταμένων πρὸς θεωρίαν, ἀναβλέψας ὁ Πέτρος εἶδεν κάμηλον ἐρχομένην· εἶπεν δὲ ἐνεχθῆναι αὐτήν. τότε ἔπηξεν τὴν ῥαφίδαν εἰς τὴν γῆν καὶ κράξας φωνῇ μεγάλῃ εἶπεν· Ἐν ὀνόματι τοῦ σταυρωθέντος Ἰησοῦ Χριστοῦ ἐπὶ Ποντίου Πιλάτου κελεύω σοι κάμηλε ἵνα εἰσέλθῃς διὰ τρυμαλιᾶς τῆς ῥαφίδος. Τότε ἡ τρύπη τῆς ῥαφίδος ἠνοίχθη ὡς πύλη καὶ διῆλθεν*
166 T *δι' αὐτῆς ὁ κάμηλος· καὶ πᾶς ὁ | ὄχλος ἐθεώρει. πάλιν λέγει*

[17] cf Luc 1, 37

---

[1] *δὲ om V: del? cf 123, 10* ‖ *καὶ om V* ‖ [3] *τὴν ὥραν ταύτην V* ‖ [4] *ἄγρευσον V ἀγρεύσουσιν Tischendorf: scr ἀγρεύσωσιν?? ἀγρεύσονται?? ἀγρεύουσιν? cf 6* ‖ [4–5] *scr εἶπεν ταῦτα ἵνα τ. δ. α. ἀπαγγέλλωμεν?* ‖ [4] *ἀπαγγέλων V: scr ἀπ' ἀγγέλων???* ‖ [6] *παρ' om V* ‖ [6–7] *ταύτην τὴν διασ. ἡμ. (om παρ') V* ‖ [10] *φορῶν V* ‖ *ὀθόνην (i e ὀθόνιν?) V* ‖ [10–11] *ἔχων - ἔξ. om B* ‖ [10] *scr ὀθόνην ὁμαλὴν (del ἔχων)??* ‖ [11] *πτοηθῆται V* ‖ [13] *δὲ om B* ‖ [14] *παντέπολις B πατάπιος V correxit Tischendorf: scr παντοπώλης?* ‖ [16] *ῥαφήδην (i e ῥαφίδιν cf 125, 5; 7) B: scr ῥαφὴν?? cf 18; 125, 11; 13 ῥαφίδαν Tischendorf fort recte: cf 23; 125, 5* ‖ *ἔχ. om V* ‖ [17] *τότε] τούτω V* ‖ *αὐτῷ om B* ‖ [18] *ῥαφίδα V* ‖ *γὰρ om V (cf 119, 1): scr παρὰ? γὰρ ⟨παρὰ?⟩* ‖ [19] *ἡμῶν om B* ‖ *λεπτῇ ῥαφίδα V* ‖ [21] *ἱσταμένους V: cf 122, 17; 123, 2* ‖ [21–23] *ὁ Π. - κράξας] εἰς τὸν οὐρανὸν V* ‖ [23] *εἶπεν μεγ. τῇ φ. V* ‖ [24] *ἰησ. χρ. τ. στ. V* ‖ [25] *διὰ ⟨τῆς⟩?* ‖ [26] *ῥαφῆς V* ‖ [27] *ὁ] ἡ V: cf 125, 1; 2; 15; 19; 22 sed etiam 126, 15*

ὁ Πέτρος τῷ καμήλῳ· Εἴσελθε πάλιν διὰ τῆς ῥαφίδος. Καὶ εἰσῆλθεν πάλιν δεύτερον ὁ κάμηλος.

18 *Ταῦτα ἰδὼν ὁ Ὀνησίφορος λέγει τῷ Πέτρῳ· Ἀληθῶς μέγας μάγος εἶ σύ· ἐγὼ γὰρ οὐ πιστεύω εἰ μὴ ἐγὼ πέμψω καὶ φέρω ῥαφίδιν καὶ κάμηλον. Καὶ προσκαλεσάμενος ἕνα ἐκ τῶν παίδων αὐτοῦ λέγει αὐτῷ λαθραίως· Πορεύθητι καὶ φέρε μοι ὧδε κάμηλον καὶ ῥαφίδιν· εὑρὲ δὲ καὶ γυναῖκα μεμιασμένην, καὶ αὐτὴν ἐπιβιβάσας ἔνεγκε ὧδε, καὶ χοίρινον κρέας. οἱ γὰρ ἄνδρες οὗτοι μάγοι εἰσίν. Μαθὼν δὲ ὁ Πέτρος τὸ μυστήριον διὰ τοῦ πνεύματος λέγει τῷ Ὀνησιφόρῳ· Ἄνθρωπε βαρυκάρδιε πέμψον, φέρε τὸν κάμηλον καὶ τῆν γυναῖκαν καὶ τὴν ῥαφὴν σὺν τῷ κρέατι.*

19 *Ὡς δὲ ἤνεγκαν αὐτὰ λαβὼν πάλιν ὁ Πέτρος τὴν ῥαφὴν ἔπηξεν εἰς τὴν γῆν σὺν τῷ κρέατι· ἡ δὲ γυνὴ ἦν καθεζομένη ἐν τῷ καμήλῳ. τότε λέγει ὁ Πέτρος· Ἐν τῷ ὀνόματι τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ ἐσταυρωμένου κελεύω σοι κάμηλε ἵνα εἰσέλθῃς διὰ τῆς ῥαφίδος ταύτης. Εὐθέως δὲ ἠνοίχθη τῆς βελόνης ἡ τρύπη καὶ ἐγένετο ὡσεὶ πύλη, καὶ εἰσῆλθεν δι᾽ αὐτῆς ὁ κάμηλος. Λέγει πάλιν ὁ Πέτρος τῷ καμήλῳ· Εἴσελθε πάλιν δι᾽ αὐτῆς, ὅπως ἴδωσιν πάντες τὴν δόξαν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὅπως πιστεύσωσίν τινες εἰς αὐτόν. Τότε εἰσῆλθεν πάλιν ὁ κάμηλος διὰ τῆς βελόνης.*

20 *Ἰδὼν δὲ Ὀνησίφορος ἐβόησεν φωνὴν μεγάλην λέγων· Ἀληθῶς μέγας ὁ θεὸς Πέτρου καὶ Ἀνδρέου, κἀγὼ ἀπὸ τοῦ νῦν πιστεύω εἰς τὸ ὄνομα τοῦ κυρίου ὑμῶν Ἰησοῦ Χριστοῦ. νῦν οὖν ἄκουσον τῶν ῥημάτων μου ὦ Πέτρε. ἔχω τοίνυν ἀρούρας, ἀμπέλους καὶ ἀγρούς· ἔχω δὲ καὶ εἴκοσι ἑπτὰ λίτρας*

---

[1] *τ. κ.] πρὸς τὸν κάμιλον V ‖ δ. τ. ῥ.] διαὐτῆς δεῦτερον V: cf 2? ‖* [2] *πάλ. εἰσ. ὁ κ. διὰ τῆς ῥαφῆς δεύτ. V ‖ ὁ om V: cf 123, 10 ‖* [4] *σύ om B ‖ εἰ] ἡμῖν ἐὰν V ‖ ἐγὼ om V ‖ πέψω V: cf 11 ‖* [5] *καὶ om V ‖ εἰσφέρουσιν V: cf 11 ‖ ῥαφίδην B ῥαφίδι V ῥαφίδαν Tischendorf fort recte: cf 7; 124, 16 ‖ ἐκ om V: cf 120, 22; 121, 14; 19; 29 ‖* [6] *προπορεύθητι V ‖ ἔνεγγέ V ‖* [7] *ῥαφίδην B ῥαφίδι V ῥαφίδαν Tischendorf fort recte: cf 5 ‖ μεμιαμένην B ‖* [8] *κ. α. ἐπ. om V ‖ ἔνεγγε V ‖ κ. χ. κρ. om B ‖* [9] *τὸ μυστ. om V: del? ‖* [10] *ἄ. βαρ. om B ‖* [11] *πέψον V: cf 4 ‖ <καὶ> φ.? cf 5 ‖ τὴν B: cf 124, 27 ‖ κ. τ. γ. om V ‖ scr γυναῖκα? ‖ ῥαφίδα V ‖* [12] *σὺν τ. κρ. om B ‖* [13] *αὐτὰ om B: del? ‖ πάλιν om B ‖ ῥαφίδα V ‖* [14] *σὺν τ. κρ. om B ‖ καθημένη V: cf 1, 5 ‖* [16] *σταυρωθέντος V ‖* [17] *εὐθ. δὲ] καὶ εὐθ. V ‖* [18] *ἡ τρ. τ. βελ. V ‖ ὃς ἡ B (ὡς ἡ Tischendorf) ὡς V ‖ εἴσελθεν B ‖* [21] *ὅπως] καὶ V: cf 120, 1; 122, 22 ‖ τινες om V ‖* [23] *δὲ <ὁ>? cf 123, 10 ‖ ἀνευόησεν V ‖ φ. μεγ. om B: scr φωνῇ μεγάλῃ? ‖* [24] *μέγας om B ‖* [25] *ὑμ. om V: scr ἡμῶν??? del?? ‖* [26] *οὖν om V ‖* [27] *κβʹ V*

χρυσίου καὶ πεντήκοντα λίτρας ἀργυρίου· ἔχω δὲ καὶ ἀνδράποδα πάμπολλα. παρέχω τοῖς πτωχοῖς τὰ ὑπάρχοντά μου, καὶ τοὺς δούλους μου ἐλευθερώσω, ὅπως καὶ ἐγὼ ποιήσω ἓν θαῦμα ὡς καὶ ὑμεῖς. Λέγει αὐτῷ ὁ Πέτρος· Ἐὰν θέλῃς, καὶ σὺ ποιήσεις ἐν τῷ ὀνόματι τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

21 Ὁ δὲ Πέτρος ἦν λυπούμενος μή ποτε οὐκ ἐνεργήσουσιν αὐτῷ αἱ δυνάμεις, ἐπειδὴ οὐκ ἦν λαβὼν τὴν ἐν Χριστῷ σφραγῖδα. ταῦτα δὲ αὐτοῦ ἐνθυμουμένου ἰδοὺ φωνὴ ἐκ τοῦ οὐρανοῦ
167 T λέγουσα πρὸς αὐτόν· | Κέλευσον ποιῆσαι αὐτὸν ὅσα θέλει, ὅθεν πληροφορῶ αὐτὸν ὡς βούλεται. Λέγει αὐτῷ ὁ Πέτρος· Τέκνον δεῦρο· καὶ σὺ ποίησον ὡς καὶ ἡμεῖς. Προσελθὼν δὲ ὁ Ὀνησίφορος ἵσταται ἔμπροσθεν τοῦ καμήλου καὶ τῆς ῥαφίδος, καὶ εἶπεν· Ἐν τῷ ὀνόματι τοῦ κυρίου Ἰησοῦ Χριστοῦ καὶ τῶν ἀποστόλων αὐτοῦ κελεύω σοι κάμηλε εἰσελθεῖν διὰ τῆς ῥαφίδος. Καὶ εὐθέως ἡ κάμηλος εἰσῆλθεν ἕως τραχήλου, καὶ ἐστάθη. καὶ ἀποκριθεὶς εἶπεν· Διὰ τί οὐκ εἰσῆλθεν εἰ μὴ ὁ τράχηλος αὐτοῦ μόνον; Καὶ ἀποκριθεὶς ὁ Πέτρος εἶπεν αὐτῷ· Ἐπειδὴ οὐκ ἐβαπτίσθης εἰς τὸ ὄνομα τοῦ Χριστοῦ. Ἀπεκρίθη Ὀνησίφορος καὶ εἶπεν αὐτῷ· Οὐ χρείαν ἔχω ζητῆσαι περὶ θαυμασίων· πιστεύω γὰρ ἀληθῶς εἰς τὸ ὄνομα τοῦ Χριστοῦ· νῦν οὖν Πέτρε εἴσελθε εἰς τὸν οἶκόν μου καὶ ἀναπαύου. Εἰσελθόντων δὲ αὐτῶν ἐβαπτίσθησαν ἐν τῇ νυκτὶ ἐκείνῃ ψυχαῖς χιλίαις.

22 Τῇ δὲ ἐπαύριον μαθοῦσα ἡ γυνὴ ἡ πόρνη τὰ γινόμενα ἔλεγεν· Ὦ πῶς οὐκ ἐγενόμην ἀξία πιστεῦσαι μετὰ πάσης τῆς πόλεως; πάντα γὰρ τὰ ὑπάρχοντά μου δίδωμι τοῖς πτωχοῖς καὶ τὸν οἶκόν μου μοναστήριον παρθένων. Ταύτην δὲ τὴν ἀγαθὴν συνταγὴν ἀκούσας ὁ Πέτρος ἐξῆλθε πρὸς αὐτὴν καὶ λέγει αὐτήν· Γύναι, κελεύει ὁ δεσπότης Χριστὸς ἵνα κατέλθῃς ἐκ τοῦ ἀέρος. Παραχρῆμα δὲ κατῆλθεν εἰς τὴν γῆν μηδὲν βλαβεῖσα. τότε τὸν οἶκον αὐτῆς διὰ τῶν χειρῶν τῶν ἀποστόλων διεδίδου

---

[1] *καὶ alt om B* ‖ *τετράποδα πολλὰ πάντα V* ‖ [2] *τὰ ὑπ. μου om V* ‖ [2–3] *καὶ - ἐλ. om B: del?* ‖ [3] *ὅπως] ἐὰν V* ‖ *κ. ἐγ. om V* ‖ [4] *λέγει - Π. om B* ‖ [5] *post Χρ. mirum ni aliquot Onesiphori uerba interciderunt* ‖ [6] *ἐνεργοῦσιν B* ‖ [7] *αὐτῷ om V* ‖ [9] *κέλ.] κελεύω σοι Tischendorf* ‖ *ποίησον αὐτῷ B* ‖ *ὅσον V* ‖ [10] *πληροφορῶν V* ‖ [11] *καὶ om B* ‖ *σοὶ V om B* ‖ *ὁ] καὶ V* ‖ [12] *ἵστατο V* ‖ *τοῦ] τῆς B: cf 124, 27* ‖ *καὶ alt] καὶ εὐθέως V: cf 15* ‖ [13] *τῷ om B* ‖ [13]–127,[9] *(ὀ)νόματι - ἀμήν scheda rescissa desunt B*

V [15] *ἡ] scr ὁ? cf 17; 124, 27* ‖ [18] *⟨ὁ⟩ Ὀν.? cf 123, 10* ‖ [22] *scr ψυχαὶ? χιλ|||εσ||| (σ ex π?) V: scr χίλιαι?* ‖ [23] *scr γενόμενα? cf 120, 27; 123, 5* ‖ [26] *⟨ποιῶ⟩ παρθ.? cf 127, 2* ‖ [28] *scr αὐτῇ? cf 120, 7* ‖ [30] *τ. οἶκ.] scr τὰ ὑπάρχοντα? cf 25 et 127, 2*

τοῖς πτωχοῖς, χρυσίου λίτρας τέσσαρες καὶ πλήθους ἱματισμούς· τὸν δὲ οἶκον αὐτῆς ἐποίησε μοναστήριον παρθένων.

23 Οἱ δὲ ἀπόστολοι τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐθέσπισαν ἐκκλησίαν Χριστοῦ τοῦ θεοῦ ἡμῶν, πάντας τοὺς πιστεύοντας εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. καὶ χειροτονήσαντες ἐπίσκοπον καὶ πρεσβυτέρους καὶ διακόνους παρέθεντο αὐτοὺς τῷ θεῷ εἰς ὃν ἐπίστευσαν. αὐτῷ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

---

1 scr τέσσαρας? ‖ scr πλῆθος ἱματισμοῦ? an del χρ. - ἱμ.? cf 125, 27 ‖ 4 ἐθέσπ.] nescio quid corr v ‖ ἡμῶν ⟨καὶ ἐβάπτισαν⟩?

Passio sancti Bartholomaei apostoli.

1 (I *Nau.*) (1 *Boll.*) Indiae tres esse ab historiographis adseruntur. prima est India quae ad Aethiopiam mittit, secunda quae ad Medos, tertia quae finem facit: nam ex uno latere tenebrarum regionem gerit, ex alio latere mare oceanum. in hac ergo India ingressus est Bartholomaeus apostolus. ingressus est

243 T

Μαρτύριον τοῦ ἁγίου καὶ ἐνδόξου ἀποστόλου Βαρθολομαίου.

1 *Τὴν Ἰνδίαν εἰς τρία μέρη οἱ ἱστοριογράφοι διαιρεῖσθαι διαγορεύουσι· καὶ ἡ πρώτη μὲν λέγεται εἰς Αἰθιοπίαν καταλῆξαι, ἡ δὲ δευτέρα εἰς Ἡμιδίαν, ἡ δὲ τρίτη ἀποπεραίνει τὴν χώραν· καὶ ἡ μία μὲν μοῖρα καταλήγει εἰς τὴν σκοτεινήν, ἡ δὲ ἄλλη εἰς τὸν ὠκεανόν. ἐν ταύτῃ οὖν τῇ Ἰνδίᾳ εἰσελθὼν ὁ ἅγιος*

Γ	*B Bamberg Q VI 59 s XI*	*Δ*	*M Montipessul 55 s IX*
	W Wizanberg 48 s IX		*P Paris 18298 s IX*
	Q Paris 12604 s XII		*R Paris 17002 s X*
	Nau exemplum Nauseae (Coloniae 1531)		*S Paris 5273 s XII*
			C Bruxell 104 s XII

Praemittunt haec WQNau:

Incipiunt capitula de passione sancti Bartholomaei apostoli

I De fanis et indicium de apostolo
II De lunatica sanata
III De praedicatione apostoli ad regem
IIII De confessione daemonis et subuersione templi
V De passione apostoli
VI De episcopatu regis

sed Inc. - ap. *om W* ‖ Inc. *om Nau* ‖ de pass. s.] in passionem beati *Nau* ‖ *numeros* I-VI *om Q* ‖ indicio *Nau* ‖ *cap II et III item V et VI coniungit Nau*

[1] Passio] incipit passio *WQMPS* de passione et miraculis *B* ‖ apost.] sub die VIII kal sept *add W aliter alii* ‖ [2] apud historiographos *(M?)(R)S* ‖ dicuntur *NauMS* ‖ [3] India est *Nau* ‖ [5] *scr* gyrat?? ‖ hanc *ΓCNauSmr* ha///c (*eras* e?) *P* ‖ [6] indiam *BC NauSr del m om WQ* ‖ ingr. est] ueniens *Γ: del?* ‖ est *om P* ‖ ingr. est] ingresusque //// *R* /////////////// *M* et intrauit *C om P* autem *add Nau: cf 129, 2; 139, 13*

V Venetus Marc 362 anni 1279

[10] *Μηδίαν Tischendorf recte*

templum in quo erat idolum Astaroth et quasi peregrinus ibi manere coepit. in hoc idolo daemon talis erat qui diceret se curare languentes, sed hos sine dubio quos ipse laedebat. erant enim sine deo uero et necesse erat ut a deo falso ludificarentur. dii enim falsi hac arte inludunt eos qui uerum deum non habent: faciunt eis dolores infirmitates dampna pericula et dant responsa ut sacrificent eis, et quasi sanantur ab eis. hoc uidetur stultis quod sanent: illi autem non sanando subueniunt sed a laesione cessando, et cum desinunt laedere curasse putantur. (2) unde factum est ut sancto Bartholomaeo apostolo ibi manente nulla responsa daret Astaroth et nulli potuisset ex his quos laedebat subuenire. cumque iam plenum esset de

τοῦ Χριστοῦ Βαρθολομαῖος ὁ ἀπόστολος κατεσκήνωσεν εἰς τὸν ναὸν τοῦ Ἀσταροῦθ, καὶ διῆγεν ἐκεῖσε ὡς εἷς τῶν νεηλύδων καὶ πτωχῶν. ἐν τούτῳ οὖν τῷ ναῷ εἴδωλον ἦν, λεγόμενον Ἀσταροῦθ, ὡς νομίζειν ἰᾶσθαι τοὺς ἀσθενοῦντας, μᾶλλον δὲ ἐπὶ πλέον καταβλάπτειν πάντας. ἦν δὲ ὁ λαὸς ἐν ἀγνοίᾳ παντελεῖ θεοῦ τοῦ ἀληθινοῦ, καὶ ἐξ ἀπειρίας, μᾶλλον δὲ ἀπορίας, προσέφευγον ἅπαντες τῷ ψευδωνύμῳ θεῷ. ἐνέβαλε γὰρ αὐτοῖς πόνους, ἀσθενείας, ζημίας, ἀνάγκη τε καὶ θλῖψιν πολλήν· καὶ ὅστις αὐτῷ ἐθυσίαζεν, ὑπαναχωρῶν ὁ δαίμων ἐφαίνετο θεραπείαν παρέχειν τῷ κάμνοντι· καὶ ταῦτα βλέποντες οἱ ἀνόητοι ἐπίστευον εἰς αὐτόν. οἱ δαίμονες δὲ οὐ θεραπεῦσαι | 244 T βουλόμενοι τοὺς ἀνθρώπους ὑπανεχώρουν, ἀλλ' ὡς πλέον εἰς αὐτοὺς ἐπεμβαίνοντες, μᾶλλον δὲ δι' ὅλου αὐτοὺς κατέχοντες· καὶ νομίζοντες ἰαθῆναι σωματικῶς, κατὰ ψυχὴν πλέον ἐνόσουν αὐτοῖς θυσιάζοντες. ἐγένετο δὲ ἐν τῷ τὸν ἅγιον ἀπόστολον τοῦ Χριστοῦ Βαρθολομαῖον ἐκεῖσε προσμείναντα οὐδεμίαν ἀπόκρισιν δοῦναι τὸν Ἀσταροῦθ οὔτε εἰς τῶν θεραπείαν. ὡς δὲ πλήρης ἦν τῶν

[1] templum] indiae *add BW* ‖ id.] nomine *add C* ‖ astaruth *M* astharoth *P* astharot *R fere constanter* ‖ [2] hoc] autem *add NauRS* ‖ [3] sed hos] sed eos *Q* caecos *BWC(M)RS* ‖ sine] procul *Nau* ‖ laed.] illuminare *add BWC(M)RS* uidebatur laedere *Nau* ‖ [4] uero] homines illi *add Γ* ‖ et] ideo *add Nau* ‖ [5] deus *BWΔ: cf 6 ss* ‖ autem *ΓR* ‖ fals///s (u *in ras*) *W* falsus *BΔ* ‖ inludit *BWΔ* ‖ [6] facit *BWΔ* inferunt *Nau* ‖ dat (*W ex corr*) *Δ* ‖ [7] ei/// *M* ei *WPRS* ‖ et *om QC* ‖ sanentur *ΓCmpR* ‖ eo *B* (*W in ras*) *CmPS* et *add C* ‖ [8] sanet *P* (*m in ras*) eos *add CPm* ‖ ille *Cm* ‖ subu. *post* cessando *Nau* subueni/////t *M* subuenit *C* ‖ [9] desinit *Cm* ‖ curare *BNauR* ‖ puta///t *M* putatur *C* creduntur *P* ‖ [11] poterat *ΓΔ: cf 144, 3* ‖ [12] laeserat *ΓMPRS* ‖ de] ////// *R om ΓNau*

[19] *scr ἐνέβαλλε?* ‖ [20] *ἀνάγκην Tischendorf recte* ‖ [28] *προσμεῖναι idem* ‖ [29] *εἰς τῶν] ἰσχῦσαι εἰς τὴν idem: εἰς τῶν <καμνόντων ἔλαβε>?* ‖ *πλῆρες Tischendorf*

languentibus templum, et cottidie sacrificantibus nullum daret Astaroth responsum, infirmi autem ex longinquis regionibus adducti iacebant, sed cum in ipso templo nullum posset daemon dare responsum, et neque sacrificando neque se ipsos more suo laniando proficerent, perrexerunt in aliam ciuitatem, ubi aliud daemon colebatur, cui nomen erat Beireth, et illic sacrificantes coeperunt inquirere quare deus eorum Astaroth non eis daret responsa. (3) respondens autem Beireth dixit: Deus uester sic captiuus et religatus catenis igneis strictus tenetur ut neque suspirare audeat neque loqui ex illa hora qua ibi apostolus dei Bartholomaeus ingressus est. Dicunt ei: Et quis est iste Bartholomaeus? Respondit daemon et dixit: Amicus est dei omnipotentis et ideo huc uenit in istam prouinciam ut omnia

ἀσθενούντων τὸ τέμπλον καὶ καθ᾽ ἡμέραν αὐτῷ θυσιαζόντων οὐδεμίαν ἀπόκρισιν ἴσχυε δοῦναι ὁ Ἀσταροῦθ, οἱ ἀσθενεῖς δὲ ἐκ μακρόθεν τῶν χωρῶν προσερχόμενοι ἐκεῖσε κατέκειντο· ὡς οὖν ἐν ἐκείνῳ τῷ ναῷ οὔτε ἓν τῶν εἰδώλων ἴσχυεν ἀνταποκρίνεσθαι, οὔτε αὐτοῖς θυσιαζόντων οὔτε μέχρι θανάτου ὑπὲρ αὐτῶν ἀγωνιζομένων οὐδὲν ἦν ὄφελος, ἠναγκάσθησαν πορεύεσθαι εἰς ἄλλην πόλιν, ὅπου ἦν ναὸς εἰδώλων, ἔνθα ὁ μέγας καὶ ἐξοχώτατος αὐτῶν θεὸς ἐλέγετο Βεχήρ· κἀκεῖσε θυσιάσαντες ἐπεζήτουν διερωτῶντες διὰ τί ὁ θεὸς αὐτῶν Ἀσταροῦθ οὐκ ἀποκρίνει αὐτοῖς. ἀπεκρίθη δὲ ὁ δαίμων Βεχὴρ καὶ λέγει αὐτοῖς· Ὁ θεὸς ὁ ἀληθινὸς ὁ ἐν οὐρανοῖς κατοικῶν ἀφ᾽ ἧς ἡμέρας καὶ ὥρας ἀπέστειλε τὸν ἀπόστολον αὐτοῦ Βαρθολομαῖον ἐν τοῖς ἐνθάδε ὁρίοις, κρατεῖται ὁ θεὸς ὑμῶν Ἀσταροῦθ ἐν πυρίναις ἁλύσεσι, καὶ οὔτε εἰπεῖν οὔτ᾽ ἀναπνεῖν ἔτι δύναται. Λέγουσιν ἐκεῖνοι· Καὶ τίς ἐστιν οὗτος ὁ Βαρθολομαῖος; Ἀπεκρίθη ἐκεῖνος· Φίλος ἐστὶ θεοῦ τοῦ παντοδυνάμου, καὶ ἀρτίως ἦλθεν εἰς τὰ

---

[2] resp. adstaroth *R* (*sed corr*) (*Nau*) ‖ inf. a.] infirmitate (autem *add C*) cogente *CRSm* ‖ [3-4] sed cum - s. neque *om Nau* ‖ in ipso - resp. et *om Γ* ‖ [3] ipsum templum *M fort recte* ‖ [3-4] dare d. *C* ‖ [4] more s.] prae dolore *Nau om B* ‖ [5] laniendo *M* laniantes *Nau* ‖ prof.] aliquam sanitatem consequi potuissent *C om NauMPRS* (*fort e coniectura Γ*) ‖ [5-6] demonium aliud *B* ‖ [5] aliu/// *M* s *in ras m* alius? aliud? *R* ‖ [6] daemonium (*Γ*)*CPRS* ‖ beiret *B* berit *C* bierith *M* he///r////h *P* beherit *R* berith *NauS: cf lib Iudicum 9, 46* ‖ et illic] cui *Nau* ‖ [8] bierith *M* he///rech? he///reth? *P* beherit *R* berith *NauCS* ‖ dixit] quia *add ΓP*(*R*) ‖ [9] captus *Nau* ‖ cat. i. *om Γ* ‖ constrictus *P* (*cf 133, 8*) *om ΓNau* ‖ nec *Nau* ‖ [10] aud. *post* loqui *ΓPR: cf 131, 7; 12; al* ‖ nec *Nau* ‖ [11] ingr. *om Γ* ‖ dicunt] ergo *add Nau* ‖ ei] illi *ΓPR: cf 131, 1; 133, 11* ‖ [12] respondens *P: cf 131, 4; 132, 15* ‖ et *om ΓCPRS* ‖ dixit *om ΓCRS* ‖ [13] ista prouincia *WQMR corr wqmr: an ita scr?* ‖ omnia *om Γ*

numina quae colunt Indi euacuet. (4) Dixerunt autem cultores idoli: Dic nobis signa eius, ut possimus inuenire eum, quia inter multa milia hominum non possumus cognoscere eum.

2 Respondit daemon et dixit: Capilli capitis nigri et crispi, caro candida, oculi grandes, nares aequales et directae, aures coopertae crine capitis, barba prolixa habens paucos canos, statura aequalis quae nec longa possit nec breuis aduerti. uestitur colobio albo clauato purpura, induitur pallio albo per singulos angulos habentem singulas gemmas purpureas. XX et VI anni sunt quod numquam sordidantur uestimenta eius, numquam ueterescunt. similiter et sandalia eius amentis latis per XXVI annos numquam ueterescunt. centies flexis genibus per diem, centies per noctem orat deum. uox eius quasi tuba

μέρη ταῦτα ἵνα πᾶσαν τὴν προσκύνησιν τῶν εἰδώλων ἐν τῷ ὀνόματι τοῦ θεοῦ αὐτοῦ προσφέρῃ. Λέγουσι δὲ αὐτῷ οἱ θεράποντες τῶν Ἑλλήνων· Λέγε ἡμῖν τὰ σύσημα αὐτοῦ, ὅπως δυνοίμεθα ἐφευρεῖν αὐτόν. |

2 *Ἀπεκρίθη ὁ δαίμων καὶ εἶπεν· Ἔστι μαυρότριχος, δασυκέφαλος, ἀσπρόσαρκος, μεγαλόφθαλμος, καλόρινος, ὦτα κεκαλυμμένα ἔχων ἐκ τῶν τριχῶν τῆς κεφαλῆς, ξανθογένειος, ἔχων πολιὰς ὀλίγας, μέσης ἡλικίας, καὶ οὔτε μακρὸς οὔτε κονδοήλικος ἀλλὰ μέσος, ἐνδεδυμένος κολόβιον ἄσπρον συγκεκλεισμένον πορφύρᾳ, ἔχων ἐπὶ τοὺς ὤμους πάλλιον ἔξασπρον· εἴκοσι καὶ ἓξ ἐτῶν εἰσι καὶ οὔτε ῥύπον ἔχουσι τὰ ἱμάτια αὐτοῦ οὔτε παλαιοῦνται· ἑπτάκις τῆς ἡμέρας κλίνει γόνυ πρὸς κύριον καὶ ἑπτάκις τῆς νυκτὸς προσεύχεται πρὸς τὸν θεόν. ἡ φωνὴ αὐτοῦ ὡς φωνὴ σάλπιγγος ἰσχυρᾶς ὑπάρχει· πορεύονται σὺν αὐτῷ* 245 T

[1] num.] uana idola *NauR* ‖ q. c. I.] Indiae *Nau* ‖ coluntur *R* ‖ indi/// *M* in india *R* ‖ [1–2] dix. - id.] dicunt illi *Nau: cf 130, 11* ‖ [3] cogn.] inuenire *CMS* ‖ [4] resp.] respondens autem *ΓMPRS* respondit *m: cf 130, 12* ‖ et *om ΓMPRS add m* ‖ [4] capillo nigro capitis *ΓMPR* capilli nigri (*rasura*) *m* ‖ n. cap. *S* ‖ crispo *ΓR* ‖ [5] grandes - aures] //////// *M* ‖ grandes] et *add Nau* ‖ [6] pauc. hab. *Nau* ‖ *del* habens?? *cf 9* ‖ [7] n. l. n. br. p. *WNau* n. br. n. l. p. *BQ: cf 130, 10* ‖ [8] uestitus *BW(Q?) corr w* ‖ per] habens per *C* ‖ [8–9] per s. hab. ang. *in rasura multo breuiore m* ‖ [9] ang. *om W* ‖ singulas habe/// (nte *sup scr p*) *post* purp. *P* ‖ habens *Q om BWCRS: del? cf 6; 145, 14; 146, 9; sed 146, 7 Q!* ‖ singulas *om NauCS* ‖ uiginti *BQNau CPRS* ‖ [10] et *om ΓP* ‖ sex *BQCPRS* ‖ quod *om ΓM* (*add m*) *R: del??* ‖ sordidata sunt *PS* ‖ [11] n. uet. *om C* ‖ ueterascunt *NauS: cf 12* ‖ [11–12] sim. - uet. *om M partim add m* ‖ [11] sim. *om NauC* ‖ am. l. *om NauCPRS* ‖ ammentis *Q* ‖ [12] per - numq. *om C* ‖ uiginti sex *QNau* XX et sex *R* uiginti et sex *S* uiginti *P* sex *add p* XXVII *B* ‖ ueterascunt *NauS: cf 11* idem ¡taque Bartholomaeus *add Nau: cf 133, 7* ‖ [12–13] p. d. fl. g. *Nau* ‖ [13] dominum *NauS*

[15] *προσαφαίρῃ Tischendorf* ‖ [16] *scr σύσσημα?*

uehemens est. (5) ambulant cum eo angeli dei qui non eum permittunt fatigari, non esurire. semper eodem uultu, eodem animo perseuerat. omni hora hilaris et laetus permanet, omnia prouidet, omnia nouit, omnem linguam omnium gentium et loquitur et intellegit. ecce et hoc quod uos interrogastis et quod ego do responsum de eo iam nouit: angeli dei famulantur ei et ipsi nuntiant ei. et cum coeperitis eum quaerere, si uult, ostendet se uobis, si non uult, non poteritis uidere eum. (6) rogo autem uos ut dum eum inueneritis rogetis eum ut huc non ueniat et hoc mihi faciant angeli qui cum eo sunt quod fecerunt collegae meo Astaroth.

3 Et haec dicens daemon conticuit. reuertentes autem coeperunt circuire omnium peregrinorum uultus et habitus et per duos dies non inuenerunt eum. factum est autem ut quidam plenus daemonio clamaret et diceret: Apostole dei Bartholomaee, incendunt me orationes tuae. Tunc apostolus

ἄγγελοι τοῦ θεοῦ, οἵτινες οὐκ ἀφίουσιν αὐτὸν κοπιᾶσαι οὔτε πεινᾶσαι οὔτε διψῆσαι· πάντοτε τὸ πρόσωπον αὐτοῦ καὶ ἡ ψυχὴ καὶ ἡ καρδία ἱλαρύνεται καὶ ἀγάλλεται· πάντα προβλέπει, πᾶσαν γλῶσσαν παντὸς ἔθνους διαγινώσκει καὶ διαλέγεται. καὶ ἰδοὺ νῦν ἐξ οὗ διερωτᾶτέ με κἀγὼ ἀνταποκρίνω ὑμῖν περὶ αὐτοῦ, ἰδοὺ γινώσκει· ἄγγελοι γὰρ κυρίου εὐαγγελίζονται αὐτῷ. καὶ | 246 T *ὃς ἐὰν θελήσητε αὐτὸν ἀναζητῆσαι, εἰ μὲν θελήσει, φανεροῦται ὑμῖν· εἰ δὲ μὴ θελήσει, οὐ δύνασθε αὐτὸν εὑρεῖν. παρακαλῶ οὖν ὑμᾶς, ἐὰν αὐτὸν εὑρήσητε, παρακαλέσατε αὐτὸν ἵνα μὴ ἐνθάδε ἔλθῃ, μή πως οἱ ἄγγελοι αὐτοῦ ποιήσουσί μοι καθὼς ἐποιήσασι τῷ ἀδελφῷ μου Ἀσταροῦθ.*

3 *Καὶ ταῦτα εἰπόντος τοῦ δαίμονος ἡσύχασεν. ὑποστρέψαντες δὲ ἐπεχείρησαν ἐπιζητῆσαι πᾶν πρόσωπον τῶν νεηλύδων καὶ πτωχῶν ἀνθρώπων, καὶ ἕως δύο ἡμερῶν οὐδαμοῦ ἠδύναντο εὑρεῖν αὐτόν. ἐγένετο δὲ ὄντα τινὰ δαιμονιζόμενον, ἐπεχείρησε κράζειν· Ἀπόστολε κυρίου Βαρθολομαῖε, κατακαίουσί με αἱ προ-*

1–2 perm. eum *ΓCMS* ‖ 2 fatigare *MP* ‖ non] nec *NauRS* (*m in ras*) ‖ esur.] non sitire *add cod Treuir*(?) *fort recte* ‖ 5 et (*post* ecce) *om Nau*(*M?*)*R* ‖ interrogatis *BCMS* ‖ 6 ang.] ang. enim *CMPS* et ideo iam ang. *R* quia ang. *Nau* ‖ 7 et *alt*] ipsi *add Nau* ‖ 8 ostendit *WQM: cf q s* ‖ eum uidere *BQCP* ‖ inuenire *RNau* ‖ 9 ut h. n.] ue/// (1 *eras*) huc/// *M* ne huc *Nau CmPR* ‖ ut] uel *add BQ* ‖ 10 et] ne *NauRS* neque *B* ‖ f. m. *Nau* ‖ 12 et - cont. *om Γ* ‖ obticuit *Nau* ‖ 13 circ.] et inquirere *add NauR* ‖ per.] hospitales atque aspicere *add Γ* ‖ uultum *W* ‖ habitum *ΓCM* singulorum *add Γ* ‖ 14 eum *om ΓCM: del?* ‖ autem] die tercia *add C* ‖ 15 et d.] dicens *Nau* ‖ dei *om BW: cf 133, 1*

23 ὡς *Tischendorf recte ut uid*

dei dixit ei: Obmutesce et exi ab eo. Et statim liberatus est homo qui per multos annos fuerat fatigatus ab eo.

(II) (7) Polymius autem rex prouinciae eius cum haberet filiam lunaticam, nuntiatum est de hoc daemonioso, et misit et rogauit eum dicens: Filia mea male uexatur. peto ut sicut liberasti Pseustium, qui per multos annos passus est, ita et filiam meam. Exsurgens autem perrexit cum eo adubi uidit eam apostolus catenis strictam, quia omnes morsu attrectabat et quos poterat tenere scindebat et caedebat et nullus ausus erat accedere ad eam. tunc apostolus iussit eam solui. dicunt ei ministri: Et quis ausus est manum mittere ad eam? Dicit eis apostolus: Iam ego uinctum teneo inimicum qui in ipsa

σευχαί σου. Τότε λέγει αὐτῷ ὁ ἀπόστολος· Ἡσύχασον καὶ ἔξελθε ἀπ᾽ αὐτοῦ. Καὶ αὐτῇ τῇ ὥρᾳ ἐλυτρώθη ὁ ἄνθρωπος ὁ ἐκ πολλῶν χρόνων πάσχων ἐκ τοῦ δαίμονος.

Πολύμιος δὲ ὁ βασιλεὺς τῆς χώρας ἐκείνης ἔλαχε στῆναι κατέναντι τοῦ ἀποστόλου, καὶ εἶχε θυγατέρα δαιμονῶσαν ἤγουν σεληνιαζομένην. ἤκουσε δὲ περὶ τοῦ ἰαθέντος δαιμονιζομένου, καὶ ἀπέστειλε πρέσβεις πρὸς τὸν ἀπόστολον λέγων· Ἡ θυγάτηρ μου κακῶς σπαράσσεται· παρακαλῶ οὖν σε ἵνα ὥσπερ ἐρρύσω τὸν πάσχοντα ἐκ πολλῶν τῶν χρόνων, οὕτω καὶ τὴν θυγατέρα μου λυτρωθῆναι κελεύσῃς. Ἐξεγερθεὶς δὲ ὁ ἀπόστολος ἐπορεύθη σὺν αὐτοῖς· καὶ βλέπει τὴν θυγατέρα τοῦ βασιλέως ἁλύσεσι δεδεμένην, ὅτι πάντα τὰ μέλη αὐτῆς διεσπάραττε· καὶ εἴ τις προσήγγιζεν αὐτῇ, κατήσθιε, καὶ οὐδεὶς ἐτόλμα προσεγγίσαι αὐτῇ. λέγουσιν αὐτῷ οἱ ὑπηρέται· Καὶ τίς ἐστιν ὁ ἀποτολμῶν προσψαῦσαι αὐτῇ; Ἀπεκρίθη αὐτοῖς ὁ ἀπόστολος· Λύσατε αὐτὴν| καὶ ἄφετε ὑπάγειν. Λέγουσιν αὐτῷ πάλιν· Ἡμεῖς δεδεμένην μετὰ 247 T *πολλῆς τῆς βίας περιγινόμεθα αὐτῆς, καὶ σὺ κελεύεις ἡμᾶς λυθῆναι αὐτήν; Λέγει αὐτοῖς ὁ ἀπόστολος· Ἰδοὺ ἐγὼ δεδεμένον κρατῶ τὸν ἐχθρὸν αὐτῆς, καὶ ὑμεῖς ἀκμὴν φοβεῖσθε αὐτήν; πο-*

---

[1] dei *om ΓCMPS: del?? cf 132, 15* ‖ obmutisce *Mpr* ‖ [3] polymi///us *Q* polimius *R* polemius *CS* polimnius *P* po///lemius (*eras* l) *M* ‖ ciuitatis *Nau PR* ‖ eiusdem *NauR* ipsius *C* (*fort uerum*) *om S* ‖ [4] lun.] atque demoniosam *add R* et ei *add Nau* ‖ est] ē///// *M* esset *Nau* ei *add BC* illi *add WQP RSm* ‖ et *prius om Q* ‖ [5] dicens] dic ei *add RS* ////////////// (*eras uid* dic ei) *add M* ‖ [6] per *om Nau* ‖ passus] cruciatus *Nau* ‖ [7] meam] liberes *add NauCm fort recte* libe////res *add R* sanes *add Γ* ‖ exs. - eo *om B* ‖ autem] itaque beatus Bartholomaeus *Nau: cf 131, 12* ‖ at ubi *ΓNauCP(R)S: cf 138, 3* ‖ *del* apostolus? ‖ [8] constrictam *WR: cf 130, 9* ‖ [9] pot.] uiderat *Nau* ‖ [10] tunc ap.] ////////////// *CMR om Nau* ‖ [11] ei m.] illi apostolo *Nau* ‖ ausus est] audet *Nau: cf 9* ‖ [12] ei *B(Q?)PNau* ‖ uictum *M* ‖ in] cum *Nau* ‖ ipso *MP*

[17] *δαιμονιῶσαν Tischendorf* ‖ [28] *δεδεμένης idem* ‖ [29] *λῦσαι idem*

erat, et uos adhuc timetis eam? ite et soluite eam et lauate et reficite eam et crastina mane adducite eam ad me. Euntes autem fecerunt sicut iussit apostolus et ultra eam penitus non potuit uexare daemon. (8) tunc rex onerauit camelos auro argento gemmis uestibus et coepit quaerere apostolum et penitus non inuenit eum. et reportata sunt omnia ad palatium eius.

4 Factum est autem cum transisset nox et aurora diei futurae inciperet, apparuit apostolus solus cum solo rege ostio clauso in cubiculo eius et dixit ei: Vt quid me quaesisti tota die cum auro et argento et gemmis et uestibus? ista munera eis sunt necessaria qui terrena quaerunt: ego autem nihil terrenum, nihil carnale desidero. unde scire te uolo quia filius dei dignatus est per uterum uirginis nasci cum homine, ita ut homo in uirginis uulua conceptus secum in ipsa secreta uirginis haberet deum qui fecit caelum et terram, mare et omnia quae in eis sunt. hic simul cum homine natus partu uirginis coepit

ρευθέντες λύσατε αὐτήν, καὶ μεταλαβοῦσαν τροφῆς ἄφετε αὐτὴν ἀναπαύεσθαι, καὶ αὔριον πρωίας ἀγάγετε αὐτὴν πρός με. Πορευθέντες δὲ ἐποίησαν καθὼς προσέταξεν αὐτοῖς ὁ ἀπόστολος· ἔκτοτε δὲ οὐκ ἴσχυσε προσεγγίσαι αὐτῇ ὁ δαίμων. τότε ὁ βασιλεὺς διεκόσμησε καμήλους χρυσῷ καὶ ἀργύρῳ, λίθοις τιμίοις, μαργαρίταις καὶ ἱματισμῷ, καὶ ἐπεζήτει ἰδεῖν τὸν ἀπόστολον· καὶ πολλὰ κοπιάσας καὶ μὴ εὑρὼν αὐτὸν ὑπέστρεψεν ἅπαντα εἰς τὸ παλάτιον αὐτοῦ.

4 *Ἐγένετο δὲ ἐν τῷ τῆς νυκτὸς παρελθεῖν καὶ διαφαούσης τῆς ἑξῆς, ἡλίου ἀνατείλαντος, ἐφάνη ὁ ἀπόστολος μόνος σὺν τῷ βασιλεῖ ἐν τῷ κοιτῶνι αὐτοῦ, καὶ λέγει αὐτῷ· Τί με ἐζήτησας ἐχθὲς δι' ὅλης τῆς ἡμέρας μετὰ χρυσοῦ καὶ ἀργύρου καὶ λίθοις τιμίοις, μαργαρίταις καὶ ἱματισμῷ; ταῦτα τὰ ξένια οὗτοι χρῄζουσιν οἵτινες τὰ ἐπίγεια ζητοῦσιν· ἐγὼ δὲ οὐδὲν ἐπίγειον, οὐδὲν σαρκικὸν ἐπιζητῶ. ὅθεν διδάξαι σε θέλω ὅτι ὁ υἱὸς τοῦ θεοῦ κατηξίωσεν ἐκ γαστρὸς παρθενικῆς γεννηθῆναι ὡς ἄνθρωπος· ἐν γαστρὶ τῆς παρθένου συνελήφθη, πρὸς ἑαυτὸν τὴν ἀεὶ παρθένον προσελάβετο, ἔχουσαν μεθ' ἑαυτῆς τὸν ποιήσαντα τὸν οὐρα-*

---

[1] et solu.] exsoluite *P* soluite *S* ‖ et l.] eleuate *BW* leuantes *Nau* eam *add MPR* (*de M cf ad 138, 3*) ‖ [2] et] ac *C om Nau* ‖ eam] |||||| *MP om CRS: del?* ‖ crastino *ΓCP* ‖ mane] die *Nau m* ‖ reducite *Nau* ‖ eam *om Nau* ‖ [3] eam *post* potuit(4) *NauP* ‖ penitus *om NauP* ‖ [4] auro] et *add Nau mR: cf 10; (138, 12??)* ‖ arg.] cum *add m* ‖ [5] gemmis] et *add NauR* ‖ [6] eius *om Γ* ‖ [8] futuri (*Γ*)*CMPR* futura *S* ‖ app.] ei *add B* ‖ solus *om P* ‖ [8–9] in cub. ei. cl. o. *Nau* ‖ [11] hi *PR* s *add pr* his *Nau: scr* his? *cf 138, 2; 140, 5; 6; 143, 1* ‖ [12] des.] requiro *MS* requiram *C* ‖ uolo] desidero *Nau* ‖ [13]–135,[1] cum h. - cum h. *om CM partim add m* ‖ [14] in *alt*] inter *Γ* ‖ ipso secreto *Nau* ‖ [16] sunt] dixit quoque apostolus *add Nau* ‖ hic] dei filius *add Nau*

habere initium nascendo cum homine, qui numquam habuit initium sed ipse semper initium fuit et omnibus initium dedit siue uisibilibus siue inuisibilibus creaturis. (9) haec autem uirgo cum exsecraretur omnem uirum et ipsa seruandae uirginitatis uotum prima deo omnipotenti uouisset — prima autem ideo dixi quia ex quo homo factus est ab initio saeculi nulla hoc uotum deo obtulit; haec ergo prima inter feminas hoc constituit in corde suo ut diceret deo: Domine, offero tibi uirginitatem meam; cum hoc a nullo homine nec uerbo didicisset nec exemplo ad imitationem inuitata, constituit ut uirgo pro amore dei specialiter permaneret — huic subito intus in cubiculo suo clausae splendens sicut sol Gabriel angelus apparuit. quae cum terrore perculsa expauisset, ait ad illam angelus: Noli timere Maria, quia concipies. At illa timore deposito constanter ait: Quomodo fiet hoc? quia uirum non cognosco. Cui

νὸν καὶ τὴν γῆν, τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς. οὗτος | ὁμοίως ὡς ἄνθρωπος γεννηθεὶς ἐκ παρθένου προσελάβετο ἀρχὴν 248 T *χρονικήν, ὁ μήτε χρόνων μήτε ἡμερῶν ἀρχὴν ἔχων, ἀλλὰ πᾶσαν ἀρχὴν καὶ πᾶσαν κτίσιν αὐτὸς ἐποίησεν εἴτε ἐν τοῖς ὁρατοῖς εἴτε ἐν τοῖς ἀοράτοις. αὕτη δὲ ἡ παρθένος ὡς οὐκ ἔγνωσεν ἄνδρα καὶ αὐτὴ διαφυλάξασα τὴν ἑαυτῆς παρθενίαν εὐχὴν ηὔξατο κυρίῳ τῷ θεῷ, — καὶ πρώτη δὲ οὕτως· ὅτι ἀφ᾽ οὗ ἄνθρωπος ἐγένετο ἐξ ἀρχῆς τοῦ κόσμου οὐδεμία ταύτην τὴν συνταγὴν προσηύξατο· αὕτη δὲ πρώτη ἐν γυναιξὶν ὡς τοῦτο ἠγάπησεν ἐν τῇ ἑαυτῆς καρδίᾳ ἔλεγε· Σοὶ προσφέρω κύριε τὴν ἐμὴν παρθενίαν. Καὶ ὥσπερ εἰπόν σοι ὅτι οὐδεὶς ἀνθρώπων τοῦτον τὸν λόγον ἐτόλμησεν εἰπεῖν, αὕτη δὲ πρὸς σωτηρίαν πολλῶν προσκληθεῖσα τοῦτο ἐφύλαξεν, ἵνα παρθένος δι᾽ ἀγάπην θεοῦ καθαρὰ καὶ ἀμόλυντος διαμείνῃ — αὕτη ἐξαίφνης ἐν τῷ ταμιείῳ αὐτῆς κεκλεισμένη, λάμπων ὡς ὁ ἥλιος Γαβριὴλ ὁ ἀρχάγγελος ἐξεφάνη· καὶ αὐτὴ ἐκ τῆς θέας πτοηθεῖσα, εἶπε πρὸς αὐτὴν ὁ ἄγγελος: Μὴ φοβοῦ Μαριάμ· εὗρες γὰρ χάριν ἐνώπιον κυρίου καὶ συλλήψῃ. Αὐτὴ δὲ τὸν φόβον ἀπωσαμένη σταθεῖσα εἶπε· Πῶς*

[12] cf Luc 1, 26 ss

[1] in. h. *Nau* ‖ qui n. h. i.] cuius initium ante saecula a deo patre est *Γ(M) om C* ‖ [2] sed i. s. in.] sine initio numquam non fuit *Γ(CM)* ‖ [3] seu u. seu *Nau* ‖ [4] et *om C* ‖ ipsum *C* iam *Nau* ‖ [5] o. deo *CMS* ‖ uouit *Nau: cf 136, 9* ‖ primam *WQNauS* ‖ [7–11] haec - perman. *om CMS* ‖ [6] prima] ut dixi *add Nau* ‖ [8] deo *om Γ* ‖ [10] inuitatum *R* in uita *Nau* <esset> inuitata ? ‖ [11] intra *B om PR* ‖ [12] archangelus *CMS* ‖ [13] quem *BC* ‖ percussa *QNauP* ‖ expauiscet *Nau*: *num ex* expauisceret *ortum?* ‖ [14] quia conc.] inuenisti enim gratiam apud deum *et q s (ex euang Luc 1, 30; 31) CMRS* ‖ [15] cogn.] id est hoc constitui ut non cognoscam *add P(R)* ||||||| *add M*

[21] *<πρώτη> εὐχὴν?* ‖ [29] *scr ταύτῃ . . . . κεκλεισμένῃ?*

angelus respondit: Propter hoc spiritus sanctus superueniet in te et uirtus altissimi obumbrabit tibi, ideoque quod ex te nascetur sanctum filius dei uocabitur. (10) Hic ergo cum natus esset passus est se temptari a diabolo illo qui primum hominem uicerat suadendo ut de arbore uetita a deo manducare praesumeret. ipsum ergo permisit ad se accedere, ut sicut dixerat Adae, id est primo homini, per mulierem: Manduca, et manducauit, et sic de paradiso est proiectus et in isto mundo exiliatus, et sic genuit omne humanum genus, ita et isti diceret: Dic lapidibus istis ut panes fiant, et manduca ut non esurias. Cui respondit: Non in pane tantum uiuit homo sed in omni uerbo dei. Hic ergo diabolus, qui per manducantem hominem uicerat uictoriam suam, per ieiunantem et se contemnentem amisit. par enim erat ut qui filium uirginis uicerat a filio uirginis uinceretur.

σοι δεδομένοις, καὶ μετὰ σὲ ἕτεροι πλεῖστοι· πληρωθέντων δὲ τῶν ἐπὶ γῆς χρόνων ἐξ οὐρανοῦ ἐλεύσεται βασιλεὺς αἰώνιος, ἀληθής, κριτὴς ζώντων καὶ νεκρῶν, ᾧ πᾶν ἔθνος καὶ φυλαὶ ἐξομολογήσεται, δι' ὃν πᾶσα ἐξουσία καὶ ἀρχὴ ἐπίγειος καταργηθήσεται καὶ πᾶν στόμα λαλοῦν μεγάλα φραγήσεται. οὗτος δέ ἐστιν ὁ κύριος ὁ δυνατὸς καὶ βασιλεὺς πάσης πνοῆς καὶ σαρκός, ὁ λόγος καὶ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος, ὅς ἐστιν Ἰησοῦς Χριστός.

9 *Πρὸς ταῦτα* ἔφη αὐτῷ ὁ Δομετιανός· Τίς τούτων ἀπόδειξις; ῥήμασιν μόνοις οὐ πείθομαι· ὄψις ἀδήλων τὰ φθεγγόμενα. τί δύνῃ δεῖξαι ἐπίγειον ἢ ἐπουράνιον ἐν τῇ δυνάμει ἐκείνου τοῦ μέλλοντος βασιλεύειν καθὼς καὶ λέγεις; ποιήσει γάρ, εἴπερ ἐστὶν υἱὸς θεοῦ. Εὐθέως δὲ ὁ Ἰωάννης ᾔτησεν φάρμακον θανάσιμον. κελεύσαντος δὲ τοῦ βασιλέως δοθῆναι φάρμακον αὐθωρὸν προσεκόμισαν. λαβὼν οὖν ὁ Ἰωάννης καὶ βαλὼν ἐν κύλικι μεγάλῳ πληρώσας ὕδατος συνεκέρασεν, καὶ
270 T ἀναβοήσας φωνῇ μεγάλῃ εἶπεν· Ἐν τῷ ὀνόματί σου Ἰησοῦ Χριστὲ υἱὲ τοῦ θεοῦ πίνω τὸ ποτήριον ὃ σὺ γλυκανεῖς, καὶ τὸ ἐν αὐτῷ φάρμακον τῷ ἁγίῳ σου πνεύματι συγκέρασον καὶ ποίησον αὐτὸ πόμα ζωῆς καὶ σωτηρίας γενέσθαι εἰς ἴασιν ψυχῆς καὶ σώματος, εἰς πέψιν, εἰς ἀβλαβῆ διοίκησιν, εἰς

φαντασίαις τισὶ καὶ μαγικαῖς χρώμενος μαγγανείαις· ἀλλὰ καὶ ἕτερον θεὸν κηρύττεις καὶ προσκυνεῖς παρὰ τοὺς ὄντας θεοὺς τοὺς παρ' ἡμῶν σεβομένους· πλὴν πειράσομαι καὶ γνώσομαι εἰ βοηθήσει ὁ θεὸς ὃν κηρύττεις.

9 *Εἶτα* προσκαλεσάμενος ὁ βασιλεὺς μάγον τινὰ ἐπίσημον ἐργάτην τοῦ διαβόλου λέγει αὐτῷ· Σκεύασόν μοι δηλητήριον τοιοῦτον ὥστε μόνωρον γενέσθαι τὸν ἀψάμενον αὐτό. Ταῦτα ἀκούσας ὁ μάγος παρὰ τοῦ βασιλέως ἀπελθὼν ἐποίησε τὸ ἐπιταχθὲν αὐτῷ παρὰ τοῦ βασιλέως καὶ φέρει αὐτῷ, καί φησιν ὁ βασιλεύς· Δοθήτω Ἰωάννῃ τῷ Γαλιλαίῳ. Καὶ γεμίσας ὁ μάγος τὴν κύλικα, ἐπιδίδωσι τῷ θεολόγῳ. ὁ δὲ δεξάμενος τὸ φάρμακον καὶ κατασφραγισάμενος αὐτὸ καὶ

[5] cf Rom 3, 19 ‖ [18] cf Matth 20, 22

---

[3] *καὶ all om P* ‖ *φ.] πᾶσαι αἱ φ. A φυλὴ Tischendorf ueri similius* ‖ [4] *ἐξομολογήσονται A* ‖ *πᾶσα - καταργ. om A* ‖ [5] *κ. πᾶν - φραγ. om W* ‖ [7] *τοῦ θ. om P* ‖ [10] *πείσομαι A* ‖ [11] *δύναι W* ‖ *οὐράνιον A* ‖ [12] *καὶ om AW* ‖ [13] *θ.] τοῦ θ. P* ‖ [15] *φ. α. π.] π. ἄφθορον φ. W προσεκομίσθη αὐτῇ τῇ ὥρα τὸ φ. A* ‖ *οὖν ὁ] ὁ οὖν P οὖν αὐτὸ ὁ A* ‖ [16] *μεγάλη A: cf 157, 3* ‖ *πλ.] τὲ add A* ‖ [18] *ποτ.] τοῦτο add A* ‖ *γλύκανον A: fort recte* ‖ [21] *καὶ] ὁμοῦ καὶ τοῦ A*

V [25] *βοηθήσει ⟨σοι⟩?* ‖ [28] *scr αὐτοῦ?*

πίστιν ἀμετανόητον, εἰς ἀνεξάρνητον μαρτύριον τοῦ θανάτου ὡς ποτήριον εὐχαριστίας.

10 *Ἐκπιόντος οὖν αὐτοῦ τὸν κύλικα περιέμενον οἱ παρεστῶτες τῷ Δομετιανῷ πότε μέλλει σπασθεὶς καταπίπτειν ἐπὶ τῆς γῆς. τοῦ δὲ Ἰωάννου ἱλαροῦ ἑστῶτος καὶ σῴου προσομιλοῦντος ὠργίσθη ὁ Δομετιανὸς πρὸς τοὺς δόντας τὸ φάρμακον ὡς φεισαμένων τοῦ Ἰωάννου· οἱ δὲ ἐπομοσάμενοι τὴν τύχην καὶ σωτηρίαν τοῦ βασιλέως ἔλεγον ἄλλο μὴ εἶναι δυνατώτερον τούτου τοῦ φαρμάκου. συνεὶς δὲ ὁ Ἰωάννης τί πρὸς ἀλλήλους ψιθυρίζουσιν ἔφη πρὸς τὸν βασιλέα· Μὴ χαλέπαινε βασιλεῦ, ἀλλὰ ὃ λέγω κέλευσον γενέσθαι, καὶ μαθήσῃ τὴν δύναμιν τοῦ φαρμάκου· κατάκριτόν τινα ἐκ τῆς εἰρκτῆς ποίησον ἀχθῆναι. Οὗ παραγενομένου ὁ Ἰωάννης ἐπιβαλὼν ὕδωρ τῷ ποτηρίῳ καὶ περικλύσας μετὰ πάσης τῆς ὑποστάθμης ἐπέδωκεν τῷ κατακρίτῳ. ὁ δὲ λαβὼν καὶ πιὼν παραχρῆμα ἔπεσεν καὶ ἐτελεύτησεν.*

ἐπικαλεσάμενος τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἔπιεν αὐτὸ ὥσπερ μεθ' ἡδονῆς πολλῆς.

10 *Αὐτοῦ δὲ μηδὲν πάσχοντος τὸ σύνολον ἔμεινεν ὁ βασιλεὺς καὶ ὁ μάγος καὶ πάντες οἱ σὺν αὐτοῖς ἐννεοί, ἐξιστάμενοι καὶ θαυμάζοντες πῶς ἔμεινεν ἀβλαβὴς ἀπὸ τοῦ φαρμάκου ὁ θεολόγος. ἤρξατο οὖν μέμφεσθαι ὁ βασιλεὺς τὸν μάγον ὡς μὴ σκευάσαντος αὐτοῦ δόκιμον τὸ δηλητήριον. ὁ δὲ θεολόγος λέγει πρὸς τὸν βασιλέα· Βασιλεῦ γνῶθι ὅτι τὸ μὲν δηλητήριον δόκιμόν ἐστιν· ἀλλ' ὁ Χριστὸς καὶ θεός μου ὁ εἰπὼν ἡμῖν ὅτι κἂν θανάσιμόν τι πίωσιν οἱ πιστεύοντες εἰς αὐτόν, οὐ μὴ αὐτοὺς βλάψῃ, αὐτὸς καὶ τοῦτο καὶ πάσας τὰς μαγγανείας τοῦ διαβόλου καὶ τῶν τούτου ὑπηρετῶν ἀφανεῖς καὶ ἀδοκίμους ἐργάζεται. εἰ δὲ βούλει βασιλεῦ τὴν ἀλήθειαν τῶν λεγομένων μαθεῖν, κέλευσον ἐνεχθῆναι ἕνα δέσμιον ἐξ ὧν ἔχεις ἐν τῷ δεσμωτηρίῳ· καὶ πειράσωμεν τοῦ δηλητηρίου τὴν ἐνέργειαν. Ὁ δὲ βασιλεὺς ἀκούσας ταῦτα παρὰ τοῦ θεολόγου τὸ τάχος ἐποίησε καὶ ἤγαγεν ἕνα δέσμιον καὶ λέγει τῷ μάγῳ· Πλήσας τὴν κύλικα ἐκ τοῦ δηλητηρίου δὸς αὐτῷ πιεῖν. Ὁ δὲ θεολόγος λέγει· Οὐχί, ἀλλὰ κλύσας τὴν φιάλην ἣν ἐξέπιον μεθ' ὕδατος δοθήτω αὐτῷ· καὶ ἴδωμεν τί τὸ ἀποβησόμενον. Καὶ κλύσας τὸ ποτήριον μεθ' ὕδατος ὁ μάγος καὶ τῷ ἀνθρώπῳ ἐπιδώσας, παραχρῆμα πιὼν ἀπέψυξεν.*

[26] Marc 16, 18

[2] *ὡς] καὶ εἰς A* ‖ [3] *τὴν A: cf 156, 16* ‖ [4] *post δο(μετιανῷ) schedis rescissis deficit W: cf 205, 10*

PA [7] *φεισαμένου P φεισαμένους Tischendorf: cf V* ‖ *ὁ δὲ ἐπομοσάμενος A* ‖ [8] *καὶ] τὴν add A* ‖ [10] *ὑποψιθυρίζουσιν A* ‖ [11] *ὃ λ. κ.] ἔα πεῖραν Tischendorf quod illa legere non potuit* ‖ [11–12] *τὴν τ. φ. τούτου τὴν δ. A* [13] *παραγεναμένου A* ‖ [14] *περικλίσας A* ‖ *τῆς om P* ‖ [15] *κατ.] πιεῖν add A*

11 *Θαυμασάντων δὲ πάντων ἐπὶ τοῖς γενομένοις σημείοις καὶ τοῦ Δομετιανοῦ τῷ φόβῳ συσχεθέντος καὶ ἀπερχομένου εἰς τὸ παλάτιον, ἔφη πρὸς αὐτὸν ὁ Ἰωάννης· Ῥωμαίων βασιλεῦ Δομετιανέ, τοῦτο ἠβουλήθης ἵνα σοῦ παρόντος καὶ μαρτυροῦντος ἐγὼ σήμερον φονεὺς γένωμαι; περὶ τοῦ κειμένου νεκροῦ τί μέλλει γενέσθαι; Ὁ δὲ ἐκέλευσεν ἀρθέντα αὐτὸν ῥιφῆναι. Ἰωάννης δὲ προσελθὼν τῷ πτώματι εἶπεν· Ὁ θεὸς ὁ τῶν οὐρανῶν ποιητής, ὁ κύριος καὶ δεσπότης ἀγγέλων* 271 T *δοξῶν κυριοτήτων, ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ τοῦ παιδός σου τοῦ μονογενοῦς δὸς τούτῳ τῷ δι' ἀφορμῆς τεθνηκότι ζωῆς παλιγγενεσίαν καὶ ἀπόδος αὐτῷ τὴν ψυχήν, ἵνα μάθῃ Δομετιανὸς ὅτι ὁ λόγος τοῦ θεοῦ καὶ φαρμάκου πολὺ δυνατώτερος καὶ ζωῆς δεσπόζει. Λαβόμενος δὲ τῆς χειρὸς αὐτοῦ ἀνέστησεν αὐτὸν ζῶντα.*

12 *Δοξαζόντων δὲ τὸν θεὸν πάντων καὶ θαυμαζόντων τὴν τοῦ Ἰωάννου πίστιν, ἔφη αὐτῷ ὁ Δομετιανός· Δόγμα τῆς συγκλήτου ἐξέθηκα πάντας τοὺς τοιούτους ἀναπολογήτους ἀπάγεσθαι· ἀλλ' ἐπειδὴ διὰ σοῦ εὑρίσκω αὐτοὺς ἀθῴους καὶ μᾶλλον ἐπωφελῆ εἶναι αὐτῶν τὴν θεοσέβειαν, ἐξορίζω σε εἰς νῆσον, ἵνα μὴ δόξω ἐγὼ αὐτὸς καταλύειν τὰ ἐμαυτοῦ δόγματα. Τὸν μὲν οὖν κατάκριτον ᾐτήσατο ἀπολυθῆναι, καὶ ἀπολυθέν-*

11 *Ἰδόντες δὲ ὅ τε βασιλεὺς καὶ οἱ σὺν αὐτῷ πάντες ἐφοβήθησαν σφόδρα. τότε λέγει ὁ θεολόγος· Ἐπειδὴ αἴτιος θανάτου γέγονα τοῦ ἀνθρώπου τούτου, χρή με λοιπὸν καὶ εὐξαμένου μου ἐγεῖραι αὐτόν. Καὶ στὰς ἐπὶ ὥραν μίαν καὶ εὐξάμενος ἤγειρε τὸν τεθνηκότα ἔμπροσθεν τοῦ βασιλέως καὶ τῶν συνόντων αὐτῷ πάντων.*

12 *Τότε ἰδὼν ὁ βασιλεὺς καὶ οἱ σὺν αὐτῷ ἐφοβήθησαν τὸν θεὸν τοῦ οὐρανοῦ καὶ ἐπίστευσαν πολλοὶ τῷ θεῷ καὶ τῷ ἀποστόλῳ. ὁ δὲ βασιλεὺς ἰδὼν ὅτι εὔλογον αἰτίας εὑρίσκει καθ' ἡμῶν λέγει τῷ ἀποστόλῳ· Ἐπειδὴ κατηγορίας ἐδεξάμην κατὰ σοῦ καὶ θεσμοὶ βασιλικοί εἰσι μὴ ἀτιμωρήτους ἐξέρχεσθαι τοὺς κατηγορουμένους, κελεύομέν σε ἐν νήσῳ τινὶ ἀπενεχθῆναι*

---

2 τῷ φόβῳ *om P: cf 153, 3* ‖ 3–4 δομ. ῥωμ. βασ. *A* ‖ 4 τοῦτο *om A* ‖ ἐβουλήθης *A* ‖ 6 γίνεσθαι *A* ‖ ἀχθέντα *P* ‖ 8 ἀγγ.] ἀρχῶν *A fort uere: cf ep ad Col 1, 16 (sed etiam ep Pet 2, 2, 10; 11)* ‖ 11 πάλιν γενησίαν *P* ‖ 12 θεοῦ καὶ *om P: del* καὶ?? ‖ δυν.] καὶ θανάτου *add A fort uerum: cf 159, 8* ‖ 14 ζῶν *(in ima pagina) P* ‖ 15 π. τ. θ. *A* ‖ 16 τοῦ *om A* ‖ ὁ *om A* ‖ 17 ἐκέλευσα *A: cf 153, 4* ‖ 20 α. ἐγὼ τὰ ἐμ. κατ. *A*

V 24 *scr* τῷ ἀνθρώπῳ τούτῳ?? ‖ 30 ⟨οὐχ⟩ εὑρίσκει?

τος αὐτοῦ εἶπεν ὁ Ἰωάννης· Ὕπαγε, χάριν ἔχε τῷ θεῷ τῷ σήμερόν σε ἐκ φυλακῆς καὶ ἐκ θανάτου λυτρωσαμένῳ.

13 *Ἑστώτων δὲ αὐτῶν θρεπτή τις Δομετιανοῦ τῶν πρὸς τῷ κοιτῶνι αἰφνιδίως ληφθεῖσα ὑπό του ἀκαθάρτου δαίμονος ἔκειτο νεκρά, καὶ ἀνηγγέλη τῷ βασιλεῖ. κινηθεὶς δὲ ὁ βασιλεὺς ἐδέετο τοῦ Ἰωάννου βοηθῆσαι αὐτῇ. ὁ δὲ Ἰωάννης εἶπεν· Οὐκ ἔστιν ἀνθρώπου τοῦτο παρασχεῖν· ἐπεὶ δὲ σὺ βασιλεύειν μὲν οἶδας, ὑπὸ τίνος δὲ ἔλαβες ἀγνοεῖς, μάθε τίς καὶ σοῦ καὶ τῆς βασιλείας σου ἐξουσίαν ἔχει. Καὶ ηὔξατο οὕτως· Κύριε ὁ θεὸς πάσης βασιλείας καὶ δέσποτα πάσης κτίσεως, δὸς τῇ κόρῃ ταύτῃ πνοὴν ζωῆς. Καὶ εὐξάμενος ἀνέστησεν αὐτήν. ἐκπλαγεὶς δὲ ἐπὶ πᾶσι τοῖς θαυμασίοις ὁ Δομετιανὸς ἀπέλυσεν αὐτὸν εἰς νῆσον, ὁρίσας αὐτὸν τακτὸν χρόνον.*

14 *Εὐθέως δὲ ἀπέπλευσεν ὁ Ἰωάννης εἰς Πάτμον, ὅπλου καὶ ἠξιώθη τὴν τῆς συντελείας ἰδεῖν ἀποκάλυψιν. τελευτήσαντος δὲ τοῦ Δομετιανοῦ παρέλαβεν τὴν βασιλείαν Νέρβας, ὃς πάντας τοὺς ἐξορισθέντας ἀνεκαλέσατο· ἐνιαυτὸν δὲ κατασχὼν τὴν βασιλείαν, διάδοχον τῆς βασιλείας Τραϊανὸν ἐποιήσατο. οὗ βασιλεύοντος Ῥωμαίων ἐπανελθὼν εἰς τὴν Ἔφεσον ὁ Ἰωάννης ἐκράτυνεν πᾶν τὸ τῆς ἐκκλησίας διδασκαλεῖον,* 272 T

λεγομένῃ Πάτμῳ ἄχρι καιροῦ. Ὁ δὲ θεολόγος λέγει αὐτῷ· Ποίει ὃ βούλῃ.

13 *Ὁ δὲ βασιλεὺς ἀπέστειλεν ἡμᾶς ἐν τῇ νήσῳ,*

14 *τριετῆ χρόνον ποιήσαντες ἐν Πάτμῳ*** τοῦ δὲ βασιλέως Ῥωμαίων τοῦ βίου τούτου ἐξελθόντος κατὰ τοὺς καιροὺς τῆς ἐξορίας Ἰωάννου, αὐτίκα καὶ ὁ ἀπόστολος διὰ τὸ μὴ εἶναι πλοῖον ἐν τῇ νήσῳ ὅπερ ἐξορμήσει πρὸς τὴν στερεὰν γῆν ξύλου εὐτελοῦς ἐπιλαβόμενος φελλοῦ τοὔνομα καὶ τοῦτο ἐπιθήσας ἐπὶ τὰ νῶτα τῆς θαλάσσης καὶ ἐπιβιβάσας ἑαυτὸν ἐπὶ τὸ ξύλον κἀμὲ ἐπιτρέψας ἀνελθεῖν, εὐθυδρομεῖν ἠπείγετο ἄντικρυς*

---

[1] εἶπεν] *αὐτῷ add A* ‖ *ὁ ἰω. post ᾐτήσατο (158, 21) A: del?* ‖ [2] *καὶ - λ.] ῥυσαμένῳ καὶ τοῦ θαν. A* ‖ [4] *ἀφνιδίως A* ‖ *του om A: τοῦ Tischendorf* ‖ *δαίμ. ἀκ. A* ‖ [5] *ἀν.] περὶ ταύτης add A* ‖ [6] *αὐτήν P* ‖ [7] *ἐπεὶ] ἐπειδὴ A* ‖ [8] *δὲ] τοῦτο add A* ‖ *τίς] ἐστιν ὃς add A* ‖ [9] *βασ. σου] σῆς βασ. τὴν A* ‖ *καὶ] ταῦτα εἰπὼν add A* ‖ [11] *ζωῆς] εἰς δόξαν πλείονα τοῦ ἁγίου ὀνόματός σου add A* ‖ *εὐξ. εὐθέως τὴν παῖδα ἀνέστησεν A* ‖ [12] *ἀπέστειλεν A* ‖ [13] *εἰς] τινα add A* ‖ *α. τ. χρ.] καὶ χρ. τ. A* ‖ *αὐτῷ Tischendorf recte ut uid* ‖ [14] *Π.] τὴν εἰρημένην νῆσον A* ‖ *ἐν ᾗπερ A ὅπου Tischendorf recte* ‖ [15] *προηξιώθη A* ‖ *σφαγέντος A* ‖ [17] *ἐξορ.] χριστιανοὺς add A* ‖ *δὲ] ἕνα add A* ‖ [19–20] *ἐπαν. - Ἰ.] πάλιν εἰς τ. ἔφ. ὁ ἰω. ἐπαν. A* ‖ [20] *ἐκράτησε A*

V [24] *post Πάτμῳ ad Prochorum (p 47, 15 Zahn) redit (f 112 - 145) dein (f 145) τοῦ δὲ βασ. et q s habet V* ‖ [26] *αὐτίκα] ante memorari debebat exulum reuocatio* ‖ [28] *φελοῦ V*

σοι δεδομένοις, καὶ μετὰ σὲ ἕτεροι πλεῖστοι· πληρωθέντων δὲ τῶν ἐπὶ γῆς χρόνων ἐξ οὐρανοῦ ἐλεύσεται βασιλεὺς αἰώνιος, ἀληθής, κριτὴς ζώντων καὶ νεκρῶν, ᾧ πᾶν ἔθνος καὶ φυλαὶ ἐξομολογήσεται, δι' ὃν πᾶσα ἐξουσία καὶ ἀρχὴ ἐπίγειος καταργηθήσεται καὶ πᾶν στόμα λαλοῦν μεγάλα φραγήσεται. οὗτος δέ ἐστιν ὁ κύριος ὁ δυνατὸς καὶ βασιλεὺς πάσης πνοῆς καὶ σαρκός, ὁ λόγος καὶ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος, ὅς ἐστιν Ἰησοῦς Χριστός.

9 Πρὸς ταῦτα ἔφη αὐτῷ ὁ Δομετιανός· Τίς τούτων ἀπόδειξις; ῥήμασιν μόνοις οὐ πείθομαι· ὄψις ἀδήλων τὰ φθεγγόμενα. τί δύνῃ δεῖξαι ἐπίγειον ἢ ἐπουράνιον ἐν τῇ δυνάμει ἐκείνου τοῦ μέλλοντος βασιλεύειν καθὼς καὶ λέγεις; ποιήσει γάρ, εἴπερ ἐστὶν υἱὸς θεοῦ. Εὐθέως δὲ ὁ Ἰωάννης ᾔτησεν φάρμακον θανάσιμον. κελεύσαντος δὲ τοῦ βασιλέως δοθῆναι φάρμακον αὐθωρὸν προσεκόμισαν. λαβὼν οὖν ὁ Ἰωάννης καὶ βαλὼν ἐν κύλικι μεγάλῳ πληρώσας ὕδατος συνεκέρασεν, καὶ
270 T ἀναβοήσας φωνῇ μεγάλῃ εἶπεν· Ἐν τῷ ὀνόματί σου Ἰησοῦ Χριστὲ υἱὲ τοῦ θεοῦ πίνω τὸ ποτήριον ὃ σὺ γλυκανεῖς, καὶ τὸ ἐν αὐτῷ φάρμακον τῷ ἁγίῳ σου πνεύματι συγκέρασον καὶ ποίησον αὐτὸ πόμα ζωῆς καὶ σωτηρίας γενέσθαι εἰς ἴασιν ψυχῆς καὶ σώματος, εἰς πέψιν, εἰς ἀβλαβῆ διοίκησιν, εἰς

φαντασίαις τισὶν καὶ μαγικαῖς χρώμενος μαγγανείαις· ἀλλὰ καὶ ἕτερον θεὸν κηρύττεις καὶ προσκυνεῖς παρὰ τοὺς ὄντας θεοὺς τοὺς παρ' ἡμῶν σεβομένους· πλὴν πειράσομαι καὶ γνώσομαι εἰ βοηθήσει ὁ θεὸς ὃν κηρύττεις.

9 Εἶτα προσκαλεσάμενος ὁ βασιλεὺς μάγον τινὰ ἐπίσημον ἐργάτην τοῦ διαβόλου λέγει αὐτῷ· Σκεύασόν μοι δηλητήριον τοιοῦτον ὥστε μόνωρον γενέσθαι τὸν ἀψάμενον αὐτό. Ταῦτα ἀκούσας ὁ μάγος παρὰ τοῦ βασιλέως ἀπελθὼν ἐποίησε τὸ ἐπιταχθὲν αὐτῷ παρὰ τοῦ βασιλέως καὶ φέρει αὐτῷ, καί φησιν ὁ βασιλεύς· Δοθήτω Ἰωάννῃ τῷ Γαλιλαίῳ. Καὶ γεμίσας ὁ μάγος τὴν κύλικα, ἐπιδίδωσι τῷ θεολόγῳ. ὁ δὲ δεξάμενος τὸ φάρμακον καὶ κατασφραγισάμενος αὐτὸ καὶ

[5] cf Rom 3, 19 || [18] cf Matth 20, 22

[3] καὶ alt om P || φ.] πᾶσαι αἱ φ. A φυλὴ Tischendorf ueri similius || [4] ἐξομολογήσονται A || πᾶσα - καταργ. om A || [5] κ. πᾶν - φραγ. om W || [7] τοῦ θ. om P || [10] πείσομαι A || [11] δύναι W || οὐράνιον A || [12] καὶ om AW || [13] θ.] τοῦ θ. P || [15] φ. α. π.] π. ἄφθορον φ. W προσεκομίσθη αὐτῇ τῇ ὥρᾳ τὸ φ. A || οὖν ὁ] ὁ οὖν P οὖν αὐτὸ ὁ A || [16] μεγάλῃ A: cf 157, 3 || πλ.] τὲ add A || [18] ποτ.] τοῦτο add A || γλύκανον A: fort recte || [21] καὶ] ὁμοῦ καὶ τοῦ A

Γ [25] βοηθήσει <σοι>? || [28] scr αὐτοῦ?

Μαρκέλλου ἐπέσχον αὐτὸν μόλις μιᾶς ἡμέρας ἐν τῇ Μιλήτῳ συναναπαυόμενοι αὐτῷ. ὡς δὲ ὑπὸ βαθὺν ὄρθρον ἐξήεσαν καὶ ἤδη τῆς ὁδοῦ ἤνυστο ὡσεὶ μίλια τέσσαρα, φωνὴ ἠνέχθη ἀπὸ οὐρανοῦ πάντων ἡμῶν ἀκουόντων λέγουσα· Ἰωάννη, μέλλεις ἐν Ἐφέσῳ δόξαν τῷ κυρίῳ σου διδόναι ἣν εἴσῃ, σὺ καὶ πάντες οἱ σύν σοι ἀδελφοὶ καί τινες τῶν ἐκεῖ μελλόντων διὰ σοῦ πιστεύειν. Ἐνενόει οὖν ὁ Ἰωάννης ἐν ἑαυτῷ ἀγαλλιώμενος τί ἄρα ἦν τὸ μέλλον ἐν Ἐφέσῳ ἀπαντᾶν, λέγων· Κύριε ἰδοὺ κατὰ τὸ θέλημά σου βαδίζω· γενέσθαι ὃ βούλει.

19 *Καὶ ἐγγιζόντων ἡμῶν τῇ πόλει ὁ στρατηγὸς Ἐφεσίων Λυκομήδης, ἄνθρωπος τῶν δαιμόνων, ἀπήντησεν ἡμῖν, καὶ προσπεσὼν τοῖς ποσὶν Ἰωάννου παρεκάλει λέγων· Ἰωάννης ἐστί σοι ὄνομα; ἔπεμψέ σε ὁ θεὸς ὃν κηρύσσεις ἐπ' εὐεργεσίᾳ τῆς ἐμῆς γυναικός, παραπλήγου γεγονότος ἤδη ἡμέρας ἑπτὰ καὶ ἀθεραπεύτου κειμένης. ἀλλὰ δόξασόν σου τὸν θεὸν ἰασάμενος αὐτὴν σπλαγχνισθεὶς ἐφ' ἡμᾶς. παραστὰς γάρ τις ἤδη σκεπτομένῳ ἐμαυτὸν λογισμὸν δοῦναι τοῦτον ἔφη· Λυκόμηδε, παῦσαι τῆς κατὰ σοῦ στρατευομένης ἐννοίας χαλεπῆς οὔσης· μὴ ὑποβάλῃς σεαυτὸν ταύτην· ἐγὼ γὰρ σπλαγχνισθεὶς ἐπὶ τὴν ἐμὴν δούλην Κλεοπάτραν ἔπεμψα ἐκ Μιλήτου ἄνδρα ὀνόματι Ἰωάννην ὅστις αὐτὴν ἀναστήσας ἀποδώσει σοι σῴαν. Μὴ βράδυνε οὖν δοῦλε τοῦ φανερώσαντός μοι θεοῦ σαυτόν, ἀλλὰ σπεῦσον ἐπὶ τὴν πνοὴν μόνην ἔχουσαν γυναῖκα. Καὶ εὐθέως ὁ Ἰωάννης ἀπῄει ἀπὸ τῆς πύλης ἅμα τοῖς σὺν αὐτῷ ἀδελφοῖς καὶ Λυκομήδης εἰς τὸν οἶκον αὐτοῦ. ὁ δὲ Κλεόβιος ἔφη τοῖς αὐτοῦ νεανίσκοις· Ἀπέλθατε πρὸς τὸν συγγενῆ μου Κάλλιππον καὶ ξενίαν ἀρετὴν λάβετε παρ' αὐτοῦ—ἔχων γὰρ τὸν υἱὸν αὐτοῦ παραγίνομαι ἐκεῖ — ὅπως εὐπρεπῆ τὰ πάντα εὕρωμεν.*

20 *Γενόμενος δὲ ὁ Λυκομήδης σὺν τῷ Ἰωάννῃ ἐν τῇ οἰκίᾳ ἐν ᾗ ἡ γυνὴ ἔκειτο πάλιν αὐτοῦ τῶν ποδῶν ἥπτετο λέγων· Ἴδε κύριε τὸ μαρανθὲν κάλλος, ἴδε τὴν νεότητα, ἴδε τὸ διαβόητον ἄνθος τῆς ταλαιπώρου μου γυναικὸς ἐφ' ᾧ ὅλη ἡ Ἔφεσος ἐξεστήκει· ἐφθονήθην ὁ τάλας, ἐταπεινώθην, ὀφθαλμὸς ἐχθρῶν ἔπληξέ με· οὐδέποτε ἠδίκησα οὐδένα, καίτοι πολλοὺς δυνάμενος βλάψαι, τοῦτο αὐτὸ προορώμενος, μή τι κακὸν*

---

[1] *μαρκέλου R* ‖ [5] *ἤση R* ‖ [9] *scr γενέσθω: cf 183, 15* ‖ [11] *λικομίδης R* ‖ *scr εὐδαιμόνων? item Iames* ‖ [13] *σε] σε? σει? R* ‖ [14] *scr παραπλῆγος γεγονυίας? cf 162, 5* ‖ [17] *scr ἐμαυτῷ?* ‖ *scr τούτων? sed plura corrupta uid* ‖ *scr Λυκόμηδες* ‖ [19] *scr σεαυτῷ??* ‖ *ταύτῃ Iames probabiliter* ‖ [22] *scr ἑαυτόν?* ‖ [25] *scr Λυκομήδει?* ‖ [26] *κάλιππον R* ‖ [27] *scr ἀρεστὴν?* ‖ [28] *scr εὐτρεπῆ?*

ἤ τινα τύχη ταύτην ἴδοιμι φυλασσόμενος. τί οὖν οφελος γέγονε Κλεοπάτρα εὐλαβούμενόν με; τί οὖν ὤνησα εὐσεβὴς χρηματίσας ἕως σήμερον; δυσσεβοῦς χείρονα πάσχω ὅτι σὲ τοιαύτην Κλεοπάτραν ὁρῶ κειμένην. οὐκ ὄψεταί με ἥλιος περιπολῶν σοῦ μηκέτι προσομιλοῦντος. φθάσω σε Κλεοπάτρα ἀπολύων ἑαυτὸν τοῦ βίου. ἀφειδήσω τῆς σωτηρίας μου ἔτι νεάνιδος οὔσης. ἀπολογήσομαι τῇ δίκῃ ὡς δικαίως μοι ὑποδράσαντος ἐξὸν δικασθῆναι πρὸ αὐτὴν ὡς ἀδίκως δικάζουσαν. τιμωρήσομαι αὐτὴν εἴδωλον βίου παραγενόμενος. ἐρῶ πρὸς αὐτήν· Σύ μου τὸ φῶς ἐβιάσω Κλεοπάτραν ἀφαρπάσασα· σύ με νεκρὸν ἐποίησας γενέσθαι τοῦτό μοι παρασχομένη· σύ με τὴν πρόνοιαν ἐβιάσω ἐνυβρίσαι ἐκκόψασά μου τὴν παρρησίαν.

21 *Καὶ ἔτι πλείονα λέγων ὁ Λυκομήδης πρὸς τὴν Κλεοπάτραν προσελθὼν τῇ κλίνῃ ἀναβοῶν ἐθρήνει. ὁ δὲ Ἰωάννης ἀπέσπασεν αὐτὸν εἰπών· Μετάστηθι τῶν θρήνων τούτων καὶ τῶν ἀναρμόστων σου ῥημάτων. οὐ προσήκει ἀπεισθῆναι τῷ θεωμένῳ σοι. ἴστη γὰρ ἀπολαμβάνων τὴν αὐτοῦ σύμβιον. σὺν ἡμῖν τοίνυν στὰς τοῖς διὰ ταύτην ἐληλυθόσιν ἔπευξαι τῷ θεῷ ὃν εἶδες φανεροῦντά σε δι᾽ ὀνειράτων. τί οὖν ἐστιν ὦ Λυκόμηδες; διυπνίσθητι καὶ αὐτὸς καὶ ἄνοιξόν σου τὴν ψυχήν. ἀπόβαλε τὸν πολὺν ὕπνον ἀπὸ σοῦ. δεήθητι τοῦ κυρίου, παρακάλεσον αὐτὸν ὑπὲρ τῆς συμβίου σου καὶ ἀναστήσῃ. Ὁ δὲ πεσὼν ἐπὶ τοῦ ἐδάφους ἐθρήνει ὀλοψυχῶν. ὁ οὖν Ἰωάννης ἔφη μετὰ δακρύων· Ὦ καινῆς προδοσίας ὁράματος· ὦ καινοῦ πειρασμοῦ ἐμοῦ κατασκευασθέντος· ὦ καινῆς τέχνης τοῦ κατ᾽ ἐμοῦ τεχνασαμένου. ἡ ἀπ᾽ οὐρανοῦ φωνὴ ἐνεχθεῖσά μοι ἐν τῇ ὁδῷ ταῦτά μοι ἐπραγματεύσατο; ταῦτά μοι προεδήλωσε τὰ μέλλοντα γενέσθαι ἐνθάδε; παραδιδούς με ὄχλῳ τοσούτῳ τῶν πολιτῶν ἕνεκεν Λυκομήδους; ὁ ἀνὴρ ἄπνους κεῖται, κἀμὲ εὖ οἶδα ὅτι ζῶντα τῆς οἰκίας οὐκ ἐάσει με ἐξελθεῖν. τί μέλλεις κύριε; τί σου τὸ χρηστὸν ἐπάγγελμα ἀποκέκληκας ἡμῖν; μή, δέομαί σου κύριε, μὴ δῷς χορεῦσαι τῷ*

---

[1] *εἴ R* ‖ *scr τύχην τοιαύτην?* ‖ *ἴδ.] ἠδὺ μὴ R* ‖ [2] *Κλεοπάτραν(?) εὐλαβουμένῳ μοι?* ‖ [4] *scr Κλεοπάτρα (uoc casu ut 5; 2?)* ‖ *περὶ πολλῶν R* ‖ [5] *scr σοι μ. προσομιλοῦντα? σοῦ μ. προσομιλούσης? cf 161, 14* ‖ [7] *scr μου?* ‖ [8] *ἐξ ὧν R* ‖ *scr πρὸς* ‖ [10] *scr με τὸ φ. ἐβ. ⟨καταλιπεῖν⟩?* ‖ [16] *scr ἀπειθῆσαι?* ‖ [17] *θεομένω R unde δεομένῳ (sequente σου) effeceram: sed cf 161, 16* ‖ *scr ἴσθι?? ἔσῃ? (ἴστη? ἴστι? R)* ‖ *scr ἑαυτοῦ?* ‖ [19] *scr σοι ⟨ἑαυτὸν⟩? cf 161, 22* ‖ [23] *scr ἀναστήσει (scil αὐτήν)? ἀναστῇ??* ‖ *ὀλιγοψυχῶν Iames optime* ‖ [25] *scr ἐμοί? ⟨κατ᾽⟩ ἐμοῦ? cf 26; 163, 3* ‖ [26] *⟨τοιαῦτα⟩ τεχνασαμένου?* ‖ [28] *scr παραδιδοῖς?* ‖ [30] *scr ἐάσουσιν???* ‖ [31] *del με?? cf 168, 12 et 15* ‖ [32] *scr ἡμῶν?*

ἐπ' ἀλλοτρίοις κακοῖς ἡδομένῳ· μὴ δῷς τούτῳ ὀρχεῖσθαι τῷ καταγγέλοντι ἡμῶν ἀεί. ἀλλά σου τὸ ἅγιον ὄνομα καὶ τὸ ἔλεος σπευσάτω. ἀνέγειρον πτώματα δύο κατ' ἐμοῦ γεγενημένα.

22 Καὶ δὴ τοῦ Ἰωάννου ἐκβοῶντος ἡ Ἐφεσίων πόλις συνέδραμεν εἰς τὸν οἶκον Λυκομήδους ὡς τετελευτηκότος. ὁ δὲ Ἰωάννης ἰδὼν τὸν πολὺν ὄχλον τὸν ἐληλυθότα εἶπε πρὸς κύριον· Νῦν καιρὸς ἀναψύξεως καὶ παρρησίας τῆς πρὸς σὲ Χριστέ. νῦν καιρὸς κάμνουσιν ἡμῖν τῆς ἐκ σοῦ βοηθείας ἰατρὲ δωρεὰν ἰωμένῳ. ἀκαταγέλαστόν μου τὴν ἐνταῦθα εἴσοδον διαφύλαξον. δέομαί σου Ἰησοῦ, ἐπαμύνω πλήθει τοσούτῳ ἐλθεῖν ἐπὶ σὲ τὸν τῶν ὅλων δεσπότην. ἴδε τὴν θλῖψιν, ἴδε τοὺς κατακειμένους. σὺ κατάρτισον καὶ ἀπὸ τῶν ἐντεῦθεν συνεληλυθότων σκεύη ἅγια εἰς ὑπηρεσίαν τὴν σὴν θεασαμένων τὴν δωρεάν σου. αὐτὸς γὰρ εἶπας Χριστέ· Αἰτεῖτε καὶ δοθήσεται ὑμῖν. Αἰτούμεθα οὖν σε βασιλεῦ οὐ χρυσόν, οὐκ ἄργυρον, οὐχ ὕπαρξιν, οὐ κτῆσιν, οὐδέ τι τῶν ἐπὶ γῆς ὄντων ἀπολλυμένων, ἀλλὰ ψυχὰς δύο δι' ὧν ἐπιστρέφειν μέλλοντας ἐπὶ τὴν σὴν ὁδόν, ἐπὶ τὴν σὴν μάθησιν, ἐπὶ τὴν σὴν παρρησίαν, ἐπὶ τὴν ἄριστόν σου ἐπαγγελίαν· καταμαθόντες γὰρ τὴν δυναστείαν σου διὰ τοῦ ἐγηγέρθαι τοὺς ἀποψύξαντας σωθήσονταί τινες αὐτῶν. παράσχου οὖν καὶ αὐτὸς ἐλπίδα ἐπὶ σέ. πρόσειμι τοίνυν τῇ Κλεοπάτρᾳ λέγων· Ἀνάστηθι ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ.

23 Καὶ προσελθών, ἁψάμενος τοῦ προσώπου αὐτῆς ἔφη· Κλεοπάτρα, λέγει ὃν ἐφοβήθη πᾶς ἄρχων καὶ πᾶσα κτίσις, δύναμις, ἄβυσσός τε καὶ σκότος ἅπαν καὶ θάνατος ἀγέλαστος καὶ οὐρανῶν ὕψωμα καὶ ᾅδου κυκλώματα καὶ νεκρῶν ἀνάστασις καὶ πηρῶν ὄψις καὶ τοῦ κοσμοκράτορος ἅπασα ἡ δύναμις καὶ ἡ τοῦ ἄρχοντος ὑπερηφανία· Ἀνάστηθι, καὶ μὴ γίνου πρόφασις πολλοῖς ἀπιστεῖν θέλουσι καὶ θλίψεις ψυχὰς δυναμένας ἐλπίσαι καὶ σωθῆναι. Καὶ ἡ Κλεοπάτρα εὐθέως μετὰ φωνῆς ἐβόησεν· Ἀνίσταμαι δέσποτα· σῷζε τὴν δούλην σου. ἀναστήσεις δέ μου δι' ἡμερῶν ἑπτὰ ἡ πόλις Ἐφεσίων ἐκινεῖτο ἐπὶ τῷ παραδόξῳ θεάματι. ἠρώτα δὲ ἡ Κλεοπάτρα περὶ τοῦ

14 Matth 7, 7

---

2 *scr* καταγελῶντι? *item Iames* ‖ 9 *scr* ἰώμενε? (*cf 206, 10*) *item Iames* 10 *scr* ἐπάμυνον? ‖ 12 σοὶ *R* ‖ 16 κτίσιν *R* ‖ ὄντων ⟨καὶ⟩? ‖ 17 μέλλ.] μέλλεις πάντας *Iames optime nisi forte* μέλλ⟨εις τοὺς παρ⟩όντας: *cf 21* ‖ 19 *scr* ἀρρηκτόν?? ἄπταιστόν?? ἄψευστόν? ‖ 30 *scr* θλῖψις ψυχαῖς δυναμέναις? ‖ 33 *post* ἑπτὰ *interpungit, lacunam quae uidetur esse post* μου (μου τὸν ἄνδρα· Ἀναστάσης δὲ αὐτῆς *temptabat Iames*) *non significat R*

ἀνδρὸς αὐτῆς Λυκομήδους· ὁ δὲ Ἰωάννης εἶπεν αὐτῇ· Κλεοπάτρα, ἀκίνητον ἔχουσα τὴν ψυχὴν καὶ ἀμετάτρεπτον αὐτόθεν ἕξεις Λυκομήδην τὸν σύμβιόν σου ἐνταῦθά σοι παρεστῶσα, εἴ γε μὴ ταράσσῃ μηδὲ κινῇ ἐπὶ τῷ γεγονότι, πιστεύσασα ἐπὶ τῷ θεῷ μου, ὅστις δι' ἐμοῦ ζῶντα αὐτὸν χαρίσεται. ἐλθὲ οὖν ἅμα ἐμοὶ εἰς τὸν ἕτερόν σου κοιτῶνα, καὶ θεάσῃ αὐτὸν νενεκρωμένον, ἀνιστάμενον δὲ τῇ τοῦ θεοῦ μου δυνάμει.

24 Καὶ ἡ Κλεοπάτρα ἐλθοῦσα σὺν τῷ Ἰωάννῃ εἰς τον κοιτῶνα αὐτῆς καὶ ἰδοῦσα τὸν Λυκομήδην τεθνηκότα αὐτὴ ἕνεκα, ἔπασχε τῇ φωνῇ καὶ τοῖς ὀδοῦσιν ἔτριζε καὶ τὴν γλῶσσαν ἀπέδακνε καὶ τοὺς ὀφθαλμοὺς καμμύουσα δάκρυα προσέβρεχε· καὶ ἠρέμα τῷ ἀποστόλῳ προσεῖχεν. ὁ δὲ Ἰωάννης σπλαγχνισθεὶς ἐπὶ τῇ Κλεοπάτρᾳ ὡς εἶδεν αὐτὴν μὴ μανεῖσαν μηδὲ ἐκστᾶσαν, ἐκάλεσε τὰ τέλεια σπλάγχνα καὶ ἀνυπερήφανα, εἶπε· Κύριε Ἰησοῦ Χριστέ, ὁρᾷς τὸ συνέχον· ὁρᾷς τὴν ἀνάγκην· ὁρᾷς Κλεοπάτραν ἐκβοῶσα τὴν ψυχὴν διὰ τοῦ σιγᾶν· συνέχει γὰρ ἐν ἑαυτῇ τὴν ἀφόρητον μανίαν· ἐπίσταμαι δὲ ὅτι ἕνεκεν τοῦ Λυκομήδους καὶ αὐτὴν ἐπαποθανουμένην. Ἡ δὲ ἠρέμα εἶπε πρὸς Ἰωάννην· Τοῦτο σκέπτομαι δέσποτα καὶ οὐχ ἕτερον. Καὶ προσελθὼν τῷ κλινιδίῳ ὁ ἀπόστολος ἐφ' οὗ ὁ Λυκομήδης ἔκειτο καὶ λαβόμενος τῆς χειρὸς Κλεοπάτρας ἔφη· Κλεοπάτρα, διὰ τὸν παρεστῶτα ὄχλον καὶ τοὺς ἐπεισελθόντας συγγενεῖς σου μετὰ κραυγῆς ἰσχυρᾶς εἰπόν σου τῷ ἀνδρί· Ἀναστὰς δόξασον τοῦ θεοῦ τὸ ὄνομα, ὅτι νεκροὺς νεκροῖς χαρίζεται. Ἡ δὲ προσελθοῦσα καὶ εἰποῦσα τῷ ἀνδρὶ αὐτῆς καθ' ἃ ἐδιδάχθη εὐθὺς ἀνέστησεν αὐτόν. ὃ δὲ ἀναστὰς καὶ πεσὼν ἐπὶ τοῦ ἐδάφους τοὺς τοῦ Ἰωάννου πόδας κατεφίλει. ὃ δὲ ἐγείρας αὐτὸν λέγει· Μὴ τοὺς ἐμοὺς πόδας ἄνθρωπε φίλει ἀλλὰ τοὺς τοῦ θεοῦ οὗ δυνάμει ἀνέστητε ἀμφότεροι.

25 Ὁ δὲ Λυκομήδης τῷ Ἰωάννῃ ἔφη· Παρακαλῶν σε ἐνορκίζω οὗ ὀνόματι ἤγειρας ἡμᾶς θεοῦ σὺν ἡμῖν μεῖναι ἅμα τοῖς σύν σοι πᾶσιν. Ὁμοίως δὲ καὶ ἡ Κλεοπάτρα τῶν ποδῶν αὐτοῦ ἁπτομένη ταὐτὰ ἔλεγεν. ὁ δὲ Ἰωάννης ἔφη αὐτοῖς· Αὔριον παρ' ὑμῖν ἔσομαι. Κἀκεῖνοι πάλιν αὐτῷ ἔφησαν· Ἐλπὶς ἡμῖν οὐκ ἔστιν ἐν τῷ θεῷ σου, ἀλλὰ μάτην εἴημεν ἐγηγερμένοι, ἐὰν μὴ μείνῃς παρ' ἡμῖν. Καὶ ὁ Κλεόβιος ἅμα τῷ

[3] *scr* παρεστῶτα? ‖ [5] *scr* τὸν θεόν? ‖ [9] αὐτὴ] *scr* αὐτῆς? ‖ [14] *scr* ἐπεκάλεσε? ‖ [15] ⟨καὶ⟩ εἶπε? ‖ [16] Κλεοπάτρας *Iames probabiliter* ‖ *scr* ἐκβοῶσαν? *item Iames* ‖ [17] *del* ὅτι? *an plura interciderunt?* ‖ [23] *scr* εἰπέ? εἶπον *imperatiuum probat Iames: cf* 188, 24 ‖ [33] ταῦτα *R*

Ἀριστοδήμῳ καὶ ὁ Δαμόνικος πληγέντες τὰς ψυχὰς ἔφησαν τῷ Ἰωάννῃ· Μείνωμεν πρὸς αὐτοὺς ὅπως ἀσκανδάλιστοι μείνωσι πρὸς τὸν κύριον. Ὁ δὲ ἐπέμεινεν ἐκεῖ σὺν τοῖς ἀδελφοῖς.

26 Συνῆλθον οὖν πλήθους πολλοῦ συναγωγὴ τοῦ Ἰωάννου ἕνεκα. καὶ ἐν τῷ ὁμιλεῖν αὐτὸν τοῖς παροῦσιν ὁ Λυκομήδης φίλον εὐφυῆ ἔχων ζωγράφον δρομαῖος ἐπ' αὐτὸν ἦλθε, καὶ λέγει αὐτῷ· Ὁρᾷς ἐμὲ αὐτὸν ἐσκυλμένον πρὸς σέ· ἐλθὲ ταχέως εἰς τὴν οἰκίαν, καὶ ὃν ὑποδείκνυμί σοι τοῦτον γράψον μὴ ἐπισταμένου αὐτοῦ. Καὶ ὁ ζωγράφος ἐπιδούς τινι τα ἑαυτοῦ ἐπιτήδεια ἐργαλεῖα καὶ χρώματα εἶπε τῷ Λυκομήδῃ· Ὑπόδειξόν μοι αὐτὸν καὶ τοῦ λοιποῦ ἔσο ἀφρόντιστος. Καὶ ὁ Λυκομήδης δείξας τὸν Ἰωάννην τῷ ζωγράφῳ καὶ ἐγγίσας καὶ συγκλείσας εἴς τινα οἶκον ἀφ' οὗ ἑωρᾶτο ὁ τοῦ Χριστοῦ ἀπόστολος· συνῆν δὲ ὁ Λυκομήδης τῷ μακαρίῳ εὐωχούμενος τῇ πίστει καὶ τῇ γνώσει τοῦ θεοῦ ἡμῶν, ἐπὶ πλεῖον δὲ ἠγαλλιάσατο ὅτι ἐν εἰκόνι ἤμελλεν αὐτὸν ἔχειν.

27 Ὁ οὖν ζωγράφος τῇ πρώτῃ ἡμέρᾳ σκιαγραφήσας αὐ- 223 Z
τὸν ἀπηλλάγη· τῇ δὲ ἑξῆς καὶ τοῖς χρώμασιν αὐτὸν κατεκέρασε,
καὶ οὕτως τῷ Λυκομήδει χαίροντι τὴν εἰκόνα ἀπέδωκεν. ἣν
λαβὼν καὶ ἀναθεὶς εἰς τὸν ἑαυτοῦ κοιτῶνα ἔστεφεν· ὡς ὕστε-
ρον γνόντα | τὸν Ἰωάννην εἰπεῖν αὐτῷ· Ἀγαπητόν μου τέκνον, 224 Z
τί διαπράττῃ ἀπὸ τοῦ βαλανείου εἰσερχόμενος εἰς τὸν κοιτῶνά σου μόνος; ἐγὼ οὐχὶ σὺν σοὶ καὶ τοῖς λοιποῖς ἀδελφοῖς εὔχομαι; ἢ ἡμᾶς κρύπτεις; Καὶ ταῦτα λέγων καὶ παίζων μετ' αὐτοῦ εἴσεισιν εἰς τὸν κοιτῶνα· καὶ ὁρᾷ εἰκόνα περιεστεμμένην πρεσβύτου καὶ παρακειμένους λύχνους καὶ βωμοὺς ἔμπροσθεν. καὶ φωνήσας αὐτὸν εἶπε· Λυκόμηδες, τί βούλεταί σοι τὸ τῆς εἰκόνος ταύτης; τῶν θεῶν σού τις τυγχάνει ὁ γεγραμμένος; ὁρῶ γάρ

---

[4] *scr συνῆλθεν?* ‖ [14] *ἀπόστολος ⟨....⟩? cf 167, 9* ‖ [15] *scr ἔτι?*

Σ' (=*Σ*[=*TOXYZ*] e l) *R* [17] *ὁ οὖν*] *antecedunt haec: Λεόντιος ὁ... βασιλικὸς ἀσηκρῆτις εἶπεν· Κατὰ τὴν κέλευσιν τῆς ἁγίας συνόδου πάρεισιν αἱ θεῖαι βίβλοι... οὐ μόνον δὲ ἀλλὰ καὶ τῶν κακωνύμων αἱρετικῶν τῶν ἐκ παλαιοῦ τὰς τιμίας εἰκόνας διαβεβληκότων. Ἡ ἁγία σύνοδος εἶπεν· Ἀναγνωσθήτωσαν. Ἐπιφάνιος διάκονος ... ἀνέγνω· Ἐκ τῶν ψευδεπιγράφων περιόδων τῶ νάγίων ἀποστόλων Σ'* ‖ *σκιογραφήσας R* ‖ [20] *λαβ. om Σ': del??* ‖ *καὶ om XYZ* e ‖ [21] *αὐτῷ*] *τῶ λυκομίδη R* ‖ *μοι R* ‖ [22] *τοῦ om Σ* e ‖ [23] *ἐγὼ post σοὶ* e *om Σ* nonne ego tecum l ‖ *λοιποῖς om R* ‖ [24] *ἢ*] *τί R recte??* ‖ *ἡμ.*] *τοίνυν αὐτὸ R: cf 166, 9* ‖ *κ. ταῦτα*] *ταῦτα δὲ R* ‖ *καὶ π. μ. om R* ‖ *αὐτῶ R* ‖ [25] *εἴσ.*] *συνεισῆλθεν αὐτῶ R* ‖ *πρ. περ. R* ‖ [26] *παρακειμένην R* ‖ *κ. β. ἔ. om* l ‖ *βωμὸν R: sic Thilo coniecerat* ‖ [27] *καλέσας R* ‖ *αὐτ.*] *ὁ ἰωάννης add* l *R* ‖ *σου R* ‖ [28] *τίς τ. θ. σ. Σ'* ‖ *τὸν θεὸν R*

πολλά τε προσομιλῶν καὶ ἀπομνημονεύων ὅσα ὁ κύριος αὐτοῖς ἔλεγεν καὶ τίνα ἑκάστῳ διηγεῖτο. γενόμενος δὲ γηραλέος καὶ μεταλλάσσων ἐπισκοπεύειν τῇ ἐκκλησίᾳ τῷ Πολυκάρπῳ ἐνεκελεύσατο.

* * *

18 Ὁ δὲ Ἰωάννης ἠπείγετο εἰς τὴν Ἔφεσον ὑπὸ ὁράματος κεκινημένος· ὁ οὖν Δαιμόνικος καὶ ὁ συγγενὴς αὐτοῦ Ἀριστόδημος καί τις πάνυ πλούσιος Κλεόβιος καὶ ἡ γυνὴ τοῦ

τῆς τῶν Μιλησίων πόλεως. ἰδοῦσα δὲ ἡ θάλασσα τὸν τοῦ κυρίου ἀπόστολον καὶ ἠγαπημένον μαθητὴν καθάπερ εὔσημος δούλη τὰ νῶτα ὑφαπλώσασα τοῦτον μετὰ πάσης εὐλαβείας πρὸς τὴν γῆν παραστῆσαι ἐσπούδασεν.

15* Ἀποβάντος δὲ αὐτοῦ ἀπὸ τῆς θαλάσσης ἐν ἀκτῇ τινι ὡς ἀπὸ ὀκτὼ σημείων τῆς πόλεως Μιλήτου εὗρεν ἐκεῖσε κώμην μικράν. καὶ εἰσελθὼν ἐν αὐτῇ, καὶ καθίσαντος ἐπάνω πέτρας, ὡς ἔθος ἦν τῷ ἀποστόλῳ ποιεῖν εἰς πάντα τὰ ἔθνη ἃ ἐδίδαξε, πεποίηκε καὶ ἐν τῇ κώμῃ ταύτῃ, καὶ κατεφώτισε πάντας τοὺς κατοικοῦντας ἐν αὐτῇ διὰ τῆς αὐτοῦ διδασκαλίας.

16* Εἶτα ἐκεῖθεν ἀναστὰς ἐπορεύετο πρὸς τὴν τῶν Ἐφεσίων πόλιν. πορευομένου δὲ αὐτοῦ εἰσῆλθε καὶ ἐν τῇ τῶν Μιλησίων πόλει· καὶ πολλὰς θαυματουργίας κἀκεῖσε ἐπιτελέσας τῇ τοῦ ἁγίου πνεύματος χάριτι πολλοὺς καὶ τῶν ἐκεῖσε μαθητὰς τοῦ Χριστοῦ καὶ οὐρανοπολίτας εἰργάσατο. τινὲς δὲ τῶν ἐθελοκακούργων ἀναστάντες καὶ πολλοὺς πειρασμοὺς τῷ ἀποστόλῳ προσενέγκαντες, ἔτι μὴν καὶ δηλητήριον θανάτου ποτίσαντες αὐτόν, οὐδὲν ἴσχυσαν κατ' αὐτοῦ· αὐτὸς γὰρ παραυτὰ ἐξεμέσας τὸ φάρμακον ἔμεινεν ἀβλαβής, καὶ λοιπὸν ὥδευε τὴν ὁδὸν αὐτοῦ χαίρων.

17* Οἱ δὲ ἄνδρες τῆς κώμης ἐκείνης ἔνθα κατήντησεν ὁ ἀπόστολος ἐξελθὼν ἀπὸ τῆς θαλάσσης ἀναστάντες ἤγειραν εὐκτήριον μικρὸν τοῦ θεολόγου εἰς μέσον περιλαβόντες τὴν πέτραν ἔνθα καθεσθεὶς ὁ ἀπόστολος ὑπέδειξεν αὐτοῖς προσκυνεῖν καὶ δοξάζειν Χριστὸν τὸν ἀληθινὸν θεὸν ἡμῶν. ἡ δὲ πέτρα ἐκείνη οὐκ ἐπαύσατο ἐκβλύζειν τὸ κατὰ καιρὸν μύρον εὐωδίας εἰς ἐπίδειξιν καὶ πίστιν πάντων τῶν πιστῶν. ἐλθόντων δὲ ἡμῶν ἐν Ἐφέσῳ ἐξῆλθε πᾶς ὁ λαὸς εἰς ἀπάντησιν τοῦ ἀποστόλου.

* * *

[1] τε om A ‖ ὁ κύρ.] χριστὸς A ‖ [2] τίνα] ὅσα A ‖ γηρ.] ὁ μακάριος οὗτος ἰωάννης add A ‖ [3] τῆς ἐκκλησίας A: recte? ‖ [5]–203,[7] om Γ: cf praef

R [5] ὁ δὲ Ἰ.] antecedunt uerba Prochori p 128, 18 Zahn sed inde a p 127 ualde mutata R ‖ [6] δαιμονικὸς R(?): scr Δαμόνικος cf 165, 1

V [9] scr εὐσχημος? ‖ [36] ἀποστόλου] quae sequuntur (καὶ πᾶσιν ἐπευξάμενος cet) cf 203, 8

Μαρκέλλου ἐπέσχον αὐτὸν μόλις μιᾶς ἡμέρας ἐν τῇ Μιλήτῳ συναναπαυόμενοι αὐτῷ. ὡς δὲ ὑπὸ βαθὺν ὄρθρον ἐξῄεσαν καὶ ἤδη τῆς ὁδοῦ ἤνυστο ὡσεὶ μίλια τέσσαρα, φωνὴ ἠνέχθη ἀπὸ οὐρανοῦ πάντων ἡμῶν ἀκουόντων λέγουσα· Ἰωάννη, μέλλεις ἐν Ἐφέσῳ δόξαν τῷ κυρίῳ σου διδόναι ἣν εἴσῃ, σὺ καὶ πάντες οἱ σύν σοι ἀδελφοὶ καί τινες τῶν ἐκεῖ μελλόντων διὰ σοῦ πιστεύειν. Ἐνενόει οὖν ὁ Ἰωάννης ἐν ἑαυτῷ ἀγαλλιώμενος τί ἄρα ἦν τὸ μέλλον ἐν Ἐφέσῳ ἀπαντᾶν, λέγων· Κύριε ἰδοὺ κατὰ τὸ θέλημά σου βαδίζω· γενέσθαι ὃ βούλει.

19 *Καὶ ἐγγιζόντων ἡμῶν τῇ πόλει ὁ στρατηγὸς Ἐφεσίων Λυκομήδης, ἄνθρωπος τῶν δαιμόνων, ἀπήντησεν ἡμῖν, καὶ προσπεσὼν τοῖς ποσὶν Ἰωάννου παρεκάλει λέγων· Ἰωάννης ἐστί σοι ὄνομα; ἔπεμψέ σε ὁ θεὸς ὃν κηρύσσεις ἐπ᾽ εὐεργεσίᾳ τῆς ἐμῆς γυναικός, παραπλήγου γεγονότος ἤδη ἡμέρας ἑπτὰ καὶ ἀθεραπεύτου κειμένης. ἀλλὰ δόξασόν σου τὸν θεὸν ἰασάμενος αὐτὴν σπλαγχνισθεὶς ἐφ᾽ ἡμᾶς. παραστὰς γάρ τις ἤδη σκεπτομένῳ ἐμαυτὸν λογισμὸν δοῦναι τοῦτον ἔφη· Λυκόμηδε, παῦσαι τῆς κατὰ σοῦ στρατευομένης ἐννοίας χαλεπῆς οὔσης· μὴ ὑποβάλῃς σεαυτὸν ταύτην· ἐγὼ γὰρ σπλαγχνισθεὶς ἐπὶ τὴν ἐμὴν δούλην Κλεοπάτραν ἔπεμψα ἐκ Μιλήτου ἄνδρα ὀνόματι Ἰωάννην ὅστις αὐτὴν ἀναστήσας ἀποδώσει σοι σῴαν. Μὴ βράδυνε οὖν δοῦλε τοῦ φανερώσαντός μοι θεοῦ σαυτόν, ἀλλὰ σπεῦσον ἐπὶ τὴν πνοὴν μόνην ἔχουσαν γυναῖκα. Καὶ εὐθέως ὁ Ἰωάννης ἀπῄει ἀπὸ τῆς πύλης ἅμα τοῖς σὺν αὐτῷ ἀδελφοῖς καὶ Λυκομήδης εἰς τὸν οἶκον αὐτοῦ. ὁ δὲ Κλεόβιος ἔφη τοῖς αὐτοῦ νεανίσκοις· Ἀπέλθατε πρὸς τὸν συγγενῆ μου Κάλλιππον καὶ ξενίαν ἀρετὴν λάβετε παρ᾽ αὐτοῦ—ἔχων γὰρ τὸν υἱὸν αὐτοῦ παραγίνομαι ἐκεῖ — ὅπως εὐπρεπῆ τὰ πάντα εὕρωμεν.*

20 *Γενόμενος δὲ ὁ Λυκομήδης σὺν τῷ Ἰωάννῃ ἐν τῇ οἰκίᾳ ἐν ᾗ ἡ γυνὴ ἔκειτο πάλιν αὐτοῦ τῶν ποδῶν ἥπτετο λέγων· Ἴδε κύριε τὸ μαρανθὲν κάλλος, ἴδε τὴν νεότητα, ἴδε τὸ διαβόητον ἄνθος τῆς ταλαιπώρου μου γυναικὸς ἐφ᾽ ᾧ ὅλη ἡ Ἔφεσος ἐξεστήκει· ἐφθονήθην ὁ τάλας, ἐταπεινώθην, ὀφθαλμὸς ἐχθρῶν ἔπληξέ με· οὐδέποτε ἠδίκησα οὐδένα, καίτοι πολλοὺς δυνάμενος βλάψαι, τοῦτο αὐτὸ προορώμενος, μή τι κακὸν*

---

[1] *μαρκέλου R* ‖ [5] *ἤση R* ‖ [9] *scr γενέσθω: cf 183, 15* ‖ [11] *λικομίδης R* ‖ *scr εὐδαιμόνων? item Iames* ‖ [13] *σε] σε? σει? R* ‖ [14] *scr παραπλῆγος γεγονυίας? cf 162, 5* ‖ [17] *scr ἐμαυτῷ?* ‖ *scr τούτων? sed plura corrupta uid* ‖ *scr Λυκόμηδες* ‖ [19] *scr σεαυτῷ??* ‖ *ταύτῃ Iames probabiliter* ‖ [22] *scr ἑαυτόν?* ‖ [25] *scr Λυκομήδει?* ‖ [26] *κάλιππον R* ‖ [27] *scr ἀρεστὴν?* ‖ [28] *scr εὐτρεπῆ?*

ἤ τινα τύχη ταύτην ἴδοιμι φυλασσόμενος. τί οὖν οφελος γέγονε Κλεοπάτρα εὐλαβούμενόν με; τί οὖν ὤνησα εὐσεβὴς χρηματίσας ἕως σήμερον; δυσσεβοῦς χείρονα πάσχω ὅτι σὲ τοιαύτην Κλεοπάτραν ὁρῶ κειμένην. οὐκ ὄψεταί με ἥλιος περιπολῶν σοῦ μηκέτι προσομιλοῦντος. φθάσω σε Κλεοπάτρα ἀπολύων ἑαυτὸν τοῦ βίου. ἀφειδήσω τῆς σωτηρίας μου ἔτι νεάνιδος οὔσης. ἀπολογήσομαι τῇ δίκῃ ὡς δικαίως μοι ὑποδράσαντος ἐξὸν δικασθῆναι πρὸ αὐτὴν ὡς ἀδίκως δικάζουσαν. τιμωρήσομαι αὐτὴν εἴδωλον βίου παραγενόμενος. ἐρῶ πρὸς αὐτήν· Σύ μου τὸ φῶς ἐβιάσω Κλεοπάτραν ἀφαρπάσασα· σύ με νεκρὸν ἐποίησας γενέσθαι τοῦτό μοι παρασχομένη· σύ με τὴν πρόνοιαν ἐβιάσω ἐνυβρίσαι ἐκκόψασά μου τὴν παρρησίαν.

21 Καὶ ἔτι πλείονα λέγων ὁ Λυκομήδης πρὸς τὴν Κλεοπάτραν προσελθὼν τῇ κλίνῃ ἀναβοῶν ἐθρήνει. ὁ δὲ Ἰωάννης ἀπέσπασεν αὐτὸν εἰπών· Μετάστηθι τῶν θρήνων τούτων καὶ τῶν ἀναρμόστων σου ῥημάτων. οὐ προσήκει ἀπεισθῆναι τῷ θεωμένῳ σοι. ἴστη γὰρ ἀπολαμβάνων τὴν αὐτοῦ σύμβιον. σὺν ἡμῖν τοίνυν στὰς τοῖς διὰ ταύτην ἐληλυθόσιν ἔπευξαι τῷ θεῷ ὃν εἶδες φανεροῦντά σε δι' ὀνειράτων. τί οὖν ἐστιν ὦ Λυκόμηδες; διυπνίσθητι καὶ αὐτὸς καὶ ἄνοιξόν σου τὴν ψυχήν. ἀπόβαλε τὸν πολὺν ὕπνον ἀπὸ σοῦ. δεήθητι τοῦ κυρίου, παρακάλεσον αὐτὸν ὑπὲρ τῆς συμβίου σου καὶ ἀναστήσῃ. Ὁ δὲ πεσὼν ἐπὶ τοῦ ἐδάφους ἐθρήνει ὀλοψυχῶν. ὁ οὖν Ἰωάννης ἔφη μετὰ δακρύων· Ὢ καινῆς προδοσίας ὁράματος· ὢ καινοῦ πειρασμοῦ ἐμοῦ κατασκευασθέντος· ὢ καινῆς τέχνης τοῦ κατ' ἐμοῦ τεχνασαμένου. ἡ ἀπ' οὐρανοῦ φωνὴ ἐνεχθεῖσά μοι ἐν τῇ ὁδῷ ταῦτά μοι ἐπραγματεύσατο; ταῦτά μοι προεδήλωσε τὰ μέλλοντα γενέσθαι ἐνθάδε; παραδιδούς με ὄχλῳ τοσούτῳ τῶν πολιτῶν ἕνεκεν Λυκομήδους; ὁ ἀνὴρ ἄπνους κεῖται, κἀμὲ εὖ οἶδα ὅτι ζῶντα τῆς οἰκίας οὐκ ἐάσει με ἐξελθεῖν. τί μέλλεις κύριε; τί σου τὸ χρηστὸν ἐπάγγελμα ἀποκέκληκας ἡμῖν; μή, δέομαί σου κύριε, μὴ δῷς χορεῦσαι τῷ

[1] εἴ R ‖ scr τύχην τοιαύτην? ‖ ἴδ.] ἡδὺ μὴ R ‖ [2] Κλεοπάτραν(?) εὐλαβουμένῳ μοι? ‖ [4] scr Κλεοπάτρα (uoc casu ut 5; 2?) ‖ περὶ πολλῶν R ‖ [5] scr σοι μ. προσομιλοῦντα? σοῦ μ προσομιλούσης? cf 161, 14 ‖ [7] scr μου? ‖ [8] ἐξ ὧν R ‖ scr πρὸς ‖ [10] scr με τὸ φ. ἐβ. ⟨καταλιπεῖν⟩? ‖ [16] scr ἀπειθῆσαι? ‖ [17] θεομένω R unde δεομένῳ (sequente σου) effeceram: sed cf 161, 16 ‖ scr ἴσθι?? ἔσῃ? (ἴστη? ἴστι? R) ‖ scr ἑαυτοῦ? ‖ [19] scr σοι ⟨ἑαυτὸν⟩? cf 161, 22 ‖ [23] scr ἀναστήσει (scil αὐτήν)? ἀναστῇ?? ‖ ὀλιγοψυχῶν Iames optime ‖ [25] scr ἐμοί? ⟨κατ'⟩ ἐμοῦ? cf 26; 163, 3 ‖ [26] ⟨τοιαῦτα⟩ τεχνασαμένου? ‖ [28] scr παραδιδοῖς? ‖ [30] scr ἐάσουσιν??? ‖ [31] del με?? cf 168, 12 et 15 ‖ [32] scr ἡμῶν?

ἐπ' ἀλλοτρίοις κακοῖς ἡδομένῳ· μὴ δῷς τούτῳ ὀρχεῖσθαι τῷ καταγγέλοντι ἡμῶν ἀεί. ἀλλά σου τὸ ἅγιον ὄνομα καὶ τὸ ἔλεος σπευσάτω. ἀνέγειρον πτώματα δύο κατ' ἐμοῦ γεγενημένα.

22 Καὶ δὴ τοῦ Ἰωάννου ἐκβοῶντος ἡ Ἐφεσίων πόλις συνέδραμεν εἰς τὸν οἶκον Λυκομήδους ὡς τετελευτηκότος. ὁ δὲ Ἰωάννης ἰδὼν τὸν πολὺν ὄχλον τὸν ἐληλυθότα εἶπε πρὸς κύριον· Νῦν καιρὸς ἀναψύξεως καὶ παρρησίας τῆς πρὸς σὲ Χριστέ. νῦν καιρὸς κάμνουσιν ἡμῖν τῆς ἐκ σοῦ βοηθείας ἰατρὲ δωρεὰν ἰωμένῳ. ἀκαταγέλαστόν μου τὴν ἐνταῦθα εἴσοδον διαφύλαξον. δέομαί σου Ἰησοῦ, ἐπαμύνω πλήθει τοσούτῳ ἐλθεῖν ἐπὶ σὲ τὸν τῶν ὅλων δεσπότην. ἴδε τὴν θλῖψιν, ἴδε τοὺς κατακειμένους. σὺ κατάρτισον καὶ ἀπὸ τῶν ἐντεῦθεν συνεληλυθότων σκεύη ἅγια εἰς ὑπηρεσίαν τὴν σὴν θεασαμένων τὴν δωρεάν σου. αὐτὸς γὰρ εἶπας Χριστέ· Αἰτεῖτε καὶ δοθήσεται ὑμῖν. Αἰτούμεθα οὖν σε βασιλεῦ οὐ χρυσόν, οὐκ ἄργυρον, οὐχ ὕπαρξιν, οὐ κτῆσιν, οὐδέ τι τῶν ἐπὶ γῆς ὄντων ἀπολλυμένων, ἀλλὰ ψυχὰς δύο δι' ὧν ἐπιστρέφειν μέλλοντας ἐπὶ τὴν σὴν ὁδόν, ἐπὶ τὴν σὴν μάθησιν, ἐπὶ τὴν σὴν παρρησίαν, ἐπὶ τὴν ἄριστόν σου ἐπαγγελίαν· καταμαθόντες γὰρ τὴν δυναστείαν σου διὰ τοῦ ἐγηγέρθαι τοὺς ἀποψύξαντας σωθήσονταί τινες αὐτῶν. παράσχου οὖν καὶ αὐτὸς ἐλπίδα ἐπὶ σέ. πρόσειμι τοίνυν τῇ Κλεοπάτρᾳ λέγων· Ἀνάστηθι ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ.

23 Καὶ προσελθών, ἁψάμενος τοῦ προσώπου αὐτῆς ἔφη· Κλεοπάτρα, λέγει ὃν ἐφοβήθη πᾶς ἄρχων καὶ πᾶσα κτίσις, δύναμις, ἄβυσσός τε καὶ σκότος ἅπαν καὶ θάνατος ἀγέλαστος καὶ οὐρανῶν ὕψωμα καὶ ᾅδου κυκλώματα καὶ νεκρῶν ἀνάστασις καὶ πηρῶν ὄψις καὶ τοῦ κοσμοκράτορος ἅπασα ἡ δύναμις καὶ ἡ τοῦ ἄρχοντος ὑπερηφανία· Ἀνάστηθι, καὶ μὴ γίνου πρόφασις πολλοῖς ἀπιστεῖν θέλουσι καὶ θλίψεις ψυχὰς δυναμένας ἐλπίσαι καὶ σωθῆναι. Καὶ ἡ Κλεοπάτρα εὐθέως μετὰ φωνῆς ἐβόησεν· Ἀνίσταμαι δέσποτα· σῷζε τὴν δούλην σου. ἀναστήσεις δέ μου δι' ἡμερῶν ἑπτὰ ἡ πόλις Ἐφεσίων ἐκινεῖτο ἐπὶ τῷ παραδόξῳ θεάματι. ἠρώτα δὲ ἡ Κλεοπάτρα περὶ τοῦ

14 **Matth 7, 7**

---

2 scr καταγελῶντι? item Iames ‖ 9 scr ἰώμενε? (cf 206, 10) item Iames 10 scr ἐπάμυνον? ‖ 12 σοὶ R ‖ 16 κτίσιν R ‖ ὄντων ⟨καὶ⟩? ‖ 17 μέλλ.] μέλλεις πάντας Iames optime nisi forte μέλλ⟨εις τοὺς παρ⟩όντας: cf 21 ‖ 19 scr ἄρρηκτόν?? ἄπταιστόν?? ἄψευστόν? ‖ 30 scr θλῖψις ψυχαῖς δυναμέναις? ‖ 33 post ἑπτὰ interpungit, lacunam quae uidetur esse post μου (μου τὸν ἄνδρα· Ἀναστάσης δὲ αὐτῆς temptabat Iames) non significat R

ἀνδρὸς αὐτῆς Λυκομήδους· ὁ δὲ Ἰωάννης εἶπεν αὐτῇ· Κλεοπάτρα, ἀκίνητον ἔχουσα τὴν ψυχὴν καὶ ἀμετάτρεπτον αὐτόθεν ἕξεις Λυκομήδην τὸν σύμβιόν σου ἐνταῦθά σοι παρεστῶσα, εἴ γε μὴ ταράσσῃ μηδὲ κινῇ ἐπὶ τῷ γεγονότι, πιστεύσασα ἐπὶ τῷ θεῷ μου, ὅστις δι' ἐμοῦ ζῶντα αὐτὸν χαρίσεται. ἐλθὲ οὖν ἅμα ἐμοὶ εἰς τὸν ἕτερόν σου κοιτῶνα, καὶ θεάσῃ αὐτὸν νενεκρωμένον, ἀνιστάμενον δὲ τῇ τοῦ θεοῦ μου δυνάμει.

24 *Καὶ ἡ Κλεοπάτρα ἐλθοῦσα σὺν τῷ Ἰωάννῃ εἰς τον κοιτῶνα αὐτῆς καὶ ἰδοῦσα τὸν Λυκομήδην τεθνηκότα αὐτὴ ἕνεκα, ἔπασχε τῇ φωνῇ καὶ τοῖς ὀδοῦσιν ἔτριζε καὶ τὴν γλῶσσαν ἀπέδακνε καὶ τοὺς ὀφθαλμοὺς καμμύουσα δάκρυα προσέβρεχε· καὶ ἠρέμα τῷ ἀποστόλῳ προσεῖχεν. ὁ δὲ Ἰωάννης σπλαγχνισθεὶς ἐπὶ τῇ Κλεοπάτρᾳ ὡς εἶδεν αὐτὴν μὴ μανεῖσαν μηδὲ ἐκστᾶσαν, ἐκάλεσε τὰ τέλεια σπλάγχνα καὶ ἀνυπερήφανα, εἶπε· Κύριε Ἰησοῦ Χριστέ, ὁρᾷς τὸ συνέχον· ὁρᾷς τὴν ἀνάγκην· ὁρᾷς Κλεοπάτραν ἐκβοῶσα τὴν ψυχὴν διὰ τοῦ σιγᾶν· συνέχει γὰρ ἐν ἑαυτῇ τὴν ἀφόρητον μανίαν· ἐπίσταμαι δὲ ὅτι ἕνεκεν τοῦ Λυκομήδους καὶ αὐτὴν ἐπαποθανουμένην. Ἡ δὲ ἠρέμα εἶπε πρὸς Ἰωάννην· Τοῦτο σκέπτομαι δέσποτα καὶ οὐχ ἕτερον. Καὶ προσελθὼν τῷ κλινιδίῳ ὁ ἀπόστολος ἐφ' οὗ ὁ Λυκομήδης ἔκειτο καὶ λαβόμενος τῆς χειρὸς Κλεοπάτρας ἔφη· Κλεοπάτρα, διὰ τὸν παρεστῶτα ὄχλον καὶ τοὺς ἐπεισελθόντας συγγενεῖς σου μετὰ κραυγῆς ἰσχυρᾶς εἰπόν σου τῷ ἀνδρί· Ἀναστὰς δόξασον τοῦ θεοῦ τὸ ὄνομα, ὅτι νεκροὺς νεκροῖς χαρίζεται. Ἡ δὲ προσελθοῦσα καὶ εἰποῦσα τῷ ἀνδρὶ αὐτῆς καθ' ἃ ἐδιδάχθη εὐθὺς ἀνέστησεν αὐτόν. ὃ δὲ ἀναστὰς καὶ πεσὼν ἐπὶ τοῦ ἐδάφους τοὺς τοῦ Ἰωάννου πόδας κατεφίλει. ὃ δὲ ἐγείρας αὐτὸν λέγει· Μὴ τοὺς ἐμοὺς πόδας ἄνθρωπε φίλει ἀλλὰ τοὺς τοῦ θεοῦ οὗ δυνάμει ἀνέστητε ἀμφότεροι.*

25 *Ὁ δὲ Λυκομήδης τῷ Ἰωάννῃ ἔφη· Παρακαλῶν σε ἐνορκίζω οὗ ὀνόματι ἤγειρας ἡμᾶς θεοῦ σὺν ἡμῖν μεῖναι ἅμα τοῖς σύν σοι πᾶσιν. Ὁμοίως δὲ καὶ ἡ Κλεοπάτρα τῶν ποδῶν αὐτοῦ ἁπτομένη ταὐτὰ ἔλεγεν. ὁ δὲ Ἰωάννης ἔφη αὐτοῖς· Αὔριον παρ' ὑμῖν ἔσομαι. Κἀκεῖνοι πάλιν αὐτῷ ἔφησαν· Ἐλπὶς ἡμῖν οὐκ ἔστιν ἐν τῷ θεῷ σου, ἀλλὰ μάτην εἴημεν ἐγηγερμένοι, ἐὰν μὴ μείνῃς παρ' ἡμῖν. Καὶ ὁ Κλεόβιος ἅμα τῷ*

---

[3] *scr παρεστῶτα?* ‖ [5] *scr τὸν θεόν?* ‖ [9] *αὐτὴ] scr αὐτῆς?* ‖ [14] *scr ἐπεκάλεσε?* ‖ [15] *<καὶ> εἶπε?* ‖ [16] *Κλεοπάτρας Iames probabiliter* ‖ *scr ἐκβοῶσαν? item Iames* ‖ [17] *del ὅτι? an plura interciderunt?* ‖ [23] *scr εἰπέ? εἶπον imperatiuum probat Iames: cf 188, 24* ‖ [33] *ταῦτα R*

Ἀριστοδήμῳ καὶ ὁ Δαμόνικος πληγέντες τὰς ψυχὰς ἔφησαν τῷ Ἰωάννῃ· Μείνωμεν πρὸς αὐτοὺς ὅπως ἀσκανδάλιστοι μείνωσι πρὸς τὸν κύριον. Ὁ δὲ ἐπέμεινεν ἐκεῖ σὺν τοῖς ἀδελφοῖς.

26 Συνῆλθον οὖν πλήθους πολλοῦ συναγωγὴ τοῦ Ἰωάννου ἕνεκα. καὶ ἐν τῷ ὁμιλεῖν αὐτὸν τοῖς παροῦσιν ὁ Λυκομήδης φίλον εὐφυῆ ἔχων ζωγράφον δρομαῖος ἐπ' αὐτὸν ἦλθε, καὶ λέγει αὐτῷ· Ὁρᾷς ἐμὲ αὐτὸν ἐσκυλμένον πρὸς σέ· ἐλθὲ ταχέως εἰς τὴν οἰκίαν, καὶ ὃν ὑποδείκνυμί σοι τοῦτον γράψον μὴ ἐπισταμένου αὐτοῦ. Καὶ ὁ ζωγράφος ἐπιδούς τινι τα ἑαυτοῦ ἐπιτήδεια ἐργαλεῖα καὶ χρώματα εἶπε τῷ Λυκομήδῃ· Ὑπόδειξόν μοι αὐτὸν καὶ τοῦ λοιποῦ ἔσο ἀφρόντιστος. Καὶ ὁ Λυκομήδης δείξας τὸν Ἰωάννην τῷ ζωγράφῳ καὶ ἐγγίσας καὶ συγκλείσας εἴς τινα οἶκον ἀφ' οὗ ἑωρᾶτο ὁ τοῦ Χριστοῦ ἀπόστολος· συνῆν δὲ ὁ Λυκομήδης τῷ μακαρίῳ εὐωχούμενος τῇ πίστει καὶ τῇ γνώσει τοῦ θεοῦ ἡμῶν, ἐπὶ πλεῖον δὲ ἠγαλλιάσατο ὅτι ἐν εἰκόνι ἤμελλεν αὐτὸν ἔχειν.

27 Ὁ οὖν ζωγράφος τῇ πρώτῃ ἡμέρᾳ σκιαγραφήσας αὐ- 223 Z
τὸν ἀπηλλάγη· τῇ δὲ ἑξῆς καὶ τοῖς χρώμασιν αὐτὸν κατεκέρασε, καὶ οὕτως τῷ Λυκομήδει χαίροντι τὴν εἰκόνα ἀπέδωκεν. ἣν λαβὼν καὶ ἀναθεὶς εἰς τὸν ἑαυτοῦ κοιτῶνα ἔστεφεν· ὡς ὕστερον γνόντα | τὸν Ἰωάννην εἰπεῖν αὐτῷ· Ἀγαπητόν μου τέκνον, 224 Z
τί διαπράττῃ ἀπὸ τοῦ βαλανείου εἰσερχόμενος εἰς τὸν κοιτῶνά σου μόνος; ἐγὼ οὐχὶ σὺν σοὶ καὶ τοῖς λοιποῖς ἀδελφοῖς εὔχομαι; ἢ ἡμᾶς κρύπτεις; Καὶ ταῦτα λέγων καὶ παίζων μετ' αὐτοῦ εἴσεισιν εἰς τὸν κοιτῶνα· καὶ ὁρᾷ εἰκόνα περιεστεμμένην πρεσβύτου καὶ παρακειμένους λύχνους καὶ βωμοὺς ἔμπροσθεν. καὶ φωνήσας αὐτὸν εἶπε· Λυκόμηδες, τί βούλεταί σοι τὸ τῆς εἰκόνος ταύτης; τῶν θεῶν σού τις τυγχάνει ὁ γεγραμμένος; ὁρῶ γάρ

---

[4] *scr συνῆλθεν?* ‖ [14] *ἀπόστολος ⟨....⟩? cf 167, 9* ‖ [15] *scr ἔτι?*

Σ' (=Σ[=TOXYZ] e l) R [17] *ὁ οὖν] antecedunt haec: Λεόντιος ὁ... βασιλικὸς ἀσηκρῆτις εἶπεν· Κατὰ τὴν κέλευσιν τῆς ἁγίας συνόδου πάρεισιν αἱ θεῖαι βίβλοι... οὐ μόνον δὲ ἀλλὰ καὶ τῶν κακωνύμων αἱρετικῶν τῶν ἐκ παλαιοῦ τὰς τιμίας εἰκόνας διαβεβληκότων. Ἡ ἁγία σύνοδος εἶπεν· Ἀναγνωσθήτωσαν. Ἐπιφάνιος διάκονος ... ἀνέγνω· Ἐκ τῶν ψευδεπιγράφων περιόδων τῶ νἁγίων ἀποστόλων Σ'* ‖ *σκιογραφήσας R* ‖ [20] *λαβ. om Σ': del??* ‖ *καὶ om XYZ* e ‖ [21] *αὐτῷ] τῶ λυκομίδη R* ‖ *μοι R* ‖ [22] *τοῦ om Σ* e ‖ [23] *ἐγὼ post σοὶ* e *om Σ* nonne ego tecum l ‖ *λοιποῖς om R* ‖ [24] *ἢ] τί R recte??* ‖ *ἡμ.] τοίνυν αὐτὸ R: cf 166, 9* ‖ *κ. ταῦτα] ταῦτα δὲ R* ‖ *καὶ π. μ. om R* ‖ *αὐτῷ R* ‖ [25] *εἴσ.] συνεισῆλθεν αὐτῷ R* ‖ *πρ. περ. R* ‖ [26] *παρακειμένην R* ‖ *κ. β. ἔ. om* l ‖ *βωμὸν R: sic Thilo coniecerat* ‖ [27] *καλέσας R* ‖ *αὐτ.] ὁ ἰωάννης add R* ‖ *σου R* ‖ [28] *τίς τ. θ. σ. Σ'* ‖ *τὸν θεὸν R*

σε ἔτι ἐθνικῶς ζῶντα. Καὶ ὁ Λυκομήδης αὐτῷ ἀπεκρίνατο· Ὁ θεὸς μέν μοί ἐστιν ἐκεῖνος μόνος ὁ ἐμὲ ἐγείρας ἐκ τοῦ θανάτου μετὰ τῆς συμβίου μου. εἰ δέ γε καὶ μετὰ τὸν θεὸν ἐκεῖνον τοὺς εὐεργέτας ἡμῶν ἀνθρώπους θεοὺς χρὴ καλεῖσθαι, σὺ εἶ πάτερ ὁ ἐν τῇ εἰκόνι γεγραμμένος μοι, ὃν στέφω καὶ φιλῶ καὶ σέβομαι ὁδηγὸν ἀγαθόν μοι γεγονότα.

28 Καὶ ὁ Ἰωάννης μηδέποτε τὸ ἑαυτοῦ πρόσωπον θεασάμενος εἶπεν αὐτῷ· Παίζεις με τέκνον· τοιοῦτός εἰμι τῇ μορφῇ τὸν κύριόν σου; πῶς με πείθεις ὅτι μοι ἡ εἰκὼν ὁμοία ὑπάρχει; Καὶ ὁ Λυκομήδης αὐτῷ προσήγαγε κάτοπτρον· καὶ ἰδὼν ἑαυτὸν ἐν τῷ κατόπτρῳ καὶ ἀτενίσας τῇ εἰκόνι εἶπε· Ζῇ κύριος Ἰησοῦς Χριστός, ὁμοία μοι ἡ εἰκών· | οὐκ ἐμοὶ δὲ τέκνον ἀλλὰ τῷ σαρκικῷ μου εἰδώλῳ· εἰ γὰρ θέλει με ὁ ζωγράφος οὗτος ὁ μιμησάμενός μου τὴν ὄψιν ταύτην ἐν εἰκόνι γράψαι, χρωμάτων τῶν δεδομένων σοι νῦν ἀπορῆσαι αὐτὸν καὶ σανίδων καὶ τόπου καὶ πόλις καὶ σχήματος μορφῆς καὶ γήρους καὶ νεότητος καὶ πάντων τῶν ὁρωμένων.

29 γενοῦ δέ μοι σὺ ἀγαθὸς ζωγράφος Λυκόμηδες· ἔχεις χρώματα ἅ σοι δίδωσι δι' ἐμοῦ ὁ ἑαυτῷ πάντας ἡμᾶς ζωγραφῶν Ἰησοῦς, ὁ τὰς μορφὰς καὶ τὰ εἴδη καὶ τὰ σχήματα καὶ τὰς διαθέσεις καὶ τοὺς τύπους τῶν ψυχῶν ἡμῶν ἐπιστάμενος. ἔστι δὲ ταῦτα τὰ χρώματα ἅπερ σοι λέγω ζωγραφεῖν πίστις ἡ εἰς θεόν, γνῶσις, εὐλάβεια, φιλία, κοινωνία, πρᾳότης, χρηστότης, φιλαδελφία, ἁγνεία, εἰλικρίνεια, ἀταραξία, ἀφοβία, ἀλυπία, σεμνότης, καὶ ὅλος ὁ τῶν χρωμάτων χορὸς ὁ εἰκονογραφῶν σου τὴν ψυχήν, καὶ καταβεβλημένα σου τὰ μέλη ἀνεγείρων ἤδη, τὰ δὲ ἐπηρμένα ὁμαλίζων, καὶ τὰς πληγὰς θεραπεύων καὶ τὰ τραύματα ἰώμενος καὶ τὰς πειρωμένας σου τρίχας συντιθεὶς καὶ τὸ πρόσωπόν σου νίπτων καὶ τοὺς

---

[1] ἔτι om R ‖ [2] Ὁ θ.] scr ὅτι Θεὸς? del?? ‖ μοί om R ‖ μόνος om R ‖ ἐγ. με R ‖ [3] συμβίας R ‖ γε om Σ' ‖ [4] ἐκείνους Σ om e illos I: cf 2 ‖ δεῖ R ‖ [5] πάτερ om Σ' ‖ μοι om Σ' ‖ [6] ἀγ. ὁδ. R ‖ [7] μηδέπω Σ' (post πρόσ. O I) ‖ ἑ. τὸ R ‖ [8] εἶπε πρὸς τὸν λυκομίδην R ‖ [8–9] scr τέκνον τὸν κ. σου; τοι. ε. τῇ μ.?? an intercidit aliquid post μορφῇ? ‖ [8] τεκνίον (Σ) filiole mi I: cf 13 al ‖ τῇ om Σ e ‖ [9] τὸν κ. σου] προσηνὴς R inepte ‖ τὸν] ὑπὲρ τὸν y e super I coniectura futtili ‖ με π.] τοίνυν πείσεις με R: cf 165, 24 ‖ [9–10] ὁμ. μου ὑπ. ἡ εἰκ. αὕτη R: cf 12 ‖ [10] προσήνεγκεν αὐτῷ κάτ. R ‖ [11] καὶ - κατ. om R ‖ [12] κύρ.] μου add R ‖ ὅτι ὁμ. μου ἐστὶ ἡ εἰκ. αὕτη R: cf 9 ‖ [12]–167,[7] οὐκ - εἰκόνα] κακῶς δὲ τοῦτο διεπράξω (cf 167,6) reliqua desunt usque ad 196,19 Σ' R [13] scr ἐμὲ? ‖ [15–17] <μὴ νομίσῃς> χρωμάτων?? ‖ [16] τ. κ. π.] scr κόλλης κ. τύπου?? cf 21 ‖ <καὶ> μορφῆς? cf 20 ‖ [28] scr σπειρομένας? διασπειρομένας?

ὀφθαλμούς σου παιδεύων καὶ τὰ σπλάγχνα σου καθαρίζων καὶ τὴν γαστέρα σου κοιλαίνων καὶ τὰ ὑπογάστριά σου ἐκκόπτων· καὶ ἁπλῶς ὅλη συνελθοῦσα τῶν τοιούτων χρωμάτων καὶ μίξεις ἐπὶ τὴν ψυχήν σου ἀνέκπληκτον καὶ ἄξεστον καὶ στερεόμορφον αὐτὴν ἐπὶ τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν καταστήσει· ὃ δὲ νῦν διεπράξω παιδιῶδες καὶ ἀτελές· ἔγραψας νεκροῦ νεκρὰν εἰκόνα.

30 Καὶ κελεύσας Βήρῳ τῷ διακονοῦντι αὐτῷ ἀδελφῷ τὰς ἐν ὅλη τῇ Ἐφέσῳ ἀγαγεῖν πρεσβυτέρας, ἡτοιμάζετο δὲ ἅμα τῇ Κλεοπάτρᾳ καὶ τῷ Λυκομήδει τὰ πρὸς ἐπιμέλειαν. ἦλθεν οὖν ὁ Βῆρος λέγων τὸν Ἰωάννην· Τῶν ἐνθάδε οὐσῶν πρεσβυτίδων ὑπὲρ ἑξήκοντα τεσσάρων μόνον τῷ σώματι ὑγιαινούσας εὗρον, τῶν δὲ λοιπῶν τινὰς δὲ καὶ παραλυτικὰς καὶ ἄλλας νοσούσας. Ὁ δὲ Ἰωάννης ταῦτα ἀκούσας καὶ ἐπὶ πολὺ ἡσυχάσας καὶ τὸ πρόσωπον αὐτοῦ ἀποτρίβων εἶπεν· Ὢ ἀτονία τῶν ἐν Ἐφέσῳ οἰκούντων· ὢ πράγματα ἐκλελυμένα καὶ ἀσθένεια ἡ πρὸς τὸν θεόν· ὢ χρόνῳ ἐμπαίξας Ἐφεσίων τοῖς πιστοῖς διάβολε· Ἰησοῦς μοι χάριν διδοὺς καὶ δωρεὰν ἔχειν με τῆς ἐν αὐτῷ παρρησίας λέγει μοι νῦν σιγῶν· Μετάπεμψαι τὰς νοσούσας γραίας καὶ γενοῦ ἅμα αὐταῖς ἐν τῷ θεάτρῳ καὶ δι' ἐμοῦ θεράπευσον αὐτάς· εἰσὶ γάρ τινες τῶν ἐρχομένων ἐπὶ τῇ θέᾳ ταύτῃ οὓς διὰ τῶν τοιούτων ἰάσεων εἴ τι χρήσιμον γενόμενος ἐπιστρέψω.

31 Τοῦ δὲ παντὸς ὄχλου συνελθόντος πρὸς τὸν Λυκομήδην τοῦ Ἰωάννου ἕνεκα ἀπετάξατο πᾶσι λέγων· Αὔριον γίνεσθε ἐν τῷ θεάτρῳ ὁπόσοι βούλεσθε τὴν τοῦ θεοῦ δύναμιν. Οἱ δὲ ὄχλοι τῇ ἐπαύριον ἐκ νύκτωρ ἦλθον εἰς τὸ θέατρον· ὡς καὶ τὸν ἀνθύπατον γνόντα σπεῦσαι καὶ συγκαθίσαι τῷ παντὶ ὄχλῳ. Ἀνδρόνικος δέ τις στρατηγός, πρῶτος ὢν τῶν Ἐφεσίων κατ' ἐκεῖνο καιροῦ, ἐφήμιζεν ἀδύνατα καὶ ἄπιστα τῷ Ἰωάννῃ ὑπεσχνεῖσθαι· Εἰ δέ τι τοιοῦτον ὁποῖον ἀκούω, ἔλεγεν, ἔχειν, τὸ δημόσιον θέατρον ἀνεῳγὸς εἰσιέτω γυμνός, μηδὲν ἐπὶ τῶν χειρῶν αὐτοῦ κρατῶν, μηδὲ τὸ μαγικὸν ἐκεῖνο ὀνομαζέτω ὄνομα ὃ ἀκήκοα αὐτοῦ λέγοντος.

---

[1] scr ἐπιδεύων?? φαιδρύνων?? ‖ [3] ⟨ἄθροισις⟩ καὶ μίξις? ‖ [4] scr ἄτρεστον? ‖ [9] πρεσβυτέρας ⟨....⟩? cf 165, 14 ‖ [11] ⟨πρὸς⟩ τὸν Ἰ.? τῷ Ἰωάννῃ? ‖ [12] scr τέσσαρας? ‖ [13] ⟨τινὰς μὲν ἀτονούσας,⟩ τινὰς? cf 15 ‖ [19] παρρησίας ⟨θέλων⟩?? ‖ [22] scr εἴς τι?? ‖ [22–23] scr χρησίμων γενομένων?? ‖ [23] ⟨....⟩ γενόμενος? ‖ [26] βούλεσθε ⟨θεᾶσθαι⟩? an δύναμιν ⟨ἰδεῖν⟩? ‖ [27] ἐκ] scr ἔτι?? ‖ [29] scr στρατηγὸς πρῶτος??? cf 161, 10; 168, 16; 186, 21; 121, 13 Ph c 14 i; 27; 37; al ‖ [31] τῷ Ἰ. ὑπεσχῆσθαι? an τὸν Ἰωάννην ὑπισχνεῖσθαι? ‖ [32] scr ἔχει?

32 *Ταῦτα οὖν γνοὺς ὁ Ἰωάννης καὶ κινηθεὶς ὑπὸ τῶν ῥημάτων τούτων ἐκέλευσε τὰς πρεσβύτιδας εἰς τὸ θέατρον ἀχθῆναι. ὡς δὲ εἰσήχθησαν πᾶσαι, αἳ μὲν κραββάτοις αἳ δὲ νυσταγμῷ κείμεναι αὐτῶν, εἰς τὸ μέσον, καὶ τῆς πόλεως συνδραμούσης, σιγῆς πολλῆς γενομένης, ὁ Ἰωάννης ἀνοίξας τὸ στόμα αὐτοῦ ἤρξατο λέγειν·*

33 *Ἄνδρες Ἐφέσιοι, γνῶτε πρῶτον τίνος ἕνεκεν τῇ ὑμετέρᾳ πόλει ἐπιδημῶ, ἢ τίς ἡ τοσαύτη μου παρρησία πρὸς ὑμᾶς, ὡς καὶ τῷ κοινῷ τούτῳ βουλευτηρίῳ πᾶσιν ἡμῖν καταδήλου γενέσθαι. ἀπέσταλμαι οὖν ἀποστολὴν οὐκ ἀνθρωπίνην οὐδὲ ἀποδημίαν ματαίαν· οὐδέ τις ἔμπορος τυγχάνω ἀντιπράσεις ποιούμενος ἢ ἀντικαταλλαγάς, ἀλλ' ὑμᾶς ὅλους ἐπιστρέφων ἀπιστίᾳ κεκρατημένους καὶ ἐπιθυμίαις αἰσχραῖς πεπραμένους ὃν κηρύσσω Ἰησοῦν Χριστὸν εὔσπλαγχνος ὢν καὶ χρηστὸς βούλεται δι' ἐμοῦ τῆς πλάνης ὑμᾶς ἐξελέσθαι· οὗ δυνάμει καὶ τὴν τοῦ στρατηγοῦ ὑμῶν ἀπιστίαν ἐλέγξω τὰς ἔμπροσθεν ἡμῶν κατακειμένας ἀνιστῶν, ἃς πάντες ὁρᾶτε ἐν οἵῳ δὴ καὶ ἐν ποίοις νόσοις ὑπάρχετε· καὶ οὐκ ἔστι μοι νῦν τοῦτο ὀλυσμένων αὐτῶν καὶ θεραπείαις συναιρεθήσονται.*

34 *ἐκεῖνο δὲ ἐβουλόμην πρῶτον ἐγκατασπεῖραι ὑμῶν ταῖς ἀκοαῖς τῷ τῶν ψυχῶν ἐπιμελεῖσθαι, οὗ ἕνεκεν παραγέγονα πρὸς ὑμᾶς, μὴ προσδοκᾶν τὸν χρόνον τοῦτον αἰῶνα ὑπάρχειν ὅς ἐστι ζυγοῦ, μηδὲ θησαυρίζειν ἐπὶ τῆς γῆς ἔνθα ἅπαντα μαραίνονται· μηδὲ ἡγεῖσθε παίδων ὑμῖν συγγινομένων αὐτοῖς ἀναπεπαῦθαι· μηδὲ τούτων ἕνεκεν ἀποστερεῖν καὶ πλεονεκτεῖν πειρᾶσθε· μηδὲ λυπῆσθε οἱ πένητες εἰ μὴ ἔχητε ταῖς ἡδοναῖς ὑπηρετεῖν· καὶ γὰρ οἱ ἔχοντες ἐν νόσοις γενόμενοι μακαρίζουσι· μηδὲ ὑμεῖς οἱ πλούσιοι χαίρετε ἐπὶ τῷ ἔχειν πλείονα χρήματα· ἐν γὰρ τῷ ταῦτα κεκτῆσθαι ἀχώριστον τὴν λύπην πορίζεσθε ἀπολυόμενοι αὐτῶν· καὶ πάλιν φοβεῖσθε παρόντες μή τις πείθεται ὑμῖν αὐτῶν ἕνεκα.*

35 *ὁ δὲ ἐν εὐμορφίᾳ σώματος ἐπαιρόμενος καὶ τὸ βλέμμα ἐπανατείνων τὸ τέλος γοῦν τῆς ἐπαγγελίας ἐπὶ τοῦ μνήματος θεάσῃ· ὁ δὲ μοιχείᾳ χαίρων γνῶθι ὅτι καὶ νόμῳ καὶ φύσις*

---

[4] νυσταγμῷ num sanum? ‖ κείμεναι, τεθειμένων αὐτῶν ε. τὸ μ. Iames: ac sane ordo uerborum mirus ‖ del καὶ? ‖ [9] scr ⟨καὶ⟩ π. ὑμῖν κατάδηλον? ‖ [15] ὑμᾶς del?? cf 162, 30 et 31 ‖ [17] scr ὑμῶν? ‖ δὴ] scr εἴδει? ‖ [18] scr ποίαις? ‖ scr ὑπάρχουσιν?? ‖ [18–19] ὀλ.-συναιρ. corrupta ‖ [21] τῷ] τὸ Iames: τῷ = διὰ τὸ? ‖ [23] ζ.] ζ. ῥοπή Iames: fort [ζυγοῦ] ⟨ῥοπή⟩ ‖ [24] scr ἡγεῖσθαι? ‖ [25] scr ἀναπεπαῦσθαι? ‖ [26] scr πειρᾶσθαι? ‖ scr λυπεῖσθαι?? λυπεῖσθε? ‖ scr ἔχετε?? ‖ [28] ⟨ὑμᾶς⟩ μακαρίζουσι? ‖ [30] scr παρόντων?? ‖ [31] scr πείθηται?? ἐπίθηται? ‖ [33] scr νόμος?

τετιμώρηται καὶ πρὸ τούτων ἡ συνείδησις. ἡ δὲ μοιχευομένη γυνὴ αὔταρκις οὖσα τῷ νόμῳ ἀγνοεῖς ὅπου καντατήσεις. ὁ δὲ τοῖς δεομένοις μὴ κοινωνῶν, ἔχων δὲ χρήματα ἀπόθεται, ἀπαλλαγεὶς τοῦ σώματος τούτου καὶ δεόμενός τινος ἐλέους ἐν πυρὶ φλεγόμενος οὐχ ἕξει τὸν ἐλεοῦντα. ὁ δὲ ὀργίλος καὶ μανιώδης γνῶθι ὅτι ὅμοια τοῖς ἀλόγοις ζῴοις πολιτεύῃ. ὁ δὲ μέθυσος καὶ αἱρετικὸς κατάμαθε ὅτι ἐξίσταται τῶν φρενῶν δουλεύων αἰσχρᾷ καὶ ῥυπαρᾷ ἐπιθυμίᾳ.

36 ὁ δὲ χρυσῷ χαίρων καὶ ἐλεφαντίνων καὶ λίθοις τερπόμενος νυκτὸς ἐπελθούσης ἃ φιλεῖς θεᾶσαι; ὁ δὲ μαλακαῖς ἐσθῆσι νικώμενος, εἶτα δὲ ἀπαλλασσόμενος τοῦ βίου, ταῦτα ὀφλῆσαι κἀκεῖ ὅπου πορεύῃ; ὁ δὲ φονεὺς γινωσκέτω τὴν ἀξίαν τιμωρίαν διπλῆν ἀποκεῖσθαι μετὰ τὴν ἐνθένδε λύσιν. ὁμοίως καὶ ὁ φαρμακός, ὁ περίεργος, ὁ ἅρπαξ, ὁ ἀποστερητής, ὁ ἀρσενοκοίτης, ὁ κλέπτης, καὶ ὁπόσοι τοιούτου χοροῦ ὑπάρχοντες, τῶν ἔργων ὑμῶν καθηγουμένων ἐπὶ πῦρ ἄσβεστον καὶ σκότος μέγιστον καὶ βυθὸς κολαστηρίων καὶ ἀπειλὰς αἰωνίους καταντήσετε. ὅθεν ἄνδρες Ἐφέσιοι ἐπιστρέψατε ἑαυτούς, ἐπιστάμενοι καὶ τοῦτο ὅτι οἱ βασιλεῖς, οἱ δυνάσται, οἱ τύραννοι, οἱ ἀλαζόνες, οἱ πολέμους χειρωσάμενοι γυμνοὶ τῶν ἐνθένδε ἀπαλλασσόμενοι, ἐν κακοῖς δὲ αἰωνίοις συγγινόμενοι ὀδυνῶνται.

37 Καὶ ταῦτα εἰπὼν ὁ Ἰωάννης δυνάμει θεοῦ ἰάσατο πάσας τὰς νόσους. οἱ δὲ ἀπὸ Μιλήτου ἀδελφοὶ ἔφησαν τῷ Ἰωάννῃ· Πολὺν χρόνον ἐν τῇ Ἐφέσῳ μεμενήκαμεν· εἰ δοκεῖ σοι, καὶ εἰς Σμύρνην πορευθῶμεν. ἤδη γὰρ ἀκούομεν τὰ μεγαλεῖα τοῦ θεοῦ κἀκεῖ κεχωρηκότα. Καὶ ὁ Ἀνδρόνικος ἔφη αὐτοῖς· Ὁπόταν ὁ διδάσκαλος θέλῃ, τότε πορευθῶμεν. Ὁ δὲ Ἰωάννης ἔφη· Πρῶτον ἐν τῷ τῆς Ἀρτέμιδος ναῷ πορευθῶμεν. τάχα γὰρ κἀκεῖ ἡμῶν ὀφθέντων εὑρεθήσονται τοῦ κυρίου οἱ δοῦλοι.

30-37 Μετὰ δὲ τρεῖς ἡμέρας ἐνεφάνισεν ἑαυτὸν ὁ Ἰωάννης 187 Z
τοῖς Ἐφεσίοις καὶ ἤρξατο διδάσκειν αὐτούς. καὶ οἳ μὲν ἐπείθοντο τοῖς λεγομένοις ὑπ' αὐτοῦ, οἳ δὲ μυκτηρίζοντες ἀνεχώρουν.

2-5 cf Luc 16, 19 ss ‖ 11 cf Luc 12, 20?

---

1 *τετιμ.] σὲ τιμωρεῖται?* ‖ 2 *scr αὐτάρκης??? an ἄνταρτις (fem ab eo q e ἀντάρτης)??* ‖ *scr καταντήσεις: cf 18* ‖ 3 *del δὲ??* ‖ *scr ἀπόθετα* ‖ 5 *scr ἕξεις?* ‖ 7 *scr ἐμετικὸς?* ‖ *scr ἐξίστασαι?* ‖ 9 *scr ἐλεφαντίνῳ?* ‖ 12 *scr ὠφελεῖ σε? ὠφελήσει Iames* ‖ *scr γίνωσκέ σοι?* ‖ 15 *scr ὑπάρχετε?? cf 152, 6* ‖ 17 *scr βυθὸν κολαστήριον?* ‖ 20 *scr πολεμίους?* ‖ 21 *del ἐν??* ‖ 25 *scr Σμύρναν?? cf 173, 7; 179, 3* ‖ 30 *del οἱ?? cf 173, 8*

Q 32 *μετὰ et q s inseruit in Prochori p 162, 3 Q: cf 179, 30*

38 Ἦν οὖν μετὰ δύο ἡμέρας ἡ γενέθλιος τοῦ εἰδωλείου. ὁ ουν Ἰωάννης πάντων λευκοφορούντων μόνος ἐνδυσάμενος μέλανα ἀνῄει εἰς τὸν ναόν· οἱ δὲ συλλαβόμενοι αὐτὸν ἀνελεῖν ἐπειρῶντο. ὁ δὲ Ἰωάννης ἔφη· Μεμήνατε ἐπιχειροῦντες ἐμοὶ ἄνδρες δοῦλοι τοῦ μόνου θεοῦ. Καὶ ἀνελθὼν ἐπί τινα βάσιν ὑψηλὴν ἔλεγε πρὸς αὐτούς·

39 Κινδυνεύετε ἄνδρες Ἐφέσιοι θαλάσσης ἐπέχειν τρόπον. πᾶς ποταμὸς ἀπορρέων καὶ πᾶσα πηγὴ κατατρέχουσα, ὄμβρον τε καὶ ἐπάλληλοι κλύδωνες καὶ χειμάρροι πετρώδεις ὑπὸ τῆς ἐν αὐτῇ πικρᾶς ἐπαγγελίας συνεξαλμυροῦνται· οὕτω καὶ ὑμεῖς ἀμετάθετοι ἕως σήμερον πρὸς τὴν ὄντως εὐσέβειαν γεγόνατε ὑποφθειρόμενοι ἐν τοῖς παλαιοῖς ὑμῶν θρησκεύμασι. πόσα εἴδετε δι' ἐμοῦ τεράστια, ἰάσεις νόσων; καὶ ἔτι πεπήρωσθε τὰς καρδίας καὶ οὐ δύνασθε ἀναβλέψαι. τί οὖν ἐστιν ἄνδρες Ἐφέσιοι; τολμήσας νῦν ἀνῆλθον καὶ εἰς τοῦτο ὑμῶν τὸ εἰδωλεῖον, διελέγξω ὑμᾶς ἀθεωτάτους ὄντας καὶ νεκροὺς τῶν ἀνθρωπίνων λογισμῶν. ἰδοὺ ἕστηκα ἐνθάδε· πάντες ὑμεῖς θεὰν εἶναι λέγετε ἔχειν τὴν Ἄρτεμιν· εὔξασθε ἐν ἐκείνῃ ἵνα ἐγὼ μόνος ἀποθάνω· ἢ μόνος ἐγώ, μὴ δυναμένων ὑμῶν τοῦτο ποιῆσαι, τὸν ἴδιόν μου θεὸν ἐπικαλεσάμενος διὰ τὴν ἀπιστίαν ὑμῶν πάντας ὑμᾶς θανατώσω.

40 Οἱ δὲ πεπειραμένοι αὐτοῦ πάλαι καὶ θεασάμενοι νεκροὺς ἐγηγερμένους ἐβόων· Μὴ οὕτως ἀνέλῃς ἡμᾶς, παρακαλοῦμέν σε Ἰωάννη· ἐπιστάμεθα οὖν ὅτι δύνῃ. Καὶ ὁ Ἰωάννης ἔφη αὐτοῖς· Εἰ οὖν μὴ θέλετε ὑμεῖς ἀποθανεῖν, ἐλεγχθήτω τὸ θρήσκευμα ὑμῶν καὶ ἐφ' ᾧ ἐλέγχετε, ὅπως καὶ ὑμεῖς ἀποστήσησθε τῆς παλαιᾶς ὑμῶν πλάνης. νῦν γὰρ μάλιστα ἢ αὐτοὶ ἐπιστρέψατε διὰ τοῦ θεοῦ μου ἢ αὐτὸς ἀποθανοῦμαι διὰ τῆς θεᾶς ὑμῶν· εὔξομαι γὰρ ἐνώπιον ὑμῶν παρακαλέσας μου τὸν θεὸν ἐλεηθῆναι ὑμᾶς.

41 Καὶ εἰπὼν ταῦτα προσηύξατο οὕτως· Ὁ θεὸς ὁ ὑπὲρ πάντων λεγομένων θεῶν ὑπάρχων θεός· ὁ μέχρι σήμερον ἐν τῇ Ἐφεσίων πόλει ἀθετούμενος· ὁ ὑπερβαλών μου τῇ διανοίᾳ ἐλθεῖν εἰς τὸν τόπον τοῦτον ὃν οὐδέποτε ἐν νῷ εἶχον· ὁ

---

[1] εἰδωλίου R: cf 15; 172, 19 ‖ [5] ἄνδρες<Ἐφέσιοι>?? cf 7; 169, 18; 172, 10; 173, 6 ‖ scr δούλῳ?? ‖ [8] scr ὄμβροι? ‖ [10] ἐπαγγελίας corrupt uid: ὑποστάθμης exspectes ‖ [13] νοσ.] scr πόσας? cf 203, 12 ‖ [16] scr διελέγξων? ‖ νεκρ. corruptum? ‖ [16–17] scr τῷ ἀνθρωπίνῳ λογισμῷ? cf 183,25 ‖ [18] del εἶναι? an ἔχειν corruptum? ‖ ἐν] scr οὖν? item Iames ‖ [24] scr γοῦν? ‖ [26] καὶ - ἐλ. corrupta uid ‖ ἐλέγχεται Iames ‖ scr ἀποστήσεσθε? ‖ [33] scr ὑποβαλών?

πᾶσαν θεοσέβειαν ἐλέγξας διὰ τῆς σῆς ἐπιστροφῆς· οὗ ὀνόματι πᾶν εἴδωλον φεύγει καὶ πᾶς δαίμων δύναμίς τε καὶ πᾶσα ἀκάθαρτος· καὶ νῦν φεύγων τῷ ὀνόματι τῷ σῷ τοῦ ἐνθάδε δαίμονος, ὅστις πλανᾷ τοσοῦτον ὄχλον, δεῖξον τὸ σὸν ἔλεος ἐν τῷ τόπῳ τούτῳ, ὅτι πεπλάνηνται.

42 Καὶ ἅμα τῷ λέγειν τὸν Ἰωάννην ταῦτα ἐξαπίνης ὁ βωμὸς τῆς Ἀρτέμιδος διέστη εἰς μέρη πολλά, καὶ τὰ ἐν τῷ ναῷ ἀνακείμενα ἄφνω πάντα εἰς ἔδαφος ἔπεσε, καὶ τὸ δόξαν αὐτῷ διερράγη, ὁμοίως καὶ τῶν ξοάνων πλεῖον τῶν ἑπτά· καὶ τὸ τοῦ ναοῦ ἥμισυ κατέπεσεν, ὡς καὶ τὸν ἱερέα κατερχομένου τοῦ στυμόνος μονόπληγα ἀναιρεθῆναι. ὁ οὖν ὄχλος Ἐφεσίων ἐβόα· Εἷς θεὸς Ἰωάννου, εἷς θεὸς ὁ ἐλεῶν ἡμᾶς,

38-41 Συνηγμένων οὖν πάντων ἐν τῇ ἑορτῇ τῆς μιαρᾶς Ἀρτέμιδος καὶ τὰς θυσίας ἐπιτελούντων — τὸν γὰρ ναὸν αὐτῆς καταστραφέντα ὑπὸ Ἰωάννου ὄντων ἡμῶν ἐν τῇ ἐξορίᾳ οὗτοι πάλιν ἀνοικοδόμησαν — ὁ δὲ Ἰωάννης ἐν τῇ ἑορτῇ αὐτῶν ἔστη ἐφ' ὑψηλοῦ τόπου καὶ ἐδίδασκεν τοὺς ὄχλους ἀποστῆναι τῆς μυσαρᾶς θυσίας. οἱ δὲ οὐκ ἠνέσχοντο ἀκοῦσαι αὐτοῦ λέγοντες· Τίς σε ἤφερεν ὧδε μάγε; μὴ καὶ τοῦτον τὸν ναόν, ὃν μετὰ πολλοῦ κόπου οἰκοδομήσαμεν, βούλει καταστρέψαι ὃν τρόπον καὶ πρότερον πεποίηκας; Ὁ δὲ Ἰωάννης ἔφη πρὸς αὐτούς· Οὐ μόνον ὁ ναὸς ὑμῶν ἀφίεται ἔρημος, ἀλλὰ καὶ ὑμεῖς καὶ τὰ τέκνα ὑμῶν πανολεθρίᾳ παραδοθήσεσθε, ἐὰν μὴ ἐπιγνῶτε τὸν ὄντως ὄντα θεόν, τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν. Πλησθέντες δὲ θυμοῦ καὶ καταγαγόντες αὐτὸν τύπτοντες ἔσυραν ἀνηλεῶς. κείμενος δὲ ὁ ἀπόστολος τοῦ Χριστοῦ ἐπὶ τὴν γῆν προσηύξατο λέγων· Κύριε Ἰησοῦ Χριστέ, καταπέσοι τὸ ἱερὸν τῆς μιαρᾶς Ἀρτέμιδος καὶ ἔμβαλε εὐθύτητα εἰς τὰς καρδίας τοῦ λαοῦ τούτου, ἐπιγνῶναι σὲ τὸν ἀληθινὸν θεὸν καὶ ὃν ἀπέστειλας υἱόν σου μονογενῆ Ἰησοῦν Χριστὸν σωτῆρα τοῦ κόσμου.

42 Καὶ εὐθέως σεισμὸς ἐγένετο καὶ βροντὴ φοβερὰ καὶ κατεστράφη ὁ ναὸς τῆς Ἀρτέμιδος ἄνω κάτω, καὶ τὰ εἴδωλα πάντα συνετρίβησαν, καὶ πλῆθος τοῦ λαοῦ ἐκ τοῦ φόβου ἀπέθανον. ἰδόντες δὲ οἱ λοιποὶ τὸ γεγονὸς εἶπον· Οὐαὶ ἡμῖν· ἕως πότε παροργίζομεν τὸν θεὸν ἀνεχόμενος ἐπὶ ταῖς κακίαις ἡμῶν; μή ποτε ἐν τῇ ἀπιστίᾳ ἡμῶν πανολεθρίᾳ παραπέμψει ἡμᾶς καὶ τὴν πόλιν ἡμῶν. Καὶ ἐλθόντες ἅπαντες ὁμοθυμαδὸν

22 cf Matth 23, 38 ‖ 29 cf Io 17, 3

---

1 *scr ἐπισκοπῆς?? cf 207, 5* ‖ 2 *scr τε καὶ δύναμις?* ‖ 3 *φ. τῷ] scr φεύγοντος?* ‖ 11 *στήμονος Iames (? cf στύω στῦλος)*

Q 15 *καταστρ.] ut narrauit Prochorus* ‖ 19 *ἔφερεν Zahn: recte?? ἤνεγκεν exspectes* ‖ 27 *scr τῆς γῆς?* ‖ 30 *καὶ et q s] cf Lipsius I p 468* ‖ 36 *ἀνεχόμενον Zahn uix tolerabilius* ‖ 38 *deest uerbum: cf 174, 23*

ὅτι σὺ μόνος θεός, νῦν ἐπεστρέψαμεν ὁρῶντές σου τὰ θαυμάσια· ἐλέησον ἡμᾶς ὁ θεὸς ὡς θέλεις, καὶ τῆς πολλῆς πλάνης ῥῦσαι ἡμᾶς. Καὶ οἳ μὲν αὐτῶν ἐπ' ὄψιν κείμενοι ἐλιτάνευον· οἳ δὲ τὰ γόνατα κλίνοντες ἐδέοντο· οἳ δὲ τὰς ἐσθῆτας διαρρήξαντες ἔκλαιον· οἳ δὲ φυγεῖν ἐπειρῶντο.

43 Ὁ δὲ Ἰωάννης ἀνατείνας αὐτοῦ τὰς χεῖρας ἐπαρθεὶς τὴν ψυχὴν εἶπε πρὸς τὸν κύριον· Δόξα σοι Ἰησοῦ μου ὁ τῆς ἀληθείας μόνος θεός, ὅτι σὺ τοὺς σοὺς δούλους τέχνῃ ἀπολαμβάνεις ποικίλῃ. Καὶ τοῦτο εἰπὼν εἶπε πρὸς τὸν ὄχλον· Ἀνάστητε ἀπὸ τοῦ ἐδάφους ἄνδρες Ἐφέσιοι, καὶ εὔξασθε τῷ θεῷ μου, καὶ γνῶτε αὐτοῦ τὴν ἀφανῆ δύναμιν εἰς τὸ φανερὸν ὁρωμένην καὶ τὰ θαυμαστὰ ἔργα παρ' ὀφθαλμοῖς ὑμῶν γινόμενα. ἔδει τὴν Ἄρτεμιν βοηθῆσαι αὐτήν· ἔδει τὸν ταύτης δοῦλον βοηθηθῆναι παρ' αὐτῆς καὶ μὴ ἀποθανεῖν. ποῦ ἡ δύναμις τῆς δαίμονος; ποῦ αἱ θυσίαι; ποῦ αἱ γενίθλιαι ἡμέραι; ποῦ αἱ ἑορταί; ποῦ τὰ στεφανώματα; ποῦ ἡ πολλὴ μαγεία καὶ ἡ ταύτῃ ἀδελφὴ φαρμακεία;

44 Οἱ δὲ ὄχλοι ἀναστάντες τοῦ ἐδάφους πορευθέντες δρομαῖοι καὶ τὰ λοιπὰ τοῦ εἰδωλείου κατέβαλον βοῶντες· Τὸν Ἰωάννου θεὸν μόνον οἴδαμεν, ὃν καὶ λοιπὸν προσκυνοῦμεν ἐλεηθέντες ὑπ' αὐτοῦ. Καὶ καταβαίνοντος ἐκεῖθεν τοῦ Ἰωάννου πολὺ πλῆθος αὐτοῦ ἥπτετο λέγοντες· Βοήθησον ἡμῖν Ἰωάννη· παράστα ἡμῖν ἀπολλυμένοις ματαίοις. ὁρᾷς τὴν προαίρεσιν· ὁρᾷς τὸν ἀκολουθοῦντά σοι ὄχλον ἀποκρεμάμενον ἐλπίδι τῇ πρὸς τὸν θεόν σου· εἴδομεν τὴν ὁδὸν ἣν ἐπλανήθη-

κράζοντες καὶ λέγοντες· Μηδαμῶς ἀπολλώμεθα δοῦλε τοῦ θεοῦ, ἀλλ' εὖξαι ὑπὲρ ἡμῶν. νῦν ἔγνωμεν ὅτι παρὰ θεοῦ ἀπεστάλης ἐπὶ σωτηρίᾳ ἡμῶν καὶ μέγας ἐστὶν ὁ θεὸς ὃν κηρύττεις καὶ οὐκ ἔστιν θεὸς πλὴν αὐτοῦ.

43 Τότε ἀναστὰς ὁ ἀπόστολος εὐλογήσας αὐτοὺς καὶ ἱκανῶς διδάξας καθ' ἑκάστην ἡμέραν ἐβάπτιζεν χιλιάδας καὶ ἑκατοντάδας.

44 Καὶ πάντες ἔφερον τὰ εἴδωλα αὐτῶν καὶ συνέτριβον
188 Z αὐτὰ πρὸ προσώπου Ἰωάννου. προσελθὼν δὲ | Ἰωάννης καὶ ἐπὶ τοῖς τεθνήξασιν ἀνθρώποις προσευξάμενος ἀνέστησεν αὐτούς. καὶ οὐκέτι λοιπὸν ἦν ἐν αὐτοῖς σκάνδαλον, ἀλλὰ πᾶσα ἡ πόλις ἀπὸ μικροῦ ἕως μεγάλου γεγόνασιν χριστιανοί, οὐ μὴν ἀλλὰ καὶ πᾶσα ἡ περίχωρος· καὶ ἦν Ἰωάννης οἰκοδομῶν

---

12 scr ὁρμωμένην?? cf 178, 9 ‖ 13 scr ἑαυτῇ? ‖ 15 scr γενέθλιαι ‖ 19 εἰδωλίου R: cf 170, 1; 171, 10 ‖ 23 scr ματαίως??? cf 173, 1

Q 26 scr ἀπολώμεθα?

μεν ἀπολέσαντες· εἴδομεν τοὺς θεοὺς ἡμῶν ματαίως ἱδραμένους· εἴδομεν τὸν ἐν αὐτοῖς πολὺν καὶ αἰσχρὸν καταγέλωτα. ἀλλ' ἐπίτρεπε ἡμῖν, δεόμεθά σου, παραγενομένοις εἰς τὴν οἰκίαν βοηθεῖσθαι ἀκωλύτως. δέχου ἡμᾶς τοὺς ἐν ἀπορίᾳ γεγονότας.

45 Ὁ δὲ Ἰωάννης εἶπεν αὐτοῖς· Ἄνδρες πιστεύσατε ὅτι ὑμῶν ἕνεκεν ἐν τῇ Ἐφεσίων πόλει ἔμεινα, τὴν ὁρμὴν εἰς Σμύρνην ἐσχηκὼς καὶ τὰς λοιπὰς πόλεις, ὅπως καὶ οἱ ἐκεῖ δοῦλοι τοῦ Χριστοῦ ἐπιστρέψουσι πρὸς αὐτόν. ἀλλ' ἐπειδὴ ἀνισταμένην μηδέπω ἐν ὑμῖν τελείως ἀναπεπαυμένος, μεμένηκα εὐχόμενός μου τῷ θεῷ, καὶ παρεκάλουν αὐτὸν τότε ἐξελθεῖν Ἐφέσου ὁπόταν ὑμᾶς στηρίξω· ὃ καὶ ἰδὼν γεγονὼς καὶ ἔτι μᾶλλον γινόμενος οὐκ ἀπολειφθήσομαι ὑμῶν μέχρις ἂν καθάπερ παῖδας τοῦ τῆς τροφοῦ γάλακτος ἀποσπάσω καὶ ἐπὶ στερεὰν πέτραν καταστήσω.

46 Ἐπέμενεν οὖν ὁ Ἰωάννης παρ' αὐτοῖς εἰσδεχόμενος αὐτοὺς τοῖς ἐν τοῖς Ἀνδρονίκου. ἐν οἷς τις τῶν συνεδρευόντων καὶ τὸν τῆς Ἀρτέμιδος ἱερέα πρὸ τοῦ ἱεροῦ τοῦ πυλῶνος ἀναπαύσας νεκρὸν εἰσεπήδησεν ἔνδον σὺν τοῖς λοιποῖς μηδενὶ εἰπών, συγγενὴς αὐτοῦ ὑπάρχων. ὁ οὖν Ἰωάννης μετὰ τὴν ὁμιλίαν τὴν πρὸς τοὺς ἀδελφοὺς καὶ τὴν εὐχὴν καὶ τὴν εὐχαριστίαν καὶ μετὰ τὴν χειροθεσίαν τὴν ἐφ' ἑκάστου τῶν συνεδρευόντων ποιησάμενος ἔφη ἐν τῷ πνεύματι· Ἐπὶ ταύτης τῶν ἐνθάδε πίστει τῇ εἰς θεὸν ἀγόμενος, τὸν τῆς Ἀρτέμιδος ἱερέα πρὸ

ναοὺς καὶ καταρτίζων ἱερεῖς καὶ ἐπισκόπους καὶ πρεσβυτέρους καὶ θεραπεύων πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν ἐν τῷ λαῷ.

45 Εἶθ' οὕτως ἐν τῇ Σμυρναίων πόλει ἀπελθόντων ἡμῶν πάντα τὰ εἴδωλα συνετρίβησαν τῇ δυνάμει τοῦ Χριστοῦ. καὶ καθιερώσας ναοὺς ὁ ἀπόστολος τοῦ Χριστοῦ καὶ κατηχήσας αὐτοὺς ἐβάπτισεν ἅπαντας καὶ πᾶσαν τὴν παράλιον ἐκείνην, καταλιπὼν ἐκεῖσε πρόεδρον Βούκολον καὶ Πολύκαρπον τοὺς αὐτοῦ μαθητὰς καὶ Ἀνδρόνικον.

46 Καὶ ἦσαν ἐκεῖ δύο ἱερεῖς τῆς Ἀρτέμιδος ἀδελφοὶ τυγχάνοντες σαρκικοί. συνέβη οὖν τὸν ἕνα τελευτῆσαι· καὶ

[26] cf Matth 4, 23

---

[1] scr ἀπολέσαντα (scil αὐτόν)?? ‖ ἱδρυμένους James recte ut uid: nisi forte scr ἑδρασμένους ‖ [3] scr τὰ οἰκεῖα?? ‖ [6] Ἄνδρες ⟨Ἐφέσιοι⟩?? cf 170, 5 ‖ [7] scr Σμύρναν?? cf 169, 25 ‖ [9] scr ἀνιστάμην? ‖ [12] scr γεγονὸς ‖ [13] scr γινόμενον ‖ [17] del τοῖς prius? cf 181, 17 ‖ [17—18] scr καί τις τ. συνεδρ.? ‖ [18] scr τ. πυλ. τ. ἱεροῦ?? del τ. ἱερ.? cf Chrysost ed Montf t X p 773 πρὸς τὴν θύραν τοῦ Ἰωάννου ‖ [22] del μετὰ? ‖ [23] ἐπὶ τ.] scr Ἔστιν τις? ‖ [24] ἀγόμενος ⟨ὃς⟩?

Q [31] καταλειπὼν Q καταλείπων Zahn ‖ πρ.] cf 160, 3; Lipsius I p 468

τοῦ πυλῶνος ἀναπαύσας εἰσῆλθεν, τῷ τῆς ψυχῆς τῆς ἑαυτοῦ πόθῳ πρότερον τὴν ἑαυτοῦ ἐπιμέλειαν ποιούμενος ἐνεθυμήθη τοῦτο ἐν ἑαυτῷ· Ἄμεινον ἐμὲ τοῦ ζῶντος φροντίζειν ἢ τοῦ νεκροῦ μου συγγενοῦς· οἶδα γὰρ ὅτι ἐπιστρέψαντός μου πρὸς κύριον καὶ διασώσαντος τὴν ἐμαυτοῦ ψυχὴν οὐκ ἀντερεῖ ὁ Ἰωάννης καὶ τὸν νεκρὸν ἀναστῆσαι. Καὶ ἀναστὰς τοῦ τόπου ὁ Ἰωάννης ἐπορεύθη κατ' ἐκεῖνον καθ' ὃν ὁ ταῦτα ἐννοήσας εἰσῆλθε συγγενὴς τοῦ ἱερέως, καὶ λαβόμενος αὐτοῦ τῆς χειρὸς εἶπεν· Ἐνεθυμήθης ταῦτα παραγενόμενος πρός με τέκνον; Κἀκείνῳ τρόμῳ καὶ φρίκῃ συνεχόμενος εἶπε Ναὶ κύριε, ῥίψας ἑαυτὸν εἰς τοὺς πόδας αὐτοῦ. Καὶ ὁ Ἰωάννης· Ὁ κύριος ἡμῶν ἐστιν Ἰησοῦς Χριστός, ὅστις τὴν δύναμιν αὐτοῦ δείξει ἐν τῷ νεκρῷ σου συγγενεῖ ὁ ἀναστήσας αὐτόν.

47 Καὶ ἀναστήσας τὸν νεανίσκον καὶ τῆς χειρὸς αὐτοῦ λαβόμενος εἶπεν· Οὐκ ἔστι μέγας ἀνδρὶ μεγάλων μυστηρίων κρατούντων ἔτι ἐν τοῖς μικροῖς κατατρίβεσθαι. ἢ τί μέγα νόσοις νόσους σωματικὰς ἀπαλλάττεσθαι; Καὶ ἔτι τὸν νεανίσκον ἐκ τῆς χειρὸς κρατῶν ἔφη· Σοὶ λέγω τέκνον, πορευθεὶς αὐτὸς τὸν τεθνεῶτα ἔγειρον μηδὲν εἰπὼν ἢ τοῦτο μόνον· Λέγει σοι ὁ τοῦ θεοῦ δοῦλος Ἰωάννης· Ἀνάστα. Ὁ δὲ νιανίσκος πορευθεὶς ἐπὶ τὸν ἴδιον συγγενῆ μόνον τοῦτο εἰπὼν συνόντος αὐτοῦ ὄχλου πολλοῦ, ἔχων αὐτὸν ζῶντα εἰσῆλθεν εἰς

δραμὼν ὁ ἕτερος πρὸς Ἰωάννην λέγων ἐν ἑαυτῷ· Πάντως ἐμοῦ πιστεύοντος καὶ τὴν ἐμαυτοῦ ψυχὴν διασώσαντος οὐκ ἀντερεῖ ὁ Ἰωάννης ἀναστῆσαι νεκρὸν τὸν ἀδελφόν μου. Καὶ ἡνίκα ἤγγισεν πρὸς Ἰωάννην, εἶπεν πρὸς αὐτόν· Οὐ ταῦτα ἐνεθυμήθης τέκνον; ὄντως, καὶ καλὴν βουλὴν ἐποιήσω. Τρόμος δὲ καὶ φρίκη κατέσχεν τὸν ἱερέα ὅτι οὕτως εἶπεν αὐτὸν ῥαδίως ὁ ἀπόστολος τοῦ Χριστοῦ τὰ ἐνθυμήματα αὐτοῦ.

47 Τότε λαβόμενος αὐτοῦ τῆς χειρὸς ἀνῆλθεν ἐν ᾧ τὸ πτῶμα ἦν τοῦ τεθνηκότος, ὄχλου πολλοῦ περιόντος, καὶ κρατήσας τῆς χειρὸς αὐτοῦ εἶπεν· Ἀνάστα ὁ καθεύδων ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ τοῦ Ναζωραίου· Καὶ εὐθέως ἀνέστη ὁ ἱερεὺς ὑγιής. τοῦ δὲ ὄχλου θαυμάζοντος καὶ κράζοντος· Μέγας ὁ θεὸς Ἰωάννου· ἐπιλαβόμενος αὐτοὺς ὁ Ἰωάννης καὶ κατηχήσας ἐβάπτισεν εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ

---

2 scr προτέραν? ‖ ποιούμενος· ἐνεθυμήθη ⟨γὰρ⟩? uel ⟨καὶ⟩ ἐνεθυμήθη? ‖ 3 scr ἐμοῦ? ‖ 6 τοῦ ⟨ἰδίου⟩?? ‖ 10 scr Κἀκεῖνος ‖ φρίκει R: cf 28 ‖ 13 del ὁ? ‖ 15 scr μέγα? ‖ 16 scr κρατοῦντι? ‖ 17 νόσοις del? ‖ 20 scr νεανίσκος ‖ 22 scr αὐτῷ? ‖ εἰς] scr πρὸς? cf 178, 34

Q 23 deest uerbum: cf 171, 38 ‖ 25 ⟨ἐκ⟩ νεκρῶν? ‖ 28 scr αὐτῷ? item Zahn ‖ 30 ᾧ ⟨τόπῳ⟩?? ‖ 35 scr αὐτοῦ? item Zahn

τὸν Ἰωάννην. ὁ δὲ Ἰωάννης ἰδὼν τὸν ἐγηγερμένον εἶπε· Νῦν ἀναστὰς οὐ ζῇς ὄντως οὐδὲ τῆς ἀληθινῆς ζωῆς κοινωνὸς καὶ κληρονόμος· βούλει γενέσθαι οὗ ὀνόματι καὶ δυνάμει ἀνέστης; καὶ νῦν πίστευσον, καὶ ζήσεις εἰς ἅπαντας αἰῶνας. Ὁ δὲ αὐτόθι πιστεύσας ἐπὶ τὸν κύριον Ἰησοῦν ἦν λοιπὸν προσκαρτερῶν τῷ Ἰωάννῃ.

48 *Τῇ δὲ ἑξῆς ἡμέρᾳ ὄναρ θεασάμενος ὁ Ἰωάννης μίλια τρία ἔξω πυλῶν περιπατῆσαι, οὐκ ἠμέλησεν, ἀλλ' ὄρθρου ἀναστὰς ἅμα τοῖς ἀδελφοῖς ἐπὶ τὴν ὁδὸν ἐβάδιζε. καί τις χωρικὸς νουθετούμενος ὑπὸ τοῦ ἰδίου πατρὸς ὅπως τὴν τοῦ συνεργοῦ γυναῖκα μὴ λάβῃ ἑαυτῷ, ἀπειλοῦντος ἑαυτῷ σφάξαι ἐκείνου, ὁ νεανίσκος μὴ φέρων τὴν νουθεσίαν τοῦ πατρὸς λακτίσας αὐτὸν ἄφωνον ἔθηκεν. ἰδὼν δὲ τὸ συμβὰν ὁ Ἰωάννης εἶπε πρὸς τὸν κύριον· Κύριε, τούτου με ἕνεκεν ἐκέλευσας σήμερον ἐνθάδε ἐξελθεῖν;*

49 *Ὁ δὲ νεανίσκος ἰδὼν τὸ ὀξὺ τοῦ θανάτου, προσδοκῶν συλληφθῆναι, σπασάμενος ὃ ἦν ἐν τῇ ζώνῃ αὐτοῦ δρέπανον ὁρμᾷ εἰς τὴν ἑαυτοῦ ἔπαυλιν δρομαίως· καὶ ὁ Ἰωάννης ἀπαν-*

καὶ τοῦ ἁγίου πνεύματος σὺν πολλῷ πλείονι ὄχλῳ. ἐμείναμεν δὲ ἐν ταῖς πέριξ χώραις ἔτη δ' βαπτίζοντες καὶ καταρτίζοντες ἱερεῖς καὶ θεραπεύοντες πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν, πάντων πιστευσάντων ἀπὸ θάλασσαν ἕως θάλασσαν· καὶ μετὰ ταῦτα ὑπεστρέψαμεν ἐν Ἐφέσῳ δοξάζοντες τὸν θεόν.

4; *Μετὰ οὖν ἡμέρας τινὰς κατὰ θείαν ἀποκάλυψιν ἐξῆλθεν ὁ Ἰωάννης ἔν τινι κώμῃ εἰς ἐπίσκεψιν τῶν ἀδελφῶν. καὶ ἦν ἐκεῖ τις νεανίας χωρικός, νουθετούμενος πολλάκις παρὰ τοῦ ἰδίου πατρὸς ἵνα μὴ λάβῃ τοῦ συνεργοῦ τὴν γυναῖκα· φθόνῳ δὲ διαβόλῳ κινηθείς, μὴ φέρων ὁ παῖς τὴν τοῦ πατρὸς νουθεσίαν, λακτίσας αὐτὸν ἄφνω ἔθηκεν ἐπὶ τὴν γῆν νεκρόν. τοῦτον οὖν ὁ Ἰωάννης ἰδὼν εἶπεν· Ὦ κύριε, σήμερον* 189 Z *ἕνεκεν τούτου με ἐκάλεσας ἐνθάδε;*

49 *Ὁ δὲ νεανίας ὁρῶν τὸν ἄωρον θάνατον τοῦ πατρὸς αὐτοῦ, προσδοκῶν συλληφθῆναι καὶ ἀντιφονευθῆναι, τὴν λύπην μὴ φέρων, ὃ ἐπεφέρετο δρέπανον τρέχων ἐν τῇ οἰκίᾳ ἠβουλήθη σφάξαι τὴν γυναῖκα, εἶθ' οὕτως ἑαυτόν. τοῦτον οὖν ἰδὼν ὁ Ἰωάννης τρέχοντα καὶ γνοὺς τῷ πνεύματι εἶπεν*

[21] cf Matth 4, 23

---

[3] *⟨ὑπάρχεις⟩· βούλει?* ‖ [11] *scr ἑαυτὸν σφ.?* ‖ [13] *scr ἄφνω ἔθηκε ⟨νεκρό⟩ν? cf 29; 188, 16; 48, 2* ‖ [18] *scr δρομαῖος?*

Q [22] *θαλάσσης utroque loco Zahn recte ut uid* ‖ [28] *scr διαβόλου: item Zahn* ‖ [34] *scr ᾧ ἐπεφ. δρεπάνῳ?*

τήσας αὐτῷ ἔφη· Στῆθι σὺ δαῖμον ἀναιδέστατε, καὶ λέγε μοι ποῦ τὴν ὁρμὴν ἔχων φέρεις δρέπανον αἵματος ὀρεγόμενον. Καὶ ὁ νεανίσκος ταραχθεὶς καὶ τὸ σίδηρον εἰς γῆν ἀφεὶς εἶπεν αὐτῷ· Ἄθλιόν τι καὶ ἀπάνθρωπον διαπραξάμενος, καὶ ἐπιστάμενος, βιαιότερον τὸ κακὸν ἔκρινα πρᾶξαι καὶ ὠμότερον ἑαυτόν, ἀποθανεῖν ἅπαξ. τοῦ γὰρ πατρὸς ἀεὶ σωφρονίζοντός με ἀμοίχευτον βίον ἔχειν καὶ σεπτόν, μὴ φέρων αὐτὸν διελέγχοντά με λακτίσας αὐτὸν ἀπέκτεινα, καὶ ἰδὼν τὸ συμβὰν ἔσπευδον πρὸς τὴν γυναῖκα δι' ἣν πατρὸς γέγονα φονεύς, καὶ αὐτὴν σφάξαι πειρώμενος καὶ τὸν ἄνδρα αὐτῆς καὶ ἐμαυτὸν ὕστερον πάντων, μὴ ὑποφέρων ὁραθῆναι τῷ τῆς γυναικὸς ἀνδρί, δίκην θανάτου ὑπομένων.

50 Καὶ ὁ Ἰωάννης εἶπεν αὐτῷ· Ἵνα μὴ τόπον δῶ τῷ ἐν σοὶ θέλοντι γελᾶν καὶ παίζειν ὑποχωρήσας καὶ παριδὼν ὑμᾶς κινδυνεύοντας, ἐλθὲ σὺν ἐμοὶ καὶ τὸν πατέρα σου δεῖξόν μοι ποῦ ἐστι κείμενος. καὶ ἐάν σοι αὐτὸν ἀναστήσω, ἀποστήσω ἔτι τῆς ἐπισφαλοῦς σοι γενομένης γυναικός; Ὁ δὲ νεανίσκος εἶπεν· Ἐὰν ζῶντά μοι αὐτὸν τὸν πατέρα μου ἀναστήσῃς, καὶ ὄψομαι αὐτὸν ὅλον διαλεγόμενον ἐν τῷ βίῳ, ἀποστήσομαι τοῦ λοιποῦ.

51 Καὶ ὡς ταῦτα ἔλεγεν, ἐπέστησαν τῷ τόπῳ λέγοντες ἔνθα ἔκειτο ὁ πρεσβύτης νεκρός, καὶ παροδιτῶν πλειόνων παρεστώτων τῷ τόπῳ. Ὁ δὲ Ἰωάννης ἔφη τῷ νεωτέρῳ· Ταλαίπωρε, οὐδὲ τὸ γῆρας ἐφείσω τοῦ πατρός σου; Ὁ δὲ κλαίων καὶ κατατιλλόμενος ἐπὶ τούτῳ μετεγνωκέναι ἔλεγεν· ὁ δὲ τοῦ κυρίου δοῦλος Ἰωάννης εἶπεν· Ὁ ἐμφανίσας μοι σήμερον στεί-

πρὸς αὐτόν· Στῆθι δαῖμον καὶ ἀνάγγειλόν μοι τί τρέχεις. Ὁ δὲ παῖς τρέμων καὶ κλαίων διηγήσατο τὸν Ἰωάννην ὅτι Πατρὸς φονεὺς γέγονα ὁ ταλαίπωρος· καὶ ἰδοὺ διὰ τὴν πολλὴν θλῖψιν μέλλω καὶ ἣν ἐμοίχευσα γυναῖκα ἀνελεῖν καὶ ἐμαυτόν.

50 ἀλλ' εἴ τι δύνασαι, βοήθησον ἡμῖν μαθητὰ τοῦ Χριστοῦ. ἐὰν οὖν τοῦτον ἀναστήσῃς, ἀπὸ τοῦ λοιποῦ ἀποστήσομαι τὸ κακόν.

51 Τοῦ δὲ Ἰωάννου εἰπόντος πρὸς αὐτὸν Οὐδὲ τὰς πολιὰς τοῦ πατρός σου ᾤκτιρας ταλαίπωρε; εἰς τὸν οὐρανὸν

[1] σὺ δαίμων R (cf Q): scr δύσδαιμον? ‖ ἀναιδ. del? ‖ [3] scr τὸν?? ‖ [5] τὸ] scr τι? ‖ [6] scr ἐμαυτόν?? cf 195, 4; 202, 7 ‖ [16] ἀποστήσω <σε>? an scr ἀποστήσει? cf 19 ‖ [18] scr παραστήσῃς?? cf 177, 4 ‖ [19] scr διαιτώμενον? ‖ [21] λέγοντες num sanum??? ‖ [24] scr τοῦ γήρως? ‖ [25] scr κατατεινόμενος??

Q [27] δαίμων Q: cf 1 ‖ [28] τῷ Ἰωάννῃ Zahn: recte? ‖ [34] scr τοῦ κακοῦ??

λασθαι εἰς τὸν τόπον τοῦτον, ὁ ἐπιστάμενος ὅτι τοῦτο ἤμελλε γίνεσθαι, ὃν μηδὲ λαθεῖν δύναται τῶν ἐν τῷ βίῳ πράξεων, ὅπως ἂν θεραπείαν καὶ ἴασιν παρεχόμενός μοι θελήματι τῷ σῷ· καὶ νῦν παράσχου τὸν πρεσβύτην ζῶντα, ὁρῶν τὸν φονέαν ἑαυτοῦ δικαστὴν γενόμενον· καὶ φεῖσαι αὐτοῦ μόνος σὺ κύριε ἀφειδήσαντῶ πατρὸς συμβουλεύεσθαι αὐτῷ τὰ ἄριστα.

52 *Καὶ ταῦτα εἰπὼν προσελθὼν τῷ γέροντι εἶπεν· Οὐκ ἀτονήσει μου ὁ κύριος καὶ μέχρι σοῦ τὸ χρηστὸν ἔλεος καὶ τὰ ἀνυπερήφανα σπλάγχνα ἁπλῶσαι· ἀναστὰς οὖν δὸς τοῦ ἐπιχείρου γεγενημένου ἔργου δόξαν τῷ θεῷ. Καὶ ὁ γέρων εἶπεν· Ἀνίσταμαι κύριε. Καὶ ἀνέστη. ὃς ἀνακαθίσας ἔφη· Ἀπηλλαγμένον με βίου δεινοτάτου καὶ ὕβρεις υἱοῦ ἐπιφέροντα δεινὰς καὶ πολλὰς καὶ φιλοστοργίαν μετεκαλέσω ἄνθρωπε τοῦ θεοῦ τοῦ ζῶντος ἐπὶ τίνι; ἐπὶ τοῖς αὐτοῖς ἀνίστασαι, ἔδει σε μᾶλλον τεθνάναι· ἀλλ' ἐπὶ κρείττοσιν ἔγειραι. Καὶ παραλαβὼν αὐτὸν εἰσήγαγεν εἰς τὴν πόλιν εὐαγγελιζόμενος αὐτῷ τὴν χάριν τοῦ θεοῦ, ὡς πρὶν ἐπιβῆναι τῇ πύλῃ τὸν πρεσβύτην πιστεῦσαι.*

53 *Ὁ δὲ νεανίσκος θεασάμενος τὴν ἀπροσδόκητον τοῦ πατρὸς ἀνάστασιν καὶ τὴν ἑαυτοῦ σωτηρίαν, λαβὼν δρέπανον τὰ ἑαυτοῦ μόρια ἀφείλατο, καὶ δραμὼν εἰς τὴν οἰκίαν ἐν ᾗ τὴν μοιχαλίδα εἶχεν, εἰς ὄψιν αὐτῆς προσέρριψεν εἰπών· Διὰ σὲ πατρὸς φονεὺς καὶ ὑμῶν τῶν δύο καὶ ἐμαυτοῦ ἐγενόμην. ἔχεις τὰ τούτῳ ὅμοια καὶ αἴτια. ἐμὲ γὰρ ὁ θεὸς ἠλέησεν ἐπιγνῶναι αὐτοῦ τὴν δύναμιν.*

ἀναβλέψας καὶ στενάξας εἶπεν· Κύριε σοῦ μόνου ἐστὶν τὸ ἔργον τοῦτο.

52 *Καὶ κρατήσας τῆς χειρὸς τοῦ τεθνηκότος εἶπεν· Ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ τοῦ υἱοῦ τοῦ θεοῦ ἀνάστα. Καὶ εὐθέως ἀνέστη.*

53 *Ἰδὼν δὲ ὁ παῖς τὴν παρ' ἐλπίδα ἀναβίωσιν τοῦ πατρὸς αὐτοῦ καὶ τὴν ἑαυτοῦ σωτηρίαν, λαβὼν τὸ δρέπανον τὰ ἑαυτοῦ μόρια ἀφείλετο· καὶ δραμὼν εἰς τὴν οἰκίαν εἰς ὄψιν τῆς μοιχαλίδος αὐτοῦ ἔρριψεν αὐτὰ λέγων· Διὰ σὲ πατρὸς φονεὺς καὶ ἡμῶν τῶν δύο γέγονα· καὶ ἰδοὺ ἔχεις τὰ τούτων αἴτια. ἐμὲ γὰρ ὁ θεὸς ἠλέησεν ἐπιγνῶναι αὐτὸν διὰ τοῦ δούλου αὐτοῦ Ἰωάννου.*

---

[2] *scr μηδεμία?? μηδὲν?* ‖ [3] *ὅπως ἂν] scr ὁ πᾶσαν* ‖ [4] *scr ζῶντα ὁρᾶν?* ‖ *scr φονέα?* ‖ [5] *σοὶ R* ‖ [6] *scr ἀφειδήσαντος τοῦ π. ⟨διὰ τὸ⟩??* ‖ [10] *ἐπιχ. num sanum?* ‖ [12] *scr ὑποφέροντα?* ‖ [13] *scr ἀφιλοστοργίαν?* ‖ [14] *τίνι; ⟨Ὁ δὲ Ἰωάννης ἀπεκρίνατο αὐτῷ· Εἰ⟩ ἐπὶ τοῖς α.?* ‖ [20] *⟨τὸ⟩ δρέπανον? cf Q et 175, 17* ‖ [21] *scr ἀφείλετο? cf Q et 182, 3 et 3 - 4* ‖ [23] *scr ἡμῶν (κ. ἐμ. del: cf Q)?? cf 176, 10* ‖ [24] *scr τούτων: cf Q*

54 *Καὶ ἀνελθὼν ἀνήγγειλε τῷ Ἰωάννῃ ἔμπροσθεν τῶν ἀδελφῶν τὸ ὑπ' αὐτοῦ πραχθέν. ὁ δὲ Ἰωάννης εἶπεν αὐτῷ· Ὁ ὑποβαλών σοι νεανίσκε τὸν πατέρα σου ἀποκτεῖναι καὶ μοιχὸν ἀλλοτρίας γυναικὸς γενέσθαι, οὗτός σοι ὡς δίκαιον ἔργον καὶ τὸ ἀφελεῖν τὰ ἄκαιρα ἐποίησεν. ἔδει δέ σε οὐχὶ τοὺς τόπους ἀφανίσαι, ἀλλὰ τὴν ἔννοιαν, ἥτις διὰ τῶν μορίων ἐκείνων ἐδείκνυτο χαλεπαίνουσα· οὐ γὰρ τὰ ὄργανά ἐστι βλαπτικὰ τῷ ἀνθρώπῳ ἀλλ' αἱ ἀφανεῖς πηγαὶ δι' ὧν πᾶσα κίνησις αἰσχρὰ κινεῖται καὶ εἰς τὸ φανερὸν πρόεισιν. μετεγνωκὼς οὖν τέκνον ἐπὶ τῇ τοιαύτῃ αἰτίᾳ καὶ καταμαθὼν τὰς τοῦ Σατανᾶ τέχνας ἔχεις τὸν θεὸν βοηθοῦντά σοι εἰς πάντα τὰ τῆς ψυχῆς σου ἐγχειρίζοντα. Ὁ δὲ νεανίσκος ἡσυχάζων προσεκαρτέρει μετεγνωκὼς ἐπὶ τοῖς προτέροις ἁμαρτήμασιν ὅπως ἀφέσεως τύχῃ παρὰ τῆς τοῦ θεοῦ χρηστότητος· καὶ οὐκ ἐχωρίζετο τοῦ Ἰωάννου.*

55 *Τούτων οὖν γινομένων ὑπ' αὐτοῦ ἐν τῇ Ἐφεσίων πόλει Σμυρναῖοι διεπέμψαντο πρὸς αὐτὸν πρέσβεις λέγοντας· Ἀκούο-*

54 *Ταῦτα ἀκούσας ὁ Ἰωάννης καὶ λυπηθεὶς εἶπεν πρὸς αὐτόν· Ταλαίπωρε, ὁ ὑποβάλας σε τὸν πατέρα σου φονεῦσαι δαίμων, αὐτός σε ὑπέβαλεν καὶ τοῦτο ποιῆσαι. ἔδει γάρ σε οὐχὶ τοὺς τόπους αὐτῶν ἀφανίσαι, ἀλλὰ τὴν ἔννοιαν ἐκ τῆς ψυχῆς σου· οὐ γὰρ τὰ ὄργανά εἰσιν βλαπτικά, ἀλλ' ὁ νοῦς ὁ συγκαταβαίνων τῇ ἁμαρτίᾳ. μετανόησον οὖν ἄθλιε ἐπὶ τῇ παρανόμῳ τόλμῃ ᾗ ἐποίησας. Ὁ δὲ παῖς στένων καὶ τρέμων παρεκάλει τὸν τοῦ Χριστοῦ ἀπόστολον συγγνώμην λαβὼν τῶν ἡμαρτημένων. ὃν λαβὼν ὁ ἀπόστολος τοῦ Χριστοῦ εἰσήγαγεν ἐν τῇ πόλει· καὶ κατηχήσας καὶ βαπτίσας αὐτῷ ἅμα τοῦ πα-*
190 Z *τρὸς αὐτοῦ προσήγαγεν τῇ ἐκκλησίᾳ· καὶ ἦν ὁ παῖς | μεθ' ἡμῶν πάντοτε ὑπηρετῶν, ὥστε πάντας θαυμάζειν καὶ δοξάζειν τὸν θεόν.*

* * *

56* *Ἐν μιᾷ οὖν τῶν ἡμερῶν ὡς ἦν Ἰωάννης καθεζόμενος πέρδιξ διαπτᾶσα καὶ ἐλθοῦσα ἐκονίζετο ἔμπροσθεν αὐτοῦ. ὁ οὖν Ἰωάννης βλέπων αὐτὸ ἐθαύμαζεν. ἱερεὺς δέ τις ἐλθών, εἷς τῶν ἀκροατῶν ὤν, εἰσελθὼν πρὸς Ἰωάννην, εἶδεν τὴν πέρδικα κονιζομένην ἔμπροσθεν αὐτοῦ· καὶ σκανδαλισθεὶς ἐν ἑαυτῷ ἔλεγεν· Ὁ τοιοῦτος καὶ τηλικοῦτος τέρπεται ἐπὶ πέρδικος κονιαζομένης; Γνοὺς δὲ ὁ Ἰωάννης τῷ πνεύματι τὴν ἐν-*

---

5 scr ἀκραῖα ἐνεποίησεν? ‖ 8 scr τῶν ἀνθρώπων?? ‖ 9 κινεῖται satin sanum? ‖ 11 scr ἕξεις? ‖ 12 scr ἐγχρῄζοντα?

Q 19 scr σοι? ‖ 20 scr σοι? ‖ 21 αὐτῶν del? cf R: ἐκ τοῦ σώματος exspectabat Vsener ‖ 25 λαβεῖν Zahn recte ut uid: cf 154, 2; 173, 11 ‖ 27 αὐτὸν Zahn ‖ 37 scr κονιζομένης? cf 32; 35; 179, 18; 21

μεν ὃν κηρύσσεις θεὸν ἄφθονός ἐστι καὶ διετάξατό σοι μὴ ἐμφιλοχωρεῖν ἐν ἑνὶ τόπῳ. ὡς οὖν θεοῦ τοιούτου κῆρυξ ὑπάρχεις, ἐλθὲ εἰς τὴν Σμύρναν καὶ εἰς τὰς λοιπὰς πόλεις, ἵνα σου τὸν θεὸν ἐπιγνῶμεν, καὶ ἐπιγνόντες αὐτὸν ἐν αὐτῷ τὰς ἐλπίδας ἔχωμεν.

* * *

58 *Χρόνου δὲ ἱκανοῦ διελθόντος καὶ μηδενὸς τῶν ἀδελ-* 225 Z
φῶν λυπηθέντος πώποτε ὑπὸ Ἰωάννου, ἐλυπήθησαν τότε εἰρηκότος αὐτοῦ· Ἀδελφοί, ἤδη με καιρὸς τὴν Ἔφεσον καταλαβεῖν· συντίθεμαι γὰρ τοῖς ἐκεῖ μένουσι, μήπως ῥαθυμήσωσι πολλῷ χρόνῳ μὴ ἔχοντες ἄνθρωπον τὸν ἐπιστηρίζοντα αὐτούς· εἰς δὲ τὸν θεὸν ἔχειν ὑμᾶς πάντας τὸν νοῦν, τὸν μὴ ἀπολιμπανόμενον ἡμῶν. Ἀκούοντες δὲ ταῦτα παρ' αὐτοῦ οἱ ἀδελφοὶ ἐπένθουν, ἐπειδὴ αὐτοῦ ἐχωρίζοντο. καὶ ὁ Ἰωάννης εἶπεν· Εἰ κἀγὼ χωρίζομαι ὑμῶν, ἀλλ' ὁ Χριστὸς σὺν ὑμῖν ἐστιν ἀεί· ὃν ἐὰν καθαρῶς φιλῆτε, ἀνεπίλειπτον ἕξετε τὴν ἀπ' αὐτοῦ κοινωνίαν· φιλούμενος γὰρ φθάνει τοὺς φιλοῦντας αὐτόν.

θύμησιν αὐτοῦ εἶπεν πρὸς αὐτόν· Ἄμεινον ἦν καὶ σὲ τέκνον ὁρᾶν πέρδικα κονιζομένην καὶ μὴ εἰς αἰσχρὰς καὶ βεβήλους πράξεις μολύνεσθαι. ὁ γὰρ πάντων τὴν ἐπιστροφὴν καὶ τὴν μετάνοιαν ἀναμένων διὰ τοῦτο ἐνταῦθά σε ἤγαγεν· ἐπεὶ ἐγὼ πέρδικος κονιζομένης οὐ χρῄζω· ἡ γὰρ πέρδιξ ἡ σή ἐστιν ψυχή.

57* *Ταῦτα ἀκούσας ὁ πρεσβύτης καὶ ἰδὼν ὅτι οὐκ ἔλαθεν ἀλλὰ πάντα τὰ ἐν τῇ καρδίᾳ αὐτοῦ εἶπεν αὐτῷ ὁ ἀπόστολος τοῦ Χριστοῦ, πεσὼν ἐπὶ πρόσωπον ἐπὶ τὴν γῆν ἐβόα λέγων· Νῦν οἶδα ὅτι ὁ θεὸς οἰκεῖ ἐν σοὶ μακάριε Ἰωάννη· καὶ μακάριος ὅστις οὐκ ἐπείρασεν ἐν σοὶ τὸν θεόν· ὁ γὰρ σὲ πειράζων τὸν ἀπείραστον πειράζει. Παρεκάλει δὲ αὐτὸν εὔχεσθαι ὑπὲρ αὐτοῦ· καὶ κατηχήσας αὐτὸν καὶ δοὺς κανόνας ἀπέλυσεν εἰς τὸν οἶκον αὐτοῦ δοξάζων τὸν ἐπὶ πάντων θεόν. |*

* * *

---

[1] *θεὸν ⟨ὅτι⟩? ‖ [3] scr ὑπάρχων? ‖ [5] ἔχομεν R*

MR [6] ἀπὸ λαοδικίας ἐν ἐφέσω τὸ δεύτερον inscr M ‖ διαγενομένου R ‖ [7] λυπηθέντων M ‖ ποτὲ R ‖ [8] με] ὁ add R ‖ τ. Ἔ. κ.] ἐν τῇ ἐφέσω ἐπανελθεῖν ἐπισπεύδει R ‖ [9] συντ. - μέν. om R ‖ [10] ἄνθρωπον del Vsener ‖ [10–12] εἰς - ἡμῶν om R ‖ [12] scr ὑμῶν? ‖ οἱ ἀδ. παρ' α. R ‖ [13] ἐπειδὴ] ὅτι R ‖ αὐτῶ R ‖ καὶ ὁ] ὁ δὲ R ‖ [14] ἐγὼ M ‖ ὑμᾶς R ‖ ἀλλ' ὁ om R ‖ Χρ.] ἰησοῦς add R ‖ [15] ἀνυπόληπτον R ἀνεπίληπτον Zahn: cf 180, 24 ἀδιόχλητοι ‖ ἀπ' α.] ἑαυτοῦ R

Q [29] κατηχίσας Q ‖ [30] δοξάζοντα Zahn ‖ c 58 - 105 om (add Prochori p 162, 3 - 9) Q: cf 169, 31

59 *Καὶ ταῦτα εἰπὼν καὶ συνταξάμενος αὐτοῖς, καταλιπών τε πολλὰ χρήματα τοῖς ἀδελφοῖς εἰς διάδοσιν, πενθούντων ἁπάντων τῶν ἀδελφῶν καὶ στεναζόντων ἐξῆλθεν εἰς Ἔφεσον. συνήεσαν δὲ αὐτῷ ἐκ τῆς Ἐφέσου Ἀνδρόνικός τε καὶ Δρουσιανή, καὶ οἱ περὶ τὸν Λυκομήδην καὶ Κλεόβιον. ἠκολούθησαν δὲ αὐτῷ καὶ Ἀριστοβούλα, ἐγνωκυῖα τὸν ἄνδρα αὐτῆς Τέρτυλλον ἐν τῇ ὁδῷ τεθνάναι, Ἀρίστιππος δὲ ἅμα τῷ Ξενοφῶντι, καὶ ἡ σώφρων πόρνη, καὶ ἕτεροι πλείονες, οὓς ἑκάστοτε προέτρεπεν ἐπὶ τὸν κύριον, καὶ μηκέτι βουλόμενοι χωρίζεσθαι αὐτοῦ.*

60 *Καταχθέντων δὲ ἡμῶν ἔν τινι πανδοχείῳ ἐρήμῳ τὴν πρώτην ἡμέραν, καὶ ἀπορούντων κραββάτου ἕνεκεν Ἰωάννου, παίγνιον εἴδομεν. εἷς τις ἦν ἐκεῖ ἄστρωτος κράββατος κείμενος*
226 Z *ἔν | τινι τόπῳ, ἐφ' ᾧ ἃ ἐπεφερόμεθα περιβόλαια στρώσαντες παρεκαλέσαμεν αὐτὸν ἀναπεσόντα ἐν αὐτῷ ἀναπαυθῆναι, τῶν λοιπῶν ἁπάντων ἐπὶ τοῦ ἐδάφους ὑπνωσάντων. κατακλιθεὶς οὖν ὑπὸ τῶν κορίων διωχλεῖτο· καὶ ὡς ἐπὶ πλεῖον αὐτῷ ὀχληρότεροι ἐγίνοντο, ἤδη τῆς νυκτὸς τὸ μέσον καταλαβούσης, ἀκουόντων πάντων ἡμῶν ἔφη αὐτοῖς· Ὑμῖν λέγω ὦ κόραι, εὐγνωμονήσατε σὺν ἑνὶ πάντες, καὶ καταλιπόντες τὴν νύκτα ταύτην τὸν οἶκον ὑμῶν ἡσυχάσατε ἐν ἑνὶ τόπῳ, καὶ ἔστε πόρρω τῶν δούλων τοῦ θεοῦ. Καὶ ἡμῶν γελώντων καὶ ἐπὶ πλέον ὁμιλούντων ὁ Ἰωάννης εἰς ὕπνον ἐτράπετο· αὐτοὶ δὲ ἠρέμα λαλοῦντες ἀδιόχλητοι αὐτῷ ἐγινόμεθα.*

61 *Ἡμέρας δὲ ἐπιφαυούσης ἤδη φθάσας ἀνίσταμαι καὶ σὺν ἐμοὶ Βῆρος καὶ Ἀνδρόνικος· καὶ ὁρῶμεν πρὸς τὴν θύραν*

---

[1] ἀποταξάμενος R ‖ [1–2] κατ. τε] καταλειπόντες R ‖ [2] εἰς δ. τ. ἀδ. R ‖ [3] τ. ἀδ. om R: del?? cf 181, 2 ‖ ἐξῆλθον R ‖ [3–4] εἰς Ἔ.] ἐκ τῆς ἐφέσου R: cf 4; 179, 3; 181, 15 ‖ [4] συνῆσαν M ‖ δὲ om M ‖ ἐκ τ. Ἐ. om R: cf 3-4 ‖ [5] λυκομίδην M: cf 161, 11ss ‖ κλαιόβιον M Κλέοβιν suspicabatur Vsener ‖ [6] ἠκολούθησε R ‖ [7] αὐτῆς om M ‖ τέρτηλον R τέρτυλον M ‖ Ἀρ.] ὁ ἀρ. R ‖ scr τε? ‖ [8–10] οὓς - αὐτοῦ om R ‖ [9] καὶ del Vsener recte ut uid ‖ [12] ἕν. Ἰ.] ἐν τῇ τοῦ μακαρίου ἰω. ἀναπαύσει R ‖ [13] παίγν.] αὐτοῦ ἓν add R ‖ ἄστ. κρ. ἐκεῖ M ‖ [14] ἐφ' ᾧ ἃ] ἅπερ οὖν R ‖ ἐφερόμεθα M olim correxeram: cf 175, 35 ‖ περιβ. om et add ἐν αὐτῷ R ‖ [15] πεσόντα M ‖ ἐν α. om M ‖ ἀναπαύεσθαι R ‖ [16] ὑπν.] πεσόντων R ‖ [17] τ. κ.] κ. παμπόλλων M ‖ scr κόρεων? cf 181, 1 ‖ ἐνοχλεῖτο R ‖ [17–18] αὐτῷ ὀ. ἐγ.] ἐνόχλουν αὐτόν R: cf 181, 6 ‖ [18] τ. ν. - κατ.] περὶ τὸ μ. τ. ν. R ‖ [19] κόριδες R: scr κόρεις? item Zahn cf 181, 8ss ‖ [20] σ. ἑ.] συνενῆν R ‖ [20–21] τῇ ὥρᾳ ταύτῃ R ‖ [21] κ. ἔστε] κῆτε (uel ut Hilgardo uisum κεῖτε) sup scr ει compendio M: scr κῆτε uel καὶ ἦτε?? ‖ [22–23] κ. ἡμ. - δὲ] εἰς ὕπνον οὖν τοῦ ἰωάννου τραπέντος ἡμεῖς R ‖ [24] λαλ.] ἀκηκοότες R ‖ γεγόναμεν R: scr ἐγενόμεθα?? ‖ [25] οὖν ἐπιφωσκούσης R ‖ ἤδη φθ. om R ‖ ἀν.] ἐγὼ add R

τοῦ οἰκήματος οὗ εἰλήφαμεν πλεονασμὸν κορίων ἑστῶτα· ἐξεστηκότων δὲ ἡμῶν ἐπὶ τῇ πολλῇ θέᾳ αὐτῶν, καὶ τῶν ἀδελφῶν πάντων ἐγηγερμένων δι' αὐτούς, ὁ Ἰωάννης ἐκάθευδεν. καὶ μετὰ τὸ διυπνισθῆναι αὐτὸν ἐνεφανίσαμεν αὐτὸν ἃ εἴδομεν· αὐτὸς δὲ ἀνακαθίσας τοῦ κραββάτου καὶ θεασάμενος αὐτοὺς εἶπεν· Ἐπειδὴ εὐγνωμονήσατε φυλάξαντές μου τὸ ἐπιτίμιον, ἔλθετε εἰς τὸν τόπον ὑμῶν. Καὶ εἰπόντος τοῦτο καὶ ἀναστάντος ἐκ τοῦ κραββάτου οἱ κόρεις δρομαῖοι ἀπὸ τῆς θύρας ἔσπευδον εἰς τὸν κράββατον καὶ διὰ τῶν αὐτοῦ ποδῶν ἀνελθόντες εἰς τὰς ἁρμογὰς ἀφανεῖς ἐγένοντο. καὶ ὁ Ἰωάννης πάλιν ἔφη· Τὸ μὲν ζῷον τοῦτο φωνὴν ἀνθρώπου ἀκοῦσαν ἔμεινε παρ' ἑαυτῷ ἠρεμῆσαν καὶ μὴ παραβάν· ἡμεῖς δὲ φωνὴν θεοῦ ἀκούοντες καὶ ἐντολῶν παρακούομεν καὶ ῥαθυμοῦμεν· καὶ μέχρι πότε;

62 Μετὰ δὲ ταῦτα γινόμεθα εἰς τὴν Ἔφεσον· καὶ οἱ ἐκεῖ | ἀδελφοὶ ἐγνωκότες διὰ χρόνου ἱκανοῦ τὸν Ἰωάννην ἀφι- 227 Z κόμενον συνέτρεχον ἐν τοῖς Ἀνδρονίκου, ἔνθα καὶ κατήγετο, τῶν ποδῶν αὐτοῦ ἁπτόμενοι, καὶ τὰς χεῖρας αὐτοῦ εἰς τὰ ἴδια πρόσωπα τιθέντες ἐφίλουν αὐτάς, ὡς ὅτι κἂν ἥψαντο τῶν ἐκείνου ἐνδυμάτων.

63 Καὶ πολλῆς ἀγάπης οὔσης καὶ χαρᾶς ἀνυπερβλήτου ἐν τοῖς ἀδελφοῖς, εἷς τις ἐπίπεμπτος τοῦ Σατανᾶ ἐρᾷ τῆς Δρουσιανῆς, ὁρῶν καὶ ἐπιστάμενος τοῦ Ἀνδρονίκου ταύτην εἶναι γυναῖκα· ᾧ οἱ πλείονες ἔλεγον· Ἀδύνατόν σε τυχεῖν ταύτης τῆς γυναικός, ἐκ πολλοῦ καὶ τοῦ ἀνδρὸς κεχωρισμένης αὐτῆς διὰ θεοσέβειαν. σὺ μόνος ἀγνοεῖς ὅτι μὴ πρὶν ὢν ὁ

---

[1] *οἶκον R* ‖ *οὗ εἰλ. om R* ‖ *πλ. κ. ἑ.] πλῆθος ὑπάρχων κ. R: cf 2* ‖ *scr κόρεων? cf 180, 17* ‖ [2] *π. θ.] θ. τοῦ πλήθους R: cf 1* ‖ [3] *ἁπάντων R: cf 180, 3; 183, 8; 184, 14; 18* ‖ *αὐτὰς R* ‖ [4] *ἐγερθῆναι R* ‖ *ἐνεφ. - δὲ om M* ‖ *scr αὐτῷ?* ‖ [5] *ἀνακαθίσας ⟨ἐπὶ⟩ uel ⟨ἐπάνω⟩ (cf 186, 3)?* ‖ [5–6] *αὐτὰς εἶπεν αὐταῖς R* ‖ [6] *εὐγν.] εὐγνωμονέστεραι γεγόνατε R: cf 180, 20 (at 17 et 24)* ‖ *φυλ.- ἐπ. om R* ‖ [7] *scr ἀνέλθετε??* ‖ *τοῦτο] αὐτοῦ ταῦτα R* ‖ [7–8] *καὶ - κρ. om R* ‖ [8] *αἱ κόριδες (κορεῖς M) δρομαῖε R* ‖ [9] *π. αὐτ. R* ‖ *ἀνιοῦσαι R* ‖ [10] *ἁρμονίας R* ‖ *ἀφ. ἐγ.] ἔδυσαν R* ‖ [11] *πάλιν om M* ‖ [11–12] *ἤκουσαν ἔμειναν ἐφ' ἑαυτὰ καὶ ἠρέμησαν R* ‖ [12] *καὶ μὴ π. om R* ‖ [13] *παρακ.] ο ex ω M* ‖ *ῥαθυμῶμεν M* ‖ [14] *μ. π. om R* ‖ [15] *δὲ om R* ‖ *γενομένων ἡμῶν R* ‖ *τὴν om R: del? cf 180,3* ‖ *καὶ om R* ‖ [18] *εἰς] |||σ M ει compend in ras m* ‖ [19–20] *ὡς - ἐνδ. om R* ‖ [20] *ἐνδ.]* plerique etiam tactu uestis hilarati quia tetigerant amictum sancti apostoli sanabantur (*cf act 19, 12*) *add 𝔄 uera ut uid* ‖ [22] *ἐν τ. ἀδ. om R* ‖ [23] *καὶ] αὐτὴν καίπερ R(𝔄?)* ‖ *ταύτην om R* ‖ [24] *οὖσαν R* ‖ *ᾧ] ὃν R* ‖ [25] *κεχ.] καὶ χωρισμένην R* ‖ *αὐτῆς om R* ‖ [26] *σὺ μ.] ἢ R* ‖ *πρώην R*

Ἀνδρόνικος τοῦτο ὅπερ ἐστὶ νῦν, θεοσεβὴς ἀνήρ, κατέκλεισεν αὐτὴν εἴς τι μνημεῖον λέγων· Ἢ γυναῖκά σε ἔχω ἔχειν ἣν εἶχον πάλαι, ἢ τεθνήξῃ· Καὶ εἵλατο μᾶλλον ἀποθανεῖν ἢ τὸ μύσος ἐκεῖνο διαπράξασθαι· εἰ οὖν δεσπότῃ αὐτῆς καὶ ἀνδρὶ μὴ συνέθετο πρὸς συνέλευσιν διὰ θεοσέβειαν, ἀλλὰ καὶ ἔπεισε τὰ ἴσα τοῦτον φρονῆσαι, σοὶ μοιχῷ αὐτῇ θέλοντι γενέσθαι συνθήσεται; ἀπόστηθι μανίας μὴ ἐχούσης ἐν σοὶ ἀνάπαυσιν· ἀπόστηθι πράγματος ᾧ τέλος ἐπαγαγεῖν οὐ δύνασαι.

64 Καὶ λέγοντες πρὸς αὐτὸν ταῦτα οἱ συνήθεις αὐτοῦ | 228 Z φίλοι οὐκ ἔπεισαν αὐτόν, ἀλλ' ἀναίδειαν χρησάμενος προσέπεμψεν αὐτήν· καὶ γνοὺς τὰς παρ' ἐκείνης ἀτιμίας καὶ ὕβρεις ἐν ἀθυμίᾳ διῆγεν αὐτοῦ τὸν βίον. μετὰ δὲ ἡμέρας δύο κατακλιθεῖσα ἡ Δρουσιανὴ ἀπὸ τῆς ἀθυμίας ἐπύρεττε λέγουσα· Εἴθε μηδέπω εἰς τὴν ἐμαυτῆς πατρίδα εἰσεληλύθειν ἡ σκάνδαλον γενομένη ἀνδρὶ ἀμυήτῳ θεοσεβείας· εἰ γὰρ ἦν τις ὑπὸ λόγων πεπληγώς, οὐκ ἂν εἰς τοσοῦτον ἐληλύθειν μανίας. ἀλλ' οὖν κύριε παραιτίας μου γενομένης πλήξεως ἰδιωτιζούσῃ ψυχῇ, ἀπόλυσόν με τοῦ δεσμοῦ τούτου, ἐπὶ δὲ σὲ μετάστησον τάχιον. Καὶ παρόντος Ἰωάννου, μηδενὸς ὅλως ἐγνωκότος τὸ τοιοῦτον, ἀπαλλάσσεται τοῦ βίου ἡ Δρουσιανή, οὐ πάνυ ἡδομένη ἀλλὰ καὶ λυπουμένη διὰ τὴν ἐκείνου ψυχικὴν θραῦσιν.

65 Ὁ δὲ Ἀνδρόνικος λυπούμενος λύπην ἀπόκρυφον ἐπένθει τῇ ψυχῇ, καὶ φανερῶς δὲ ἔκλαιεν, ὡς τὸν Ἰωάννην πολλὰ ἐπιστομίζειν καὶ λέγειν αὐτῷ· Ἐπὶ βελτίονι ἐλπίδι μετῆλθεν

---

[1] *θεοσ.] ὁ add M* ‖ [2] *τι om M: cf 210, 1* ‖ *ἔχειν om M* ‖ [3] *τεθνήξειν R* ‖ *εἵλετο R: cf 177, 21* ‖ [3] *ἀποθ.] μὴ κοινουμένη τῷ ἀνδρὶ καὶ εἵλετο θανατωθῆναι (scil scriptura uera coniuncta cum interpolata) add R* ‖ [3–4] *τὸ - διαπρ.] τῷ ἀνδρὶ κοινωνῆσαι M* consuetudinem repeteret coniugii 𝔄*: cf 185, 12* ‖ [4] *δεσπ. - μὴ] τῷ ἀνδρὶ οὐ R* ‖ [5] *διὰ θ. om R* ‖ [5–6] *ἔπεισεν αὐτὸν τὰ ἴσα αὐτῆς φρονεῖν R* ‖ [6] *αὐτῆς R et suspicatus erat Zahn: cf 178, 4; 177, 5; 23; 166, 6; 18; 182, 15; 17* ‖ *συνθεῖται R* ‖ [9] *π. α.] αὐτῷ R* ‖ *αὐτῷ R* ‖ [10] *del φίλοι??* ‖ *ἀλλὰ R* ‖ *ἀναιδείᾳ Zahn recte ut uid* ‖ *προέπεμψεν R* ‖ [11] *γν. - ὕβ.] ἀπογνοὺς τὰ περὶ αὐτῆς ἵνα μὴ πολλὰ ὑβρίζεται R* speque potiendi deiectus 𝔄 ‖ *γνοῦσα et ἐκείνου Vsener* ‖ [12] *αὐτοῦ del Vsener* ‖ [13] *<καὶ> ἡ??* ‖ *δροσιανή R* ‖ [14] *εἰσεληλύθην M ἐληλύθειν R* ‖ [14–15] *ἡ σκ. γ.] ὅπως μὴ σκ. γέγονα R* ‖ [15] *θεοσέβειαν R* ‖ [15–16] *ὑ. λ.] scr θεοῦ λόγῳ?* uerbo dei 𝔄 ‖ [16] *πεπληρωμένος R* repletus 𝔄 ‖ *ἐλ. μ.] ῥαθυμίας ἐλήλυθα R* ‖ *ἐληλύθην M: scr ἐληλύθει?* ‖ [17–18] *ἰδ. ψ. om R* ‖ [18–19] *τῶν δεσμῶν τούτων ἢ τάχ. ἐπὶ σὲ μετάστ. R* ‖ [19] *παρ.] τοῦ add R* ‖ *Ἰ.] καὶ add R* ‖ *scr μηδὲ?* (praesente Ioanne sed causam ignorante 𝔄*: cf 183, 6*) ‖ *ὅλ.] ἄλλον M* ‖ [20] *δρουσίνα M: cf 193, 24; 202, 21; 203, 4* ‖ *ἡδομένου R* ‖ [21] *ἀλλὰ κ. λ. om R* ‖ [23] *ἔκλαιε δὲ καὶ φ. R* ‖ *πολλὰ] αὐτὸν add R* ‖ [24] *αὐτῷ om R* ‖ *βελτίω R* ‖ *μετήλλαξεν suspicabatur Vsener: at cf Prochori p 4, 4*

ἡ Δρουσιανὴ τοῦτον τὸν βίον τὸν ἄδικον. Καὶ ὁ Ἀνδρόνικος αὐτῷ ἀπεκρίνατο· Καὶ πέπεισμαι ὦ Ἰωάννη καὶ οὐκ ἀμφιβάλλω ὅλως περὶ τῆς εἰς τὸν θεόν μου πίστεως· ἀλλὰ μάλιστα τοῦτο αὐτὸ κρατύνω ὅτι καθαρῶς τοῦ βίου ἀνέλυσεν.

66 *Ἐκκομισθείσης δὲ αὐτῆς ἐπιλαβόμενος ὁ Ἰωάννης τοῦ Ἀνδρονίκου καὶ ἐγνωκὼς τὴν αἰτίαν μᾶλλον ἐπένθει τοῦ Ἀνδρονίκου· καὶ ἡσύχαζεν ἀφορῶν εἰς τὰς ἐπηρείας τοῦ ἀλλοτρίου, ἐπ' ὀλίγον καθεσθείς· εἶτα τῶν ἀδελφῶν ἐπισυλλεγέντων ὑπὲρ τοῦ ἀκοῦσαι τίνας λόγους ἐρεῖ πρὸς τὴν ἀπηλλαγμένην, καὶ ἤρξατο λέγειν·*

67 *Ὁ κυβερνήτης | ναυτιλλόμενος ἅμα τοῖς ἐμπλέουσι καὶ* 229 Z *αὐτῇ τῇ νηὶ ὁπηνίκα ἂν καταχθῇ εἰς εὔδιον καὶ ἀχείμαστον λιμένα τηνικαῦτα φασκέτω σεσῶσθαι. καὶ ὁ γεωργὸς παραδοὺς τῇ γῇ τὰ σπέρματα καὶ πολλὰ καμὼν ἐπὶ τὴν τούτων ἐπιμέλειαν καὶ φρουράν, τότε τῶν πόνων τὴν ἀνάπαυλαν ἔχεται ὁπόταν ἐν ταῖς ἀποθήκαις ἀποθῆται τὰ σπέρματα πολλαπλασίονα. ὁ ἐν σταδίῳ δρόμον ὑπισχνούμενος τότε ἀγαλλέσθω ὁπόταν τὸ βραβεῖον κομίσηται. ὁ πυκτικὴν ἀπογεγραμμένος τότε καυχάσθω ὅταν τοὺς στεφάνους δέξηται. καὶ τὰ ἑξῆς ἅπαντα ἀγωνίσματα καὶ αἱ τέχναι, ὁπόταν ἐν τῷ τέλει μὴ ἔρημοι ὦσιν, ἀλλὰ δεικνύωνται ἐκείνοις πρὸς ἅπερ ἐπηγγέλλοντο.*

68 *τὸ αὐτὸ δὲ ἡγοῦμαι ὑπάρχειν καὶ πρὸς ἣν ἕκαστος ἡμῶν ἀσκεῖ πίστιν· τότε ταύτην ἐκκρίνεσθαι εἰ ἄρα ἀληθής, ὁπόταν μέχρις ἔξω τοῦ βίου ὁμαλισθῇ. πολλὰ γὰρ ἐμπόδια παρεμπίπτει καὶ θόρυβον παρασκευάζει τῷ ἀνθρωπίνῳ λογισμῷ· μέριμνα, παῖδες, γονεῖς, δόξα, πενία, κολακεία, ἀκμή, κάλλος, ἀλαζονεία, ἐπιθυμία, πλοῦτος, ὀργή, ἔπαρσις, ῥαθυμία,*

---

[1] *ἡ om R* ‖ *τοῦτ. τ. ἄδ. καταλείψασα β. R* ‖ [2] *καὶ om R* ‖ *ὦ] πάτερ R* ‖ *καὶ] ἐπίσταμαι add R* ‖ *ἀμφιβάλλων R* ‖ [3] *τὸν om R* ‖ [3–4] *ἀλλὰ - κρ. om R* ‖ [5] *προσλαβόμενος (τὸν Ἀνδρόνικον) suspic Vsener: cf 190, 1 al* ‖ [5–6] *τὸν ἀνδρόνικον M: cf 174, 35* ‖ [6] *τῶ ἀνδρονίκω R* ‖ [7] *ἀφ. εἰς] διαπορῶν R* ‖ [8] *ἐπ'] καὶ ἐπὶ R* ‖ *εἶτα] δὲ καὶ add R* ‖ *ἀδ.] ἁπάντων add R: cf 203, 10?* ‖ *ἐπισ.] πρὸς αὐτὸν add R* ‖ [9–10] *ὑπὲρ - καὶ om R* ‖ [10] *del καὶ?* ‖ *ἤρξ.] ὁ ἰωάννης add R* ‖ [11–13] *ὁ κ. - σεσ. καὶ om R* ‖ [14] *τῇ γῇ om R* ‖ [14–16] *καὶ π. - σπέρμ. om R* ‖ [14–15] *scr τῇ τ. ἐπιμελείᾳ κ. φρουρᾷ?* ‖ [15] *ἐχέτω Vsener et Zahn recte ut uid: cf 161, 9* ‖ [16] *πολυπλασίονα et add τότε χαιρέτω R* ‖ [17] *δρ. ὑπ.] τρέχων R* ‖ [18–21] *ὁ πυκτ. - ἐπηγγ. om R* ‖ [18] *<ἐπὶ> uel <πρὸς> πυκτικὴν?* ‖ [19] *scr ὁπόταν? cf 16; 17; 20; 24* ‖ [20] *αἱ del Vsener* ‖ [21] *πρὸς] scr προκεχωρηκότα? cf 184, 14; 16: noli ex 𝔄 corrigere* ‖ [22] *τὸ α. δὲ] τοῦτο δὲ αὐτὸ R* ‖ *καὶ om R* ‖ [23] *ὑμῶν R* ‖ [23–24] *τότε - ὁμ. om R* ‖ [25] *παραπίπτειν R* ‖ [26] *ἀκμή om R* ‖ [27] *ἐπιθ. πλούτου Zahn cum Lazio: cf 184, 1* ‖ *ὀργή et ῥαθ. om 𝔄*

φθόνος, πλοῦτος, ζῆλος, ἀμέλεια, ὕβρις, ἔρως, δόλος, χρήματα, πρόφασις, καὶ ἄλλα ὁπόσα ἐστὶν ἐν τῷ βίῳ τοιαῦτα ἐμπόδια, ὡς καὶ τῷ κυβερνήτῃ φερομένῳ εὐδίῳ δρόμῳ ἐναντιοῦται πνευμάτων ἐναντίων ἐπιβολὴ καὶ χειμὼν μέγας καὶ τρικυμία ἐξ εὐδίας, καὶ τῷ γεωργῷ χειμὼν ἄωρος καὶ ἐρυσίβη καὶ ἑρπετὰ ἐκ τῆς γῆς ἀναφανέντα, καὶ τοῖς ἀγωνισταῖς τὸ παρὰ μικρόν, καὶ τοῖς τὰς τέχνας μετιοῦσι τὸ παρ' ἐκείνων.

69 *χρὴ δὲ πρὸ τῶν ἄλλων ἁπάντων τὸν πιστὸν ἄνθρωπον τὴν ἔξοδον προορᾶν, καὶ καταμανθάνειν ταύτην ὁποία* 230 Z *τις ἐπιστή|σεται, ἆρα διεργὴς καὶ νηφαλέα καὶ μηδὲν ἐμπόδιον ἔχουσα, ἢ τεθορυβημένη καὶ τὰ ὧδε κολακεύουσα καὶ καταδεδεμένη ἐπιθυμίαις. οὕτως ἔστιν ἐπαινεῖσθαι καὶ σῶμα εὔμορφον ὁπόταν ὅλον ἀποδύσηται, καὶ στρατηγὸν μέγαν ὁπόταν τὸ τοῦ πολέμου ἐπάγγελμα πᾶν κατορθώσῃ, καὶ ἰατρὸν ἄριστον ἐκεῖνον τὸν διὰ πάσης ἰάσεως χωροῦντα, καὶ ψυχὴν πίστεως καὶ θεοῦ δεξιὰν ὁπόταν ἴσον τὸ τῆς ἐπαγγελίας καταστήσῃ, οὐχὶ τὴν ἀρξαμένην καὶ ὑπολυθεῖσαν εἰς τὰ τοῦ βίου πάντα καὶ ἐκπεσοῦσαν, οὐδὲ τὴν ναρκῶσαν, βιαζομένην πρὸς τοῖς κρείττοσιν εἶναι, εἶτα δὲ κατενεχθεῖσαν εἰς τὰ πρόσκαιρα, οὐδὲ τὴν ποθήσασαν μᾶλλον τὰ χρόνια τῶν αἰωνίων, οὐδὲ τὴν καταλλασσομένην τὰ μὴ μένοντα, οὐδὲ τὴν τιμήσασαν τὰ ἀτιμίας ἔργα ὕβρεως ἄξια, οὐδὲ τὴν ἐνέχυρα παρὰ τοῦ Σατανᾶ λαμβάνουσαν, οὐδὲ τὴν ὑποδεξαμένην τῷ ἑαυτῆς*

---

[1] *φόνος R* ‖ *πλοῦτος om R𝔄: del? (cf 183, 27) πάθος Vsener* ‖ *ἀμέλ. om et add* dissimulatio 𝔄 ‖ *ὕβρεις M* ‖ *ἔρις R (uerum?)* tristitia *add* 𝔄 ‖ *δόλος]* serui 𝔄 *δοῦλοι Vsener* ‖ *χρήμ. om(?) et add* possessio *et* patrimonium 𝔄 ‖ [2] *ὅσα R* ‖ *ἐν τῷ β. om R* ‖ [3–7] *ὡς καὶ - ἐκ. om R* ‖ [3] *del ἐναντιοῦται?* ‖ [4] *del καὶ χ. μ.??* ‖ [6] *παρὰ μ. num sana?* ‖ [7] *τὰς ⟨ἄλλας⟩?* ‖ *τὸ] scr τὰ??* ‖ *παρ' ἐκ. corrupta?* ‖ [8] *χρεία R fort uerum: cf 191, 22* ‖ *scr τοῦ πιστοῦ ἀνθρώπου? cf 183, 23* ‖ [9] *ἔξ.] καὶ add R* ‖ *ὁπ.] ἢ R* ‖ [10] *ἐπιστ. om R* ‖ *ἆρα δ.] ῥαδιουργὴς R* utrumnam uigilantem 𝔄 *ἆρ' ἐνεργής Vsener: scr ἆρα διεγρὴς??? (cf ἐγρήσσω)* ‖ [11] *ἔχουσαν R* ‖ *ἦτε θορυβουμένη R* ‖ *καὶ alt om R* ‖ [12] *οὕτως] αὐτὸν R* ‖ *ἐπαινέσαι R* ‖ [14] *κατ. ἅπαν R* ‖ [14–17] *καὶ ἰ. - κατ. om R* ‖ [15–17] ita nemo potest laudare uitam nisi eius qui plenam fidei animam et templo dei dignam carnem praestiterit suam 𝔄 ‖ [16] *δεξ.] ἀξίαν Zahn δεκτικὴν exspectabat Vsener* ‖ *τὸ ἴσον suspicatur Zahn* ‖ *scr τῷ τ. ἐπ.?? τὸ ⟨κατόρθωμα⟩ τῇ ἐπαγγελίᾳ??* ‖ [17–18] *ὑπολισθοῦσαν εἰς τὰς τ. β. ἀπάτας uel πάγας Vsener* ‖ [18] *ἅπαντα R: cf 181, 3* ‖ [18–19] *οὐδὲ - πρόσκ. om R* ‖ [18] *μαργῶσαν [βιαζομένην] Vsener* ‖ [20] *τὰ χρ. μ. R* ‖ [21] *οὐδὲ - μέν. om R* ‖ [21]–185,[6] *paulo pleniora habet* 𝔄 ‖ [21] *⟨τὰ μένοντα πρὸς⟩ τὰ μὴ μένοντα? ita fere* 𝔄 ‖ [21–22] neque honorauerit quae honorificanda non sunt neque amauerit plena opera contumeliis 𝔄 ‖ [22] *ἀτ. om R* ‖ *ἔ. ὕβ. om M: uerba trunca post ἄξια ponenda cf* 𝔄 ‖ *ἐνέχειρα R* ‖ [23]–185,[1] *οὐδὲ - ὄφιν om R*

οἴκῳ τὸν ὄφιν, οὐδὲ τὴν ὀνειδιζομένην διὰ θεόν, εἶτα μὴ αἰσχυνομένην· οὐδὲ τὴν στόματι μὲν λέγουσαν ναί, ἔργῳ δὲ ἑαυτῇ οὐ δεικνύουσα· ἀλλὰ τὴν ὑπομείνασαν ὑπὸ ἡδονῆς ῥυπαρᾶς μὴ ἐκλυθῆναι, ὑπὸ ῥαθυμίας μὴ ἡττηθῆναι, ὑπὸ φιλαργυρίας μηδὲ δελεασθῆναι, ὑπὸ ἀκμῆς σώματος καὶ ὀργῆς μὴ προδοθῆναι.

70 Καὶ ἔτι πλείονας λόγους ποιουμένου τοῦ Ἰωάννου πρὸς τοὺς ἀδελφούς, ὡς τῶν προσκαίρων ἕνεκεν τούτους καταφρονεῖν, ὁ τῆς Δρουσιανῆς ἐρῶν ἐξαφθεὶς δεινοτάτῃ ἐπιθυμίᾳ καὶ ἐνεργείᾳ τοῦ πολυμόρφου Σατανᾶ τὸν τοῦ Ἀνδρονίκου ἐπίτροπον ὄντα φιλάργυρον ὠνεῖται χρήμασιν ἱκανοῖς· ὅστις ἀνοίξας τὸν τάφον Δρουσιανῆς ἐπέτρεψε διαπράξασθαι τὸ ἀπηγορευμένον εἰς νεκρὸν σῶμα. μὴ ἐπιτυγχάνων αὐτῆς ζώσης μετὰ θάνατον τῷ σώματι προσλιπαρῶν ἀπεκρίνατο· Εἰ καὶ ζῶσα οὐκ ἠκολούθεις μοι κοινωνῆσαι, μετὰ θάνατον νεκράν σε οὖσαν ἐνυβρίσω. Τοῦτο οὖν ἐνθυμούμενος, καὶ κατασκευάσας ἑαυτῷ τὴν διὰ τοῦ μιαροῦ ἐπιτρόπου ἀσέβειαν, εἰσεπήδησεν εἰς τὸ μνῆμα σὺν ἐκείνῳ ἅμα· καὶ ἀνοίξαντες τὴν θύραν ἤρξαντο ἀποδύειν τοῦ πτώματος τὰ ἐντάφια λέγοντες· Τί ὠφέλησας ταλαίπωρε Δρουσιανή; τοῦτο ζῶσα πεποιηκέναι οὐκ ἠδύνασο, ὃ τάχα ἂν οὐδέν σε ἐλύπησεν ἑκοῦσαν τοῦτο ποιησαμένην;

71 Καὶ ταῦτα τούτων λεγόντων, καὶ μόνον ὃ σύνηθες καρκάλιον περὶ τὴν σάρκα ταύτης ἐναπομεῖναν, ξένον ὁρᾶται θέαμα | ὃ παθεῖν ἄξιον τοὺς ταῦτα δρῶντας· ὄφις ποθὲν 231 Z
ἐπιφανεὶς τὸν μὲν ἐπίτροπον μονόπληγα τίθησιν· ὃν καὶ ἀνεῖ-

---

[1] *οἴκῳ*] pectus 𝔄: *cf 189, 20* ‖ [1–3] *οὐδὲ τ. ὀν. - δεικν. om M* ‖ [1] *del μὴ? cf ep Petri 1, 4, 14; 16* ‖ [3] *scr ἑαυτὴν??* ‖ *scr οὐκ ἐπιδεικνύουσαν?* ‖ [4] *ἐκλ.*] *scr ἐκκαυθῆναι?* exuratur 𝔄 ‖ *ἀπὸ ῥ. R* ‖ [4–5] *ὑπὸ φιλ. - δελ. om M* ‖ [5] *scr μὴ δελ.* ‖ *ἀκμὴ R* ‖ *καὶ ὀργ. om M* ira 𝔄 ‖ [6] *μὴ om R* ‖ *παραδοθῆναι R* ‖ [7] *τ. ἰω. ποιούμενος R* ‖ [8] *ὡς - κατ. om R* ‖ *ἕνεκεν ⟨τῶν αἰωνίων⟩ uel ⟨τῶν κρειττόνων⟩? cf tamen 189, 4-13 M* ‖ [9] *ἐξαφεὶς M* ‖ *δεινοτάτω et add καὶ σατανικῷ ἔρωτι τῇ R* ‖ [11] *χρήματος ἱκανοῦ R: cf 187, 6* ‖ [12] *ἐπέτρεψεν et add αὐτῷ R* ‖ [13–16] *μὴ - ἐνυβ. om M* ‖ [13] *⟨καὶ⟩ μὴ?* ‖ *scr ἐπιτυχὼν? cf 187, 5* ‖ *ἠκολούθης R: scr ἠβουλήθης?* (noluisti 𝔄)*: cf 187, 10* ‖ [17–18] *καὶ κατ. - ἀσέβ. om R* ‖ [18] *μνημεῖον R fort recte: cf 182, 2 sed etiam 186, 5; 9* ‖ *σ. ἐ. ἅ.*] *ἅ. τῷ μιαρῷ ἐπιτρόπῳ ἐ. R* ‖ [18–19] *ἀν. τ. θ. om R* ‖ [19] *ἀποδ.*] *ἀμφότεροι add R* ‖ *σώματος R fort recte: cf 13 (at 187, 21)* ‖ [21] *ἐδύνασο R* ‖ [22] *τοῦτο*] *αὐτῷ (i e αὐτὸ) R: cf 24 al* ‖ [23–25] *ταῦτα - δρ.*] *ὡς λοιπὸν περιέμενε περὶ τὴν γύμνωσιν αὐτῆς τὸ διακρούσιον μόνον R* ‖ [24] *scr καρακάλλιον? δικρόσσιον?? cf 187, 3* ‖ [25] *scr τοιαῦτα?* ‖ [26] *μον. - καὶ*] *πλήξας R: cf 188, 11*

λεν· ἐκεῖνον δὲ τὸν νεανίσκον οὐ τύπτει, ἀλλὰ τοῖς ποσὶν αὐτοῦ περιειλεῖτο δεινῶς ἀποφυσῶν, καὶ πεσόντος αὐτοῦ ἐπαναβὰς ὁ ὄφις ἐπάνω αὐτοῦ ἐκαθέζετο.

72 Τῇ δὲ ἑξῆς ἡμέρᾳ παραγίνεται ὁ Ἰωάννης ἅμα τῷ Ἀνδρονίκῳ καὶ τοῖς ἀδελφοῖς ἐξ ἑωθινῆς εἰς τὸ μνῆμα, τρίτην ἡμέραν ἐχούσης τῆς Δρουσιανῆς, ὅπως ἄρτον κλάσωμεν ἐκεῖ. καὶ τὰ μὲν πρῶτα ἐρχομένων αὐτῶν αἱ κλεῖς οὐχ εὑρίσκοντο ζητηθεῖσαι· ὁ δὲ Ἰωάννης εἶπε πρὸς τὸν Ἀνδρόνικον· Εἰκότως ἀπώλοντο· Δρουσιανὴ γὰρ ἐν τῷ μνήματι οὐκ ἔστιν. ἀλλ' ὅμως ἀπέλθωμεν, ὅπως μὴ ῥᾳθυμήσῃς, καὶ αὐτόματοι αἱ θύραι ἀνοιχθήσονται, ὡς καὶ ἄλλα πολλὰ παρέσχεν ἡμῖν ὁ κύριος.

73 Καὶ γενομένων ἡμῶν ἐν τῷ τόπῳ, κελεύσει τοῦ διδασκάλου αἱ θύραι ἠνοίχθησαν, καὶ περὶ τὸν τάφον τῆς Δρουσιανῆς εἶδόν τινα νεανίσκον εὔμορφον μειδιῶντα· ὃν ἰδὼν ὁ Ἰωάννης κράξας ἔφη· Καὶ ὧδε φθάνεις ἡμᾶς ὁ καλός; τίνος χάριν ἄρα; Καὶ ἀκούει φωνῆς λεγούσης αὐτῷ· Δρουσιανῆς ἕνεκεν, ἣν σὺ μέλλεις ἀναστήσειν — παρὰ βραχὺ γὰρ ἤμην εὑρὼν αὐτήν — καὶ τὸ πλησίον ἀπονεύσαντος τοῦ τάφου αὐτῆς. Καὶ εἰπὼν ταῦτα ὁ καλὸς πρὸς τὸν Ἰωάννην εἰς οὐρανοὺς ἀνῄει
232 Z βλεπόντων πάντων ἡμῶν. ὁ δὲ Ἰωάννης ἐπιστραφεὶς εἰς τὸ ἕτερον μέρος τοῦ μνήματος ὁρᾷ νεανίσκον πρῶτον τῶν Ἐφεσίων Καλλίμαχον — τοῦτο γὰρ ἐκαλεῖτο — καὶ ἐπικαθεύδοντα αὐτῷ ὄφιν παμμεγέθη, καὶ τὸν ἐπίτροπον Ἀνδρονίκου, Φουρτουνᾶτον λεγόμενον, τεθνεῶτα. καὶ ἀμφοτέρους ἰδὼν ἠπορημένος εἱστήκει λέγων πρὸς τοὺς ἀδελφούς· Τί βούλεται τὸ τοιοῦτον θέαμα; ἢ διὰ τί μοι ὁ κύριος οὐκ ἐνεφάνισε τὰ ὧδε πραχθέντα, μηδέποτέ μου ἀμελήσαντος;

---

[1] *οὐ τ. ἀλλὰ om R* ‖ [2] *ἐπιπεσόντος R* ‖ [3] *ἐκ. ἐπ. α. R* ‖ [4-5] *παρ. - ἑωθ.] ἕωθεν ἅμα τ. ἀνδ. κ. τ. ἀδ. παρ. M* ‖ [6] *κλάσωσιν M* ‖ [7] *οὐκ εὑρέθησαν R* ‖ [9] *Δρ.] μὴ Vsener* ‖ [10] *αὐτόμαται sup scr οι M αὐτομάτως R* ‖ *ἀνοιγήσονται R* ‖ [11] *παρέσχετο R* ‖ [12] *δ.] ἰωάννου R* Iohannis 𝔄*: cf 169, 27; 187, 11* ‖ [13] *ἀνοίγονται R* ‖ *scr παρὰ?* ‖ [14] *scr εἴδομέν? idem coni Zahn* uidimus 𝔄*: cf 20* ‖ *εὔμ. ν. R* ‖ [15] *κρ. om M* cum clamore 𝔄 ‖ *ἡμ. om R: del?* ‖ [16] *χάρ.] ἕνεκα R* ‖ *ἀκ.]* audiuimus *Lazius recte? cf 187, 13* (audiuit 𝔄) ‖ [17] *σὺ om R* ‖ *μέλλω ἀνιστᾶν R: cf 187, 17* ‖ *ἤμην] scr ὑβρισμένην??* ‖ *scr εὗρον?* ‖ [18] *καὶ τὸ - αὐτῆς om M* et propter illum qui propior sepulchro eius exanimatus iacet, qui et honorificabunt propter me deum 𝔄 ‖ *scr τοῦ et ἀποπνεύσαντος? cf* 𝔄 ‖ [20] *πάντων om R* ‖ [21] *τ. μν. om M* ‖ *νεαν. - Ἐφ.] τὸν ἐρῶντα δρουσιανῆς νεαν. M* qui primus Ephesiorum erat 𝔄 ‖ [22] *τ. γ. ἐκ. om R: del??* ‖ *καὶ om M* ‖ [23] *μέγα R* ‖ *Ἀνδ. om R* ‖ [24] *λεγ. om R* ‖ *ἰδ. ἀμφ. R* ‖ *ἠπορ. om R* ‖ [25] *θέ.] εἶναι add R: cf 165, 27; 194, 12; 17; 24* ‖ [27] *μηδ. - ἀμελ. om R* ‖ *scr ἀμελήσας? item Zahn* qui numquam me dedignari solet 𝔄

74 Καὶ ὁ Ἀνδρόνικος ἰδὼν ἐκείνους νεκροὺς ἀναπηδήσας ἦλθεν ἐπὶ τὸν Δρουσιανῆς τάφον· καὶ ἰδὼν αὐτὴν ἐν μόνῳ τῷ δικρουσίῳ ἔφη τῷ Ἰωάννῃ· Συνεῖδον τὸ γεγονὸς μακάριε δοῦλε τοῦ θεοῦ Ἰωάννη· ὁ Καλλίμαχος οὗτος ἤρα τῆς ἀδελφῆς μου· καὶ μὴ ἐπιτυχὼν αὐτῆς πολλάκις τοῦτο τολμήσας, τὸν κατάρατον ἐπίτροπόν μου τοῦτον ὠνήσατο χρήμασιν ἱκανοῖς, ἴσως ἐν νῷ λαβών, ὥς γε νῦν ἔστι μαθεῖν, τὴν τῆς ἐπιβουλῆς δραματουργίαν δι' αὐτοῦ μέλλειν ἐκπληροῖν· καὶ γὰρ ὡμολόγησε τοῦτο πολλοῖς ὁ Καλλίμαχος ὅτι Κἂν μὴ ζῶσα 233 Z βουληθῇ συνθέσθαι μοι, τεθνεῶσα ἐνυβρισθήσεται. Καὶ τάχα διδάσκαλε ὁ καλος ἐγνώρισε τὸ λείψανον αὐτῆς μὴ ὑβρισθῆναι συγχωρήσας, καὶ διὰ τοῦτο οὗτοι τεθνήκασιν οἱ ταῦτα ἐτόλμησαν. καὶ μή τοι γε ἡ φωνὴ ἡ εἰρηκυῖα πρός σε Ἀνέγειρον τὴν Δρουσιανὴν τοῦτο προεδήλου; ἐπειδὴ λύπην ἔχουσα τοῦ βίου τούτου ἀπηλλάγη. πείθομαι δὲ τῷ εἰρηκότι ὅτι τῶν πλανηθέντων οὗτος ὑπάρχει ἀνθρώπων· καὶ γὰρ αὐτὸν ἐκελεύθης ἀναστῆσαι· περὶ γὰρ τοῦ ἑτέρου οἶδα ὅτι ἀνάξιός ἐστιν ἡ ἐκείνου σωτηρία. ἀλλ' ἕν σε τοῦτο παρακαλῶ· ἀνέγειρον πρῶτον τὸν Καλλίμαχον, καὶ οὗτος ἡμῖν ὁμολογήσει τὸ γεγονός.

75 Ὁ δὲ Ἰωάννης ἀπιδὼν τῷ πτώματι καὶ εἰπὼν τῷ ἰοβόλῳ ἑρπετῷ Ἀπόστηθι τοῦ μέλλοντος Ἰησοῦ Χριστῷ δουλεύειν, ἀναστὰς ἐπηύξατο οὕτως· Ὁ θεὸς οὗ τὸ ὄνομα δοξάζεται ὑφ' ἡμῶν ἀξίως· ὁ θεὸς ὁ πᾶσαν ἐνέργειαν κακωτικὴν δαμάζων· ὁ θεὸς οὗ τὸ θέλημα τελειοῦται, ὁ ὑπακούων ἡμῶν

---

[1] ἰδ. ἐκ. ν. *om R* ‖ ν.] γυμνοὺς *sup scr* νεκροὺς *M* ‖ [2] τάφ. δρ. *R* ‖ [3] διακρουσίω *R* δικροσσίῳ *Zahn fort recte* (*cf 210, 11*) *sed cf 190,27* ‖ [3–4] συν.-Ἰω. *om M* intellego quid factum sit sancte et beate Iohannes 𝔄 ‖ [5] αὐτῇ *R* ‖ [6] μου *om R* ‖ τούτω *R* ‖ χρήματος ἱκανοῦ *R: cf 185, 11* ‖ [7] ἴσως *V senero suspectum* ‖ λαμβάνω *R* ‖ [8] ἐκπληροῦν *R Zahn fort recte* ‖ [9] τοῦτο π.] τούτοις *R* ‖ [10] ἠβουλήθη συνεῖναί *R* ‖ μου *M* ‖ τεθνηκυῖα *M: cf 186, 24* ‖ [11] τάχα ⟨διὰ τοῦτο⟩? fortasse propterea 𝔄 ‖ διδ.] ἰωάννης *R* Iohannes 𝔄: *cf 186, 12* ‖ ἔγνωκε *R* uelauit 𝔄: *scr* ἐσκέπασε??? *cf 188, 21* (*at cf 187, 2*) ‖ αὐτῆς] τοῦτο *R* ‖ [12] συγχ. *om R* ‖ οὗτοι *om R* ‖ [12–13] οἱ τ. τολμήσαντες *R fort recte* ‖ [13] μή *om M* ‖ *alt* ἡ *om R* ‖ [14] Δρ.] παραβραχὺ γὰρ ἡμῖν ἐγνώρισα *add R ex 186, 17 repet* (*non add* 𝔄) ‖ [15] τούτου *om R* ‖ ἀπηλλ.] ἀπῆλθε καὶ ἀπηλλάγην αὐτῶ *R paulo plura* 𝔄 ‖ [16] ἀνθρ. οὗτ. ὑπ. σωτήρ *R: cf 189, 6* ‖ γὰρ *om R* ‖ [17] αὐτὸς ἐκέλευσεν ἀναστῆναι *R: cf 186, 17; 191, 22* ‖ γὰρ] δὲ *R* ‖ [18] ἀνξιός *M* ‖ ἡ ἐκ. σωτ. ὑπάρχει *R* ‖ σωτηρίαι? σωτηρίαν? (*non* σωτηρίας) *M* ‖ ἀλλὰ *R* ‖ [19] αὐτὸς *R* ‖ ἐξομολογήσεται *R* ‖ [22] ἰησοῦν χριστὸν *R* ‖ δουλ.] καὶ *add R* ‖ [23] οὕτως *om M: cf 206, 6; 207, 7; 210, 12* ‖ [23–25] ὁ-δαμ. *om R* ‖ [25] ὁ *alt om M* ‖ *scr* ἐπακούων?? *cf 197, 16; 18; 99, 11; 121, 23*

πάντοτε· καὶ νῦν τελειούσθω σου ἡ δωρεὰ ἐπὶ τῷ νεανίσκῳ τούτῳ· καὶ εἴ τις δι' αὐτοῦ οἰκονομία γίγνοιτο, ταύτην ἐγηγερμένου αὐτοῦ ἐμφάνισον ἡμῖν. Καὶ εὐθέως ὁ νεανίσκος ἀναστὰς ὅλην τὴν ὥραν ἡσύχαζεν.

76 Ὡς δὲ ἐν τῷ ἑαυτοῦ λογισμῷ ἐγένετο, ἐπύθετο αὐτοῦ ὁ Ἰωάννης τὴν ἐν τῷ μνημείῳ εἴσοδον τί ἐβούλετο· καὶ μαθὼν παρ' αὐτοῦ ἅπερ ὁ Ἀνδρόνικος εἰρήκει αὐτῷ, ὡς δῆθεν ἐρῶντος αὐτοῦ Δρουσιανῆς, ἐπύθετο αὐτοῦ ὁ Ἰωάννης πάλιν εἰ τοῦ μιαροῦ ἔσχε τέλους, ἐνυβρίσαι λειψάνου σεμνότητος γέμοντι·
234 Z ὁ δὲ ἀπεκρίνατο αὐτῷ· Πῶς γὰρ | ἠδυνάμην τοῦτο διαπράξασθαι; ὅπου τὸ δεινὸν τοῦτο ζῷον τὸν μὲν Φουρτουνᾶτον μονόπληγα ἔβαλεν ὁρῶντος ἐμοῦ, καὶ εἰκότως, αὐτοῦ μοι τὴν τοσαύτην μανίαν παραθαρρύνοντος ἤδη τῆς ἀκαίρου ἐκείνης καὶ δεινῆς πεπαυμένου μανίας· ἐμὲ δὲ τῷ φόβῳ ἔστησε, καὶ τοιοῦτον ἐποίησεν οἷον περὶ τοῦ ἀναστῆναί με εἴδετε. ἕτερον δέ σοι θαυμασιώτερον ἐρῶ, τὸ μᾶλλόν με ἀνελὸν καὶ νεκρὸν παρὰ μικρὸν θέμενον· ὅτε μου ἡ ψυχὴ παρεῖχεν ἔννοια καὶ ἡ ἀκατάσχετος νόσος διώχλει, ἀποσυλήσαντός μου ἤδη ἅπερ ἦν ἠμφιεσμένη ἐντάφια, εἶτα δὲ ἀποβάντος μου τοῦ τάφου καὶ θεμένου μου αὐτὰ ὡς ὁρᾷς, ἀπῆλθον πάλιν ἐπὶ τῷ ἀποτροπαίῳ ἔργῳ· καὶ ὁρῶ τινα νεανίσκον εὔμορφον περισκέποντα αὐτὴν τῷ ἑαυτοῦ ἱματίῳ· οὗ ἀπὸ τῆς ὄψεως λαμπηδόνες φωτὸς ἐξήρχοντο εἰς τὰς ὄψεις αὐτῆς· ὅστις καὶ εἰς ἐμὲ ἔδωκε φωνὴν λέγων· Καλλίμαχε ἀπόθανε ἵνα ζήσῃς. Τίς μὲν οὖν ἦν οὐκ

---

[1] *τελείωσον τὴν δόξαν σου R* ‖ [1–2] *τὸν νεανίσκον τοῦτον R* ‖ [2] *δι' α. om R* ‖ *γένηται R* ‖ [2–3] *ἐγ. α. om R* ‖ [4] *ὅλ. τ.] πολλὴν R* integram 𝔄 ‖ [5] *αὐτῶ R* ‖ *ἐγίνετο M* ‖ *αὐτῶ M* ‖ [6] *τῇ M* ‖ *ἐν om R* ‖ *τοῦ μνημείου R* ‖ *εἰσόδω M: cf 186, 25* ‖ [7–8] *αὐτῷ - Δρ. om R* ‖ [8] *αὐτοῦ om R* ‖ *πάλ. ὁ ἰω. R* ‖ [8–9] utrum nunc temeritatis suae circa reliquias plenas uenerationis et gratiae aliquem habere potuisset effectum 𝔄 ‖ [8] *εἰ] μὴ οὖν ἡ R* ‖ [9] *scr ἔτυχε??* ‖ *τέλος R Zahn: cf 182, 8* ‖ *ἐν. - γέμ. om M* ‖ *scr λειψάνῳ?* ‖ [10] *ἐδυναίμην R* ‖ [11] *τοῦτο om R* ‖ *ζ.] ξένον R* ‖ [12] *ὁρῶντος om M* ‖ *κ. εἰκ.] ὡς εἰκὸς M* ‖ [12–13] *αὐτοῦ - παραθ. om M:* qui incentiuum addidit huius insaniae 𝔄 ‖ [12] *scr μου?* ‖ [13] *ἤδη] πεπαυμένου μου add R* ‖ [13–14] *ἀκ. - δειν.] πολλῆς R* ‖ [14] *πεπ. om R* ‖ [14–15] *ἐμὲ - εἴδ.] τῷ φόβῳ τοῦ τοιοῦδε ὄφεως M* ‖ [14] *ἔστ.] scr <ἄφωνον> ἔθηκε???* (*cf 48, 2*) *ἐξέπληξε???* ‖ [15] *περὶ] scr πρὸ?* ‖ [17] *π. μ. om R* ‖ *μοι M fort recte* ‖ *ἡ ψ. - καὶ om M: cf* 𝔄 ‖ *scr παρεῖκεν (uel παρεκινεῖτο) ἀνοίᾳ??* animi quadam dementia ... correptus 𝔄 ‖ [18] *ἐδιώχθη R* ‖ *ἤδη om R* ‖ *ἃ R* ‖ [19] *ἐντ. om M: cf 185, 19* ‖ [20] *μου om R* ‖ *ὡς ὁρᾷς om R* ‖ [20–21] *πάλ. - ἔργῳ om M* praeparans me ad impium facinus 𝔄 ‖ [22] *αὐτῇ R* ‖ [23] *ἀπεπήδησαν R* ‖ *τὴν ὄψιν R* ‖ *ὃς M: cf 185, 12; 189, 10* ‖ [23–24] *εἰς - λέγ.] εἴρηκέ μοι M* in me ueniens uocem dedit 𝔄 ‖ [24] *ἀπόθανον* (*cf 164, 23; 189, 9*) *et add οὖν R*

ᾔδειν δοῦλε τοῦ θεοῦ· ὅτι δὲ σοῦ ὀφθέντος ἐνθάδε γνωρίζω ἄγγελον αὐτὸν εἶναι θεοῦ εὖ οἶδα· τοῦτο δὲ ἀληθῶς ἐπίσταμαι ὅτι ἀληθὴς θεὸς ὑπὸ σοῦ καταγγέλλεται καὶ τοῦτο πέπεισμαι. ἀλλὰ κἀγὼ σὲ παρακαλῶ μὴ ἀμελήσῃς με ἀπὸ τοιαύτης συμφορᾶς καὶ τόλμης δεινῆς ἐλευθερῶσαι καὶ παραστῆσαι τῷ θεῷ σου ἄνθρωπον ἀπατηθέντα αἰσχρᾷ καὶ μυσαρᾷ ἀπάτῃ. βοηθείας οὖν δεόμενος παρὰ σοῦ ἅπτομαί σου τῶν ποδῶν. ἄνθρωπος θέλω γενέσθαι τῶν ἐπὶ Χριστὸν ἐλπιζόντων, ὅπως καὶ ἡ φωνὴ ᾖ ἀληθὴς εἰρηκυῖά μοι ἐνθάδε· Ἀπόθανε ἵνα ζήσῃς· Ἥτις καὶ ἐτέλεσεν αὐτῆς τὴν ἐνέργειαν· ἀπέθανε γὰρ ἐκεῖνος ὁ ἄπιστος, ὁ ἄτακτος, ὁ ἄθεος· ἐγήγερμαι δὲ ὑπὸ σοῦ ὁ μέλλων πιστός, θεοσεβής, ὁ ἀληθείας γνωρίζων, ὃν παρακαλῶ ὑπὸ σοῦ γνωρισθῆναί μοι.

77 Καὶ ὁ Ἰωάννης ἐν εὐφρασίᾳ πολλῇ ληφθεὶς καὶ καταμαθὼν τὴν ὅλην θεωρίαν τῆς σωτηρίας τοῦ ἀνθρώπου εἶπεν· Ὦ τί κρατεῖς κύριε Ἰησοῦ Χριστὲ οὐκ οἶδα, ἠπορημένος ἐπὶ τῇ πολλῇ σου εὐσπλαγχνίᾳ καὶ ἀπείρῳ μακροθυμίᾳ· ὢ μέγεθος οἷον εἰς δουλείαν κατῆλθεν· ὢ ἐλευθερία ἄφραστος δουλαγωγηθεῖσα παρ' ἡμῶν· ὢ ἀπερινόητε δόξα ἡμῶν· ὁ καὶ τὸν νεκρὸν οἶκον φυλάξας ἀνύβριστον, ὁ τοῦ καθαιμάξαντος ἑαυτὸν ἀνθρώπου λυτρωτὴς καὶ τοῦ τὰ φθειρόμενα σώματα σωφρονίζων· ὁ πατὴρ ὁ ἐλεήσας καὶ σπλαγχνισθεὶς ἐπὶ τὸν ἀμελήσαντα ἄνθρωπον· δοξάζομέν σε καὶ αἰνοῦμεν καὶ εὐλογοῦμεν καὶ εὐχαριστοῦμεν τὴν πολλήν σου χρηστότητα καὶ μακροθυμίαν ἅγιε Ἰησοῦ· ὅτι σὺ μόνος θεὸς καὶ οὐχὶ ἕτερος· ὁ τὸ ἀνεπιβούλευτον κράτος καὶ νῦν καὶ εἰς τοὺς ἅπαντας αἰῶνας τῶν αἰώνων· ἀμήν.

---

[1] *ἄνθρωπε M: cf 177, 13 et 161, 22; 187, 4* sed quia te uideo hic dei seruum et apparuisti mihi, cognosco et illum angelum dei fuisse 𝔄 ‖ *ὅτι om M ‖ σοῦ δὲ M ‖ scr σὲ ὀφθέντα?? cf* 𝔄 ‖ [2] *θ. ἄγγ. α. εἶναι R ‖ εὖ οἶδα om M: cf 162, 30* ‖ [2–3] *τοῦτο - πέπ.]* et noui quia uere a te deus adnuntiatur 𝔄*: τοῦτο δὲ ἀ. ἐ. del (uar script)? et κ. τ. πέπ. ante ὅτι ponend? an κ. τ. πέπ. del?* ‖ *τοῦτο - κατ.] τοῦ ὑπὸ σοῦ κηρυττομένου M* ‖ [4] *κ. σὲ π.] δέομαί σου M* rogo et deprecor 𝔄*: fort scr κ. σὲ παρακ. ⟨καὶ⟩ δέομαί σου cf 204, 6 (sed etiam 187, 18; 191, 6 al)* ‖ [4–13] *με - μοι] τῆς ἐμῆς ἕνεκεν σωτηρίας ἀλλὰ σπούδασον προσαγαγεῖν με τῷ σῷ δεσπότῃ χριστῷ M etiam plura habet* 𝔄 ‖ [8–9] ut et uocis eius ueritas compleatur quae ait oportere me mori ut uiuerem 𝔄 ‖ [9] *ᾖ] ἡ R* ‖ *⟨ἡ⟩ εἰρηκυῖα? cf 187, 13* ‖ [12] *πιστὸς ⟨εἶναι καὶ εὔτακτος καὶ⟩?* ‖ *scr ἀλήθειαν et ἦν?* ‖ [14–27] *καὶ ὁ - ἀμήν om M*

R [16] *ὢ τί R* quid 𝔄*: scr Ὅ τι?? Τί??* ‖ *κρ.]* agam 𝔄*: scr φράσω??* ‖ [21] *σώματα ⟨μιαίνοντος τὴν ψυχὴν⟩?* ‖ [26] *ὁ] scr οὗ?*

78 Καὶ εἰπὼν ταῦτα ὁ Ἰωάννης προσλαβόμενος τὸν Καλλίμαχον ἠσπάζετο λέγων· Δόξα τῷ θεῷ ἡμῶν τέκνον τῷ ἐλεήσαντί σε καὶ καταξιώσαντί με δοξάσαι τὴν αὐτοῦ δύναμιν, καὶ καταξιώσαντι καὶ σὲ μεθόδῳ τῆς παρὰ σοῦ ἐκείνης σου μανίας καὶ μέθης μεταστῆναι, ἐπὶ δὲ τὴν ἰδίαν ἀνάπαυσιν καὶ ἀνακαίνισιν βίου καλέσαντι.

79 Ὁ δὲ Ἀνδρόνικος θεασάμενος τὸν Καλλίμαχον νεκρὸν ἐγηγερμένον ἐδέετο τοῦ Ἰωάννου ἅμα τοῖς ἀδελφοῖς ὅπως καὶ τὴν Δρουσιανὴν ἀνεγείρῃ λέγων· Ἰωάννη, ἀναστήτω καὶ τὸ βραχὺ κατορθωσάτω ὅπερ ἀπεκόμισεν λυπουμένη Δρουσιανὴ τοῦ Καλλιμάχου ἕνεκεν, δόξασα αὐτὸν σκάνδαλον γεγενῆσθαι· καὶ ὁπότε ὁ κύριος θέλει παραλήψεται αὐτήν. Καὶ ὁ Ἰωάννης μὴ μελλήσας προσελθὼν τῷ τάφῳ αὐτῆς καὶ τῆς χειρὸς κρατήσας ἔφη· Τὸν μόνον θεόν σε ὄντα ἐπικαλοῦμαι τὸν ὑπερμεγέθη, τὸν ἄφραστον, τὸν ἀκατάληπτον· ᾧ πᾶσα δύναμις ἀρχοντικὴ ὑποτέτακται· ᾧ πᾶσα ἐξουσία ἔκλινεν· ᾧ πᾶσα ἀλαζονεία προπεσοῦσα ἡσυχάζει· ὃν δαίμονες ἀκούοντες φρίττουσιν· ὃν ἡ κτίσις ὅλη καταμαθοῦσα μετριάζει· δοξασθήτω σου τὸ ὄνομα ὑφ᾽ ἡμῶν, καὶ ἀνέγειρον Δρουσιανήν, ὅπως μᾶλλον Καλλίμαχος ἐπιστηριχθῇ οἰκονομήσαντι ἀνθρώποις μὲν ἄπορον καὶ ἀδύνατον, σωτηρίαν καὶ ἀνάστασιν, σοὶ δὲ μόνῳ δυνατόν, καὶ ἡ Δρουσιανὴ ἴδῃ ὅπως ἡ ἀναπεπαυμένη, τοῦ νεανίσκου ἐπιστρέψαντος ἐμπόδιον μεθ᾽ ἑαυτῆς μηδὲ τὸ βραχύτατον ἐπικομίζουσα ἐπιγενομένη πρὸς σέ.

[3] *χι.] τῆς χι. X ‖ ὥστε V ‖ πάντα om V ‖ καταπεσεῖν V ‖* [4] *ἐξ. om V ‖ ὅλα] ὁ λαὸς P om V ‖ συντριβῆς P εἰς χοῦν add V ‖ δὲ om P ‖* [5] *οἰκ. om X ‖ ἐβόων P: cf 8 ‖ καὶ om VX ‖ φεύγωμεν P ‖* [6] *Ἰ.] χριστὸν add V ‖* [8] *καὶ] καὶ ἀκμὴν V ‖* [8–9] *πρ. τ. παρ. om V ‖* [9] *κύρ.] ἐστιν κύρ. V κύρ. ἐστιν X ‖* [10] *ἢ] εἰ μὴ VX fort recte: cf 14, 20 ‖* [10–11] *δ. τὸ μ. om PX: del? cf 10, 11 ‖* [12] *Ἰ. - οὐρ.] φωτεινοῦ στύλου τοῦ φανέντος εἰς οὐρανοὺς V ‖ ἐν τῷ οὐρανῷ X ‖* [13] *τὸν] καὶ τὸν V ‖ ὦ V ‖* [14] *ἱστήκασιν P ‖* [15] *κράζ.] λέγοντες X ‖ ὦ om VX ‖* [16] *ὁμ. om VX: cf 9, 21 ‖ καὶ αὐτοὶ ἔκρ. VX: cf 9, 22 ‖* [17] *ἡμ.] καὶ ἡμ. V ‖* [18] *ὅτι] καὶ add VX fort recte ‖ ἐλέγαμεν X ‖ τῷ ἀπ. τούτῳ X ‖* [19] *ἱερεῖ VX: cf 15, 16 ‖* [22] *ὑμῖν X ‖ Χρ. om X ‖ ἡμᾶς P ‖* [23] *ἀν.] νῦν add X ‖* [24] *πλεῖον X ‖* [24–12,2] *καὶ φ. - ἐγένετο om V ‖* [26] *ἂν] ἐὰν X ‖ αἰτίσεις U ‖ ποι. σοι] δώσει σοι δι' ἐμοῦ X*

ὄχλος ἔκθαμβος ἦν ἐπὶ τῇ φωνῇ· τὸ γὰρ ἦχος αὐτῆς μεῖζον βροντῆς ἐγένετο. Τότε λέγει ὁ Φίλιππος τῷ ἀρχιερεῖ· Ἐν τῷ ὀνόματι τῆς δυνάμεως τῆς φωνῆς τοῦ κυρίου μου Ἰησοῦ ἀνάβλεψον Ἀνανία. Καὶ εὐθέως ἀνέβλεψεν, καὶ περιβλεψάμενος εἶπεν· Ὦ φησιν τί ἐστιν τὸ τῆς μαγείας τοῦ Ἰησοῦ; ὅτι | 102 T οὗτος ὁ Φίλιππος ἐν ὀλίγῳ με ἐτύφλωσεν, καὶ πάλιν ἐν ὀλίγῳ ἀναβλέψαι με ἐποίησεν. Τί οὖν; ἔφη ὁ Φίλιππος, πιστεύεις εἰς τὸν Ἰησοῦν; Λέγει ὁ ἀρχιερεύς· Μὴ γὰρ δύνασαί με μαγεῦσαι καὶ πεῖσαι; Οἱ δὲ πεντακόσιοι οἱ μετ' αὐτοῦ, ἀκούσαντες ὅτι ὁ ἀρχιερεὺς αὐτῶν ἀναβλέψας ἔτι ἀπιστεῖ, ἔλεγον τοῖς παρεστῶσιν δεηθῆναι τοῦ Φιλίππου ὅπως αὐτοὺς ἀναβλέψαι ποιήσῃ, Ἵνα τὸν ἄπιστον ἀρχιερέα τοῦτον ἀνέλωμεν.

23 (18) Εἶπεν δὲ ὁ Φίλιππος· Μὴ κακοῖς ἀμύνεσθε. Καὶ λέγει τῷ ἀρχιερεῖ· Σημεῖον ἐπὶ σοὶ ἔσται τι μέγα. Λέγει πρὸς τὸν Φίλιππον· Οἶδα ὅτι φαρμακὸς εἶ καὶ τοῦ Ἰησοῦ μαθητής· οὐ μαγεύεις με. Ὁ δὲ ἀπόστολος εἶπεν πρὸς τὸν Ἰησοῦν· Ζαβαρθάν, σαβαθαβάτ, βραμανούχ, ταχὺ ἐλθέ. Καὶ εὐθὺς ἡ γῆ ἐσχίσθη κατὰ τὸ μέρος τοῦ Ἀνανίου καὶ κατέπιεν αὐτὸν μέχρι γονάτων. Καὶ ἔκραξεν Ἀνανίας· Ὦ μεγάλη τῆς ἀληθοῦς μαγγανείας, ὅτι τὴν γῆν ἔσχισεν, ἀπειλήσαντος αὐτὴν ἑβραϊστί τε ἐνορκισαμένου τοῦ Φιλίππου, καὶ συνέχει με μέχρι γονάτων, καὶ ἐκ τῶν πτερνῶν εἰς τὰ κάτω τινὲς ὥσπερ ὄγκινοι καθέλκουσίν με, ἵνα πιστεύσω τῷ Φιλίππῳ.

---

[3] *τ. δυν. τ. φ. om V ‖ μου] ἡμῶν V om X ‖ Ἰ. om Tischendorf χριστοῦ add V ‖ [4] εὐθὺς V ‖ [5] εἶπεν om VX Tischendorf ‖ φησι ὦ V ἔφη ὦ X ‖ τί - τῆς] τῆς τοσαύτης VX ‖ [6] οὕτως X ‖ ἐν ὀλ.] ἐνὶ λόγῳ utroque loco VX fort recte: cf tamen 9, 20 ‖ ἐτ. με VX ‖ [7] ἐπ. με X ‖ [7–9] τί - πεῖσαι om V ‖ [7] Φ.] ἰησοῦς semirasum X ‖ [9] οἱ alt om X ‖ [11] περιεστῶσιν VX ‖ δεήθητε VX ‖ τῶ φιλίππω X ‖ [11–12] α. ἀ. π.] ἡμᾶς ἀ. π. X ἀ. π. καὶ ἡμᾶς V ‖ [12] τοῦτ. ἀρχ. VX ‖ [13] εἰπῶν X ‖ ἀμύνεσθαι VX: cf 33, 31; Th c 167 e ‖ καὶ] εἶτα V om X ‖ [14] σὲ ἔσηται X ‖ τι om X καὶ add V ‖ λέγ.] αὐτὸς add V ‖ [16] οὐ] ἀλλ' οὐ V ‖ [16–17] τὸν Ἰ. - ἐλθέ] ἀνανίαν ἐπειδὴ τοσαῦτα ἤκουσας καὶ οἶδας καὶ ἔτι ἀπιστεῖς ἐν ὀνόματι ἰησοῦ χριστοῦ τοῦ ἀπο σοῦ βλασφημουμένου ἀνοιξάτο ἡ γῆ τὸ ἑαυτῆς στόμα καὶ καταπιέτω σε μέχρι τῶν γονάτων V ‖ [17] σαβαρθάν Tischendorf ‖ σαβαθάβτ P ‖ [18] σχισθῆσα ἡ γῆ V ‖ ἐσείσθη X ‖ [18–19] κατὰ - αὐτὸν] ἐδέξατο αὐτὸν κατὰ τὴν κέλευσιν φιλίππου V ‖ [18] ἀνανία X ‖ [19] αὐτ] ἡ γῆ add X ‖ μέχ.] τῶν add V: cf 22 ‖ γονάτου P: cf 22 ‖ Ἀν.] ὁ ἀν. X ‖ μεγάλης X δύναμις add Tischendorf fort recte ‖ [20] τίς (i e τις) ἀληθῶς μαγεία V non male ‖ τῆς om X ‖ ἡ γῆ VX ‖ ἐσχίσθη V ἑαυτὴν add X ‖ [20–21] ἀπειλ. - Φ. om V ‖ [21] αὐτοῦ X αὐτῇ Tischendorf ‖ τε] καὶ X om P ‖ [22] μέχ.] τῶν add VX: cf 19; 14, 14 ‖ [23] ὡς προς ὀγκίνους P ‖ ὀγκίνοις V*

ἀλλ' οὐ δύναταί με πεῖσαι· ἀπὸ γὰρ τῆς Ἱερουσαλὴμ ἐγὼ ἐπίσταμαι τὰς μαγείας αὐτοῦ.

24 (19) Ὀργισθεὶς δὲ ὁ Φίλιππος εἶπεν· Ὦ γῆ σύσφιγξον αὐτὸν μέχρι τοῦ ὀμφαλοῦ. Καὶ εὐθὺς κατεσύρη. καὶ ἔλεγεν· Ὁ μὲν εἷς μου ποὺς κάτωθεν κρυσταλλοῦται, ὁ δὲ ἕτερος δεινῶς ἐκθερμαίνεται· ἀλλ' ὑπὸ τῆς μαγείας σου Φίλιππε οὐ νικηθήσομαι. πλὴν οὖν ὅτι κακῶς κάτωθεν βασανίζομαι, ὅλως δὲ οὐ πιστεύω. Οἱ δὲ ὄχλοι ἠθέλησαν αὐτὸν λιθάσαι. ὁ δὲ Φίλιππος Μὴ οὕτως φησίν. τοῦτο γὰρ τέως γέγονεν, καταποθῆναι αὐτὸν μέχρι τοῦ ὀμφαλοῦ, ἵνα σωτηρία γένηται τῶν ψυχῶν ὑμῶν, ὅτι παρ' ὀλίγον ἔμελλεν ἕλκειν ὑμᾶς ἐν τοῖς κακοῖς αὐτοῦ λόγοις πρὸς ἀπιστίαν. ἀλλ' εἰ καὶ αὐτὸς μετενόησεν, ἀναγάγω αὐτὸν ἐκ τῆς γῆς πρὸς σωτηρίαν τῆς ψυχῆς αὐτοῦ· ἀλλὰ τάχα οὐκ ἔστιν ἄξιος σωτηρίας. ἐὰν οὖν ἐπιμείνῃ τῇ ἀπιστίᾳ, βλέψετε αὐτὸν | 103 T βυθισθέντα κάτω εἰς τὴν ἄβυσσον· εἰ μὴ κύριος μέλλει τοὺς ἐν τῷ ᾅδῃ ἐγείρειν, ἵνα ὁμολογήσωσιν ὅτι κύριος Ἰησοῦς. ἐν ἐκείνῃ γὰρ τῇ ἡμέρᾳ πᾶσα γλῶσσα ἐξομολογήσεται ὅτι κύριος Ἰησοῦς, καὶ ὅτι μία δόξα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ σὺν ἁγίῳ πνεύματι εἰς τοὺς αἰῶνας.

25 (20) Καὶ εἰπὼν ταῦτα ὁ Φίλιππος διεπέτασεν τὴν δεξιὰν αὐτοῦ χεῖρα σκεπάσας δι' ἀέρος ἐπάνω τῶν πεντακοσίων ἀνδρῶν ἐν τῷ ὀνόματι τοῦ Ἰησοῦ. καὶ ἀνεῴχθησαν αὐτῶν

18 cf Phil 2, 11

---

2 αὐτοῦ] καὶ τοῦ διδασκάλου αὐτοῦ add V ‖ 3 δὲ] τε V ‖ σύσφιξον P ‖ 4 ὀμφ.] ἵνα μὴ βλαφημῇ τὸν υἱὸν τοῦ θεοῦ καὶ ποιητήν σου add V ‖ εὐθέως X ‖ κατεσύρει PV. Tischendorf ὁ ἀνανίας add V ‖ ἔλ.] ἐβόα λέγων V ‖ 5–7 ὁ μὲν - νικ.] οἴμοι οἴμοι δεινῶς οἱ πόδες μου κάτω ὑποκαίονται ὑπο σφοδροῦ πυρὸς φλογιζόμενοι καὶ οὐκ ὑποφέρω τὴν βίαν ἀλλὰ φίλιππε οὐ μή μου νικήσης οὐδ' οὐ μὴ πιστεύσω τῷ ἰησοῦ τῷ ὑπο σοῦ κηρυττομένω V ‖ 5 μὲν om X ‖ 7 οὖν om VX ‖ 8 ὅλ. δὲ οὐ π. om V ‖ ὄχλ.] λαβόντες λίθους add V ‖ 9 φησίν] ἀδελφοί V ‖ γέγ. τέως VX τὸ add V nescio an recte ‖ 10 (γέ)νοιται in ras X ‖ 11 ἡμῶν P ‖ ἤμελλεν X ‖ ἡμᾶς P ‖ 12 ἀλλὰ καὶ α. εἰ μετανοήσειεν V ‖ μετανοεῖ X ‖ 13 ἀνήγαγον X ἂν add V ‖ 14 οὖν sup scr P om X ‖ ἐνμείνη et add αὐτοῦ V ‖ 15 βλέψει V μέλλεται X ‖ ἑαυτὸν V ‖ κάτω om V ‖ 16–20 εἰ - αἰῶνας om V ‖ 16 εἰ μὴ] ἐνῆ X ‖ μέλλη ὁ κύρ. X ‖ τῷ om X ‖ 17 ὁμολογήσουσιν X ‖ Ἰ.] χριστὸς add X ‖ ἐκ.] αὐτῇ X ‖ 19 ἁγ.] τῷ ἁγ. Tischendorf ‖ τοὺς om X ‖ 22 σκ. δ. ἀ. om V ‖ σκ.] κατασείσας X: scr σφραγίσας?? ‖ ἀέρο|||ς X ‖ 23 ἀνδρ.] τὸ σημεῖον τοῦ σταυροῦ ποιήσας βοήσας μεγάλη τῇ φωνῇ add V ‖ τοῦ om VX: del? ‖ Ἰ.] χριστοῦ ἀνοιχθήσονται ὑμῶν οἱ ὀφθαλμοὶ ὅπως ἴδητε τὸν ἀρχιερέα ὑμῶν εἰς ἀπώλειαν χωροῦντα διὰ τὴν ἀπιστίαν αὐτοῦ add V ‖ ἀν.] εὐθέως ἀν. V ‖ 23–14,1 α. οἱ ὀ.] οἱ ὀ. τῶν πεντακοσίων ἀνδρῶν V

οἱ ὀφθαλμοί, καὶ ὕμνησαν τὸν θεὸν πάντες ἐν ἑνὶ στόματι λέγοντες· Εὐλογοῦμέν σε Χριστὲ Ἰησοῦ τὸν θεὸν τοῦ Φιλίππου ὅτι ἐδίωξας ἀφ' ἡμῶν τὴν πήρωσιν καὶ ἔδωκας ἡμῖν τὸ σὸν φῶς τὸ εὐαγγέλιον. Ὁ δὲ Φίλιππος κατ' ὀλίγον ἦν ἀγαλλιώμενος τοῖς ῥήμασιν αὐτῶν, ὅτι οὕτως ἐστηρίζοντο τῇ πίστει. μετὰ δὲ ταῦτα στραφεὶς ὁ Φίλιππος πρὸς τὸν ἀρχιερέα εἶπεν· Ὁμολόγησον καὶ σὺ ἐν καθαρᾷ καρδίᾳ ὅτι κύριος Ἰησοῦς ἐστιν, ἵνα σωθῇς ὡς οὗτοι οἱ μετὰ σοῦ. Ὁ δὲ ἀρχιερεὺς ἦν καταγελῶν τοῦ Φιλίππου καὶ ἐπιμένων τῇ ἀπιστίᾳ.

26 (21) *Ἰδὼν οὖν ὁ Φίλιππος ὅτι ἐπιμένει τῇ ἀπιστίᾳ, βλέψας εἰς αὐτὸν λέγει τῇ γῇ· Ἄνοιξόν σου τὸ στόμα καὶ κατάπιε αὐτὸν μέχρι τοῦ τραχήλου αὐτοῦ ἐνώπιον τῶν πιστευσάντων εἰς τὸν Χριστὸν Ἰησοῦν. Καὶ ἐν αὐτῇ τῇ ὥρᾳ ἀνοίξασα ἡ γῆ τὸ στόμα αὐτῆς ἐδέξατο αὐτὸν ἕως τραχήλου. ὡς δὲ οἱ ὄχλοι ἦσαν ὁμιλοῦντες ἀλλήλοις διὰ τὰ γεγονότα*
27 *θαυμάσια,* 27 (22) *ἦλθέν τις πρῶτος τῆς πόλεως βοῶν καὶ λέγων· Ὦ μακάριε ἀπόστολε, τῷ υἱῷ μου δαίμων τις ἐπέστη, καὶ ἔκραζεν λέγων πρός με· Ἐπειδὴ ἀφῆκας ξένον ἄνθρωπον εἰσελθεῖν εἰς τὴν πόλιν ἡμῶν σὺ ὢν πρῶτος, ὃς κατέλυσεν τὰς λατρείας ἡμῶν καὶ τὰς θυσίας ἡμῶν, τί σοι ποιήσω εἰ μὴ τοῦτον ἀνελῶ τὸν μονογενῆ σου υἱόν; Καὶ μετὰ τὸ εἰπεῖν αὐτὸν ταῦτα ἀπέπνιξεν τὸν υἱόν μου. νῦν οὖν, παρακαλῶ σε ἀπόστολε τοῦ Χριστοῦ, μὴ ἐάσῃς τὴν χαράν μου στραφῆναι εἰς πένθος, ὅτι κἀγὼ ἐπίστευσα τοῖς σοῖς λόγοις.*

28 (23) *Ἀκούσας δὲ ὁ ἀπόστολος ταῦτα εἶπεν· Θαυμάζω*
104 T *τὴν | ἐνέργειαν τῶν δαιμόνων, ὅτι ἐνεργεῖ ἐν παντὶ τόπῳ, τολμᾷ δὲ εἰς οὓς οὐκ ἔχει δύναμιν ἐπιβαίνειν, ὡς νῦν ἐπεί-*

---

[1] *ἐν ἑ. στ. ἅπαντες V* ‖ [2] *εὐλογημένος εἶ V εὐλογητὸς εἶ X* ‖ *ἰησ. χρ. X* ‖ *Ἰ. om V* ‖ *τ. θ. τ.] υἱὲ τοῦ θεοῦ V ὁ θεὸς X* ‖ *Φ. om V* ‖ [3] *ὅτι ἐδ.] ὁ διώξας V* ‖ *ἐκδίωξας P* ‖ *πήρ.] διὰ φιλίππου add V* ‖ *ἔδ. ἡμ.] δείξας ἡμ. V om X* ‖ [4] *σὸν - εὐ.] φῶς τὸ σὸν ἔστη ἐν ἡμῖν καὶ τὸ εὐ. ἐγνωρίσαμεν X* ‖ *τὸ εὐ. om V* ‖ [4–6] *ὁ - στρ.] στρ. δὲ V* ‖ [4] *ἀγαλλώμενος X* ‖ [6] *δὲ om X* ‖ [8] *ὡς] καὶ add VX fort recte* ‖ *σέ V* ‖ [8–9] *ἦν - ἀπ.] ἐβόα λέγων οὐ μή μου πείσεις φίλιππε οὐδ' οὐ μὴ ἀπατήσῃς με ταῖς μαγείαις σου V* ‖ [12] *αὐτοῦ om VX* ‖ *πιστευόντων Vx* ‖ [13] *τὸν om VX* ‖ *del Χρ.?* ‖ [14] *αὐτῆς om VX* ‖ *τρ.] τοῦ τρ. VX: cf 12, 22* ‖ [15] *ὡς om P* ‖ *οἱ δὲ P* ‖ *ἀλλήλους P* ‖ [16] *θαῦματα V* ‖ [17] *τῷ υἱ.] τὸ οὓς X* ‖ [18] *ἔκραξεν VX* ‖ *ἀφ.] ἔασας X* ‖ [19] *ὑμῶν Tischendorf* ‖ *πρ.] ὁ πρ. X* ‖ *ὃς] καὶ V* ‖ [20] *κ. τ. θ. ἡμ. om V* ‖ [20–21] *εἰ μὴ] ἢ X: cf 11, 10* ‖ [21] *τοῦτο X* ‖ [23] *τοῦ om VX: cf 4, 5* ‖ [23–24] *εἰς π. στρ. X* ‖ [24] *κἀγὼ] καὶ X* ‖ *σοῖς om X* ‖ [25] *ταῦτα ὁ ἀπ. VX* ‖ [27] *δὲ] καὶ add V* ‖ *ἔ. δ.] ἐδυνάμην P* ‖ *ὡς] ὃς VX καὶ add V* ‖ *ἐπείρασεν VX*

ρασαν ὑμᾶς θέλοντες σκανδαλίσαι. Καὶ λέγει τῷ ἀνθρώπῳ· Ἔνεγκέ μοι τὸν υἱόν σου, κἀγὼ αὐτὸν δώσω σοι ζῶντα διὰ τὸν Χριστόν μου. Καὶ ἔδραμεν χαίρων τοῦ ἐνέγκαι τὸν υἱὸν αὐτοῦ. καὶ ὡς ἤγγισεν τῇ οἰκίᾳ αὐτοῦ, ἔκραξεν λέγων· Υἱέ μου βλέπεις; ἦλθον ἐπὶ σέ, ἀπενέγκαι σε πρὸς τὸν ἀπόστολον, ὅστις σε ζῶντα παρέξει μοι. Καὶ ἐκέλευσεν τοῖς ἑαυτοῦ δούλοις βαστάξαι τὴν κλίνην· ἦν δὲ ὁ παῖς ἐτῶν κγ'. ὅτε δὲ εἶδεν αὐτὸν ὁ Φίλιππος, συνεχύθη, καὶ στραφεὶς πρὸς τὸν ἀρχιερέα λέγει αὐτόν· Τοῦτο γέγονεν τῇ σῇ ἀφροσύνῃ· ἐὰν οὖν ἀναστήσω αὐτόν, πιστεύσεις λοιπόν; Ὁ δὲ λέγει· Οἶδα τὰς μαγείας ὑμῶν ὅτι ἀναστήσεις αὐτόν· ἐγὼ δὲ οὐ πιστεύσω σοι. Ὀργισθεὶς δὲ ὁ Φίλιππος εἶπεν· Κατάθεμα· ἄπελθε λοιπὸν κάτω ὅλος εἰς τὴν ἄβυσσον ἐνώπιον τούτων ἁπάντων. Καὶ ἐν αὐτῇ τῇ ὥρᾳ κατῆλθεν εἰς τὸν ᾅδην ζῶν· πλὴν τὸ ἀρχιερατικὸν ἔνδυμα ἐξεπετάσθη ἀπ' αὐτοῦ, καὶ διὰ τοῦτο ἀπὸ τῆς ἡμέρας ἐκείνης οὐδεὶς ἔγνω τί ἐγένετο τὸ ἔνδυμα τὸ ἱερατικόν. καὶ ἐπιστραφεὶς ὁ ἀπόστολος ἐπηύξατο τῷ παιδί, καὶ ἀπελάσας ἀπ' αὐτοῦ τὸν δαίμονα ἀνέστησεν αὐτὸν καὶ παρέστησεν αὐτὸν τῷ πατρὶ ζῶντα.

29 (24) Οἱ δὲ ὄχλοι ταῦτα θεασάμενοι ἔκραξαν· Εἷς θεὸς ὁ Φιλίππου ὁ ἐλέγξας τὴν ἀπιστίαν τοῦ ἀρχιερέως καὶ τὸν δαίμονα τοῦ νεανίσκου ἀπελάσας καὶ ἀναστήσας αὐτὸν ἐκ νεκρῶν. Οἱ δὲ πεντακόσιοι ἰδόντες τὸν ἀρχιερέα βυθισθέντα εἰς τὴν ἄβυσσον καὶ τὰ ἄλλα θαυμάσια ἐδεήθησαν τοῦ Φιλίππου, καὶ ἔδωκεν αὐτοῖς τὴν ἐν Χριστῷ σφραγῖδα. Ἐπέμεινεν δὲ ὁ Φίλιππος εἰς τὰς Ἀθήνας ἔτη δύο, καὶ κατασκευάσας ἐκκλησίαν κατέστησεν ἐπίσκοπον καὶ πρεσβύτερον,

---

[1] ἡμᾶς *P* ‖ θέλων *VX* ‖ σκανδ.] πολλοὺς *add V* ‖ [2] μοι *om V* ‖ σου] ὧδε *add V* ‖ σοι *om P* ‖ [3] τοῦ χριστοῦ *VX* ‖ τοῦ *om X* ‖ [4] τῇ] ἐν τῇ *V* ‖ [5] βλέπ. *del Tischendorf* ‖ [6] ὅστις] ὥστε *P* ‖ παρέξεται *VX* ‖ [7] βαστάσαι *X* ‖ εἴκοσι καὶ τριῶν *V* ‖ [8] συνεχ.] τοῖς δάκρυσι *add V* ‖ πρὸς] εἰς *V* ‖ [9] αὐτῷ (*X*) *Tischendorf: recte? an* <πρὸς> αὐτὸν? *cf 8, 2; 22, 1 al* ‖ τῇ σῇ ἀ.] τις ἀφορμή *P: cf praef* ‖ [10] αὐτόν] ἐν ὀνόματι ἰησοῦ χριστοῦ *add V* ‖ πιστεύσῃς *P* πιστεύεις *VX fort recte: cf 11* ‖ [11] πιστεύω *VX: cf 10* ‖ [12] εἶπεν] λέγει αὐτῷ *X* ‖ κατ.] σοι *add VX* ‖ [13] ὅλως *V* ‖ πάντων *VX* ‖ [14] ζῶντα *P* ‖ [15] διεπετάσθη *X* ‖ αὐτοῦ] *fort intercid aliquid: cf H* ‖ διὰ τοῦτο *om V* ‖ [16] τὸ ἀρχιερατικὸν ἔνδ. (*om alt* τὸ) *X* ‖ ἀρχιερατικὸν *V: cf 11, 19* ‖ [17] τὸ παιδίον *P: cf 7* ‖ [18] παρέδωκεν *VX* ‖ [19] αὐτὸν *om VX* ‖ [20] θεασ. τ. *X* ‖ [21] ὁ *prius om VX* ‖ [23] πεντ.] ἄνδρες *add V* ‖ [24] Φ.] ἀποστόλου *VX* ‖ [25] αὐτ.] καὶ αὐτ. *V* ‖ ἐπέμενεν *P* ‖ [26] δύο] β' *V* ‖ [26–27] κατασκ. ἐκκλ. καὶ *X* ‖ [27] ἐπισκοπεῖον καὶ πρεσβυτέριον *V*

καὶ οὕτως ἀπῆλθεν κατὰ τὴν Παρθίαν εὐαγγελιζόμενος τον Χριστόν. |

209 B *Πρᾶξις τρίτη πραχθεῖσα κατὰ τὴν Παρθίαν ὑπο Φιλίππου τοῦ ἀποστόλου.*

30 (1) Ἡνίκα δὲ Φίλιππος ὁ τοῦ Χριστοῦ ἀπόστολος κατῆλθεν εἰς τὴν ἀρχὴν τῆς Παρθίας, καὶ ἰδοὺ εὗρεν ἔν τινι πόλει τὸν τοῦ Χριστοῦ ἀπόστολον Πέτρον μετὰ καὶ ἑτέρων τῶν σὺν αὐτῷ μαθητῶν καὶ γυναικῶν τινων αἵτινες ἐμιμήσαντο τὴν πίστιν τὴν ἀρρενικήν. καὶ εἶπεν Φίλιππος τῷ Πέτρῳ καὶ τοῖς σὺν αὐτῷ· Δέομαι ὑμῶν τῶν εἰληφότων τὸν στέφανον τοῦ Χριστοῦ ἐν τῇ ἀποστολικῇ τάξει, ἐνδυναμώσατε κἀμέ, ἵνα ἀπελθὼν εὐαγγελίσωμαι καὶ συναριθμηθῶ ἐν τῇ δόξῃ ὑμῶν ἐν τοῖς οὐρανοῖς. ὑμεῖς ἐφανερώσατε τὴν ἑαυτῶν σπουδὴν κατὰ τὴν δύναμιν ὑμῶν· εὔξασθε οὖν καὶ νῦν ὑπὲρ ἐμοῦ, ἵνα ἀπελθὼν εὐαγγελίσωμαι, ὅπως συναριθμηθῶ ἐν τοῖς τετελεκόσι τὴν ἑαυτῶν δύναμιν.

31 (2) Ταῦτα δὲ τοῦ Φιλίππου εἰπόντος ἔκλιναν τὰ γόνατα ὑπὲρ αὐτοῦ πρὸς τὸν κύριον, ὥστε χαρῆναι πάντας ἐπ' αὐτῷ, ὅτι οὕτως ἐζήτησεν ὁ Φίλιππος τελειῶσαι τὴν ἀποστολὴν αὐτοῦ καὶ τὴν διακονίαν.

32 (3) Ἦν δὲ ἐκεῖ καὶ ὁ μακάριος Ἰωάννης, καὶ λέγει τῷ Φιλίππῳ· Ἀδελφέ μου καὶ συναπόστολε, εἰ καὶ μακρὰν ἔχεις
210 B τὴν ἀποδημίαν, | γνώριζε ὅτι καὶ ὁ ἀδελφὸς Ἀνδρέας ἐπορεύθη εἰς τὴν Ἀχαίαν καὶ ὅλην τὴν Θρᾴκην, καὶ ὁ Θωμᾶς εἰς τὴν Ἰνδικὴν καὶ εἰς τοὺς σαρκοφάγους παλαμναίους, καὶ ὁ Ματθαῖος εἰς τοὺς τρωγλοδύτας καὶ ἀνηλεεῖς· ἡ γὰρ φύσις αὐτῶν ἐστιν ἠγριωμένη· καὶ ὁ κύριός ἐστι μετ' αὐτῶν. καὶ σὺ οὖν Φίλιππε μὴ ῥαθυμήσῃς· Ἰησοῦς γὰρ μετὰ σοῦ ἐστιν. Καὶ ἐπευξάμενοι αὐτὸν καὶ ἀσπασάμενοι ἀπέλυσαν εἰς τὸ κήρυγμα.

33 (4) Ἦλθεν οὖν τότε ὁ Φίλιππος κατὰ θάλασσαν ὅροις τῶν Κανδάκων, καὶ εὗρεν ἐκεῖ πλοῖον μέλλον ἀπαίρειν εἰς Ἄζωτον, καὶ εἶπε τοῖς ναύταις· Δέξασθέ με ὦ ναυτικοὶ καὶ ἀπαγάγετε εἰς Ἄζωτον. Καὶ συνέθετο δοῦναι αὐτοῖς τέσσαρας

---

[1] *κατήλθεν V* ‖ [2] *Χρ] κύριον ἡμῶν ἰησοῦν χριστόν V ᾧ (αὐτῷ X) ἡ δόξα εἰς τοὺς αἰῶνας (τῶν αἰώνων add X) ἀμήν add et desinunt PX*

V [17] *γόνατα] εὐχόμενοι add Batiffol* ‖ [31] *ὅρ.] ἐν ὅρ. Batiffol ἐν ὁρίοις Lipsius suspicatur Jahrb f prot Theol XVII (1891) p 470: cf H*

στατῆρας τὸ ναῦλον, καὶ ἀνέβη μετ' αὐτῶν. ἐμείναμεν δὲ πλέοντες ἄχρι σταδίων τετρακοσίων, καὶ ἐπεισῆλθεν ἄνεμος ἰσχυρός, ὥστε καὶ τὸ πλοῖον κινδυνεύειν· οἱ δὲ ναῦται εἰς πολλὴν ἀδημονίαν ἦλθον μὴ εἰδότες τί πράξουσι, καὶ ἤρξαντο ἐκβολὴν τῶν σκευῶν ποιεῖν, καὶ ἀλλήλοις ασπαζόμενοι ἀπεδύροντο.

34 (5) *Ἰδὼν οὖν ὁ ἀπόστολος τοῦ Χριστοῦ τὴν θλῖψιν αὐτῶν, ἀναστὰς ἀπὸ τοῦ τόπου οὗ ἦν ἡσυχάζων, εἶπεν· Μὴ φοβεῖσθε ὦ ἄνδρες· ἀπυβολὴ γὰρ ἐξ ἡμῶν οὐδεμία ἔσται, ἀλλ' οὐδὲ τοῦ πλοίου· Καὶ ἀπελθὼν ἔστη ἐπὶ τὰ πρῷρα, καὶ ἐβόησεν εἰς ἐπήκοον πάντων· Θάλασσα, θάλασσα, κελεύει σοι Ἰησοῦς ὁ Χριστὸς δι' ἐμοῦ τοῦ δούλου αὐτοῦ, ὁ ἐπὶ τῶν | σῶν* 211 B
ὑδάτων περιπατήσας, καταστεῖλαί σου τὸν θυμὸν τῆς ἀτάκτου φορᾶς. Καὶ εὐθέως σὺν τῷ λόγῳ Φιλίππου ἐν πολλῇ γαλήνῃ ἐγένοντο αὐτῆς τὰ κύματα. ἰδόντες δὲ οἱ ναῦται τὸ γεγονὸς ἔπεσον εἰς τοὺς πόδας αὐτοῦ λέγοντες· Εὐχαριστοῦμέν σοι δοῦλε θεοῦ· διὰ σοῦ γὰρ ἡμῖν ἡ ζωὴ κεχάρισται· εἰπὲ οὖν ἡμῖν τί ἡμᾶς ποιῆσαι δεῖ ἵνα γενώμεθα δοῦλοι τοῦ Ἰησοῦ τοῦ ὑπὸ σοῦ κηρυττομένου.

35 (6) *Ὁ δὲ ἀπόστολος ἤρξατο αὐτοὺς ἀπὸ τῶν γραφῶν διδάσκειν τὰ περὶ τοῦ υἱοῦ τοῦ θεοῦ καὶ λέγειν· Ἐὰν δέξησθε τὸν δυνάμενον σῴζειν τὸ ἀσθενές, σωθήσεσθε, καὶ ἐὰν δέξησθε τὸν ἐν οὐρανοῖς πλούσιον, πλουτίσει ἡμᾶς· καταλείψατε οὖν τὸ ἀηδὲς τοῦ κόσμου τούτου, καὶ τὴν μέριμναν τῆς ζωῆς ἐπιρρίψατε εἰς τὸν ἐν οὐρανοῖς εὐεργέτην, ἵνα αἰωνίας τρυφῆς ἀπολαύσητε.*

36 (7) *Οἱ δὲ πάλιν ἀπεκρίνοντο ὁμοθυμαδὸν λέγοντες· Πάντα ὅσα ἂν εἴπῃς ἡμῖν ποιοῦμεν, καὶ πιστεύομεν εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν. Τότε λαβόμενος ὁ Φίλιππος ἅπαντας καὶ ἐξελθὼν ἐπὶ τῆς ξηρᾶς ἐβάπτισεν αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος· καὶ ἐμεγαλύνοντο τῇ πίστει. |*

---

[1] *ἔμειναν Batiffol: cf 26, 6* ‖ [5] *ἀλλήλους (cf H) et ἀπωδύροντο Batiffol fort recte* ‖ [10] *τῇ πρώρᾳ Batiffol fort recte (uel τῆς πρῴρας?)* ‖ [12] *Ἰησοῦς om Batiffol: cf H* | [23] *πλουτίσῃ V* ‖ *ὑμᾶς Batiffol recte* ‖ [26] *ἀπολαύσησθε Batiffol* ‖ [27] *scr ἀπεκρίναντο??* ‖ [29] *ἡμῶν seclusit Batiffol* ‖ *scr προσλαβόμενος? cf H*

212 B *Πρᾶξις δ' περὶ τῆς θυγατρὸς Νικοκλείδους ἧς ἰάσατο ἐν Ἀζώτῳ.*

37 (1) *Ὡς δὲ πολλὴ φήμη περιέδραμεν περὶ τοῦ ἀποστόλου Φιλίππου εἰς τὴν Ἄζωτον ἐπὶ τοῖς δι' αὐτοῦ γινομένοις θαύμασι, πολλοὶ συνέτρεχον πρὸς αὐτόν, καὶ ἦσαν θεραπευόμενοι ἀπὸ τῶν νοσημάτων αὐτῶν. πολλὰ δὲ καὶ δαιμόνια φυγαδευόμενα ἀπὸ τῶν ἀνθρώπων ἐβόων ὥσπερ μαστιζόμενα καὶ ἔλεγον ὅτι Καὶ ὧδε πάρει Φίλιππε, ἐντεῦθεν φυγαδεῦσαι ἡμᾶς; ἴδε, ὁμολογοῦμεν ἡττᾶσθαι διὰ τὸ ὄνομα τοῦ Ἰησοῦ. Ὡς οὖν ἦσαν οἱ ὄχλοι ἀτενίζοντες εἰς αὐτόν, οἳ μὲν ἔλεγον· Ἀληθῶς θεοῦ ἄνθρωπος· Ἄλλοι δὲ ἔλεγον· Τάχα μάγος ἐστί. Τινὲς δὲ καὶ ἐξεμυκτήριζον τοὺς λόγους αὐτοῦ. αἱ δὲ γυναῖκες τῶν πρώτων ἔλεγον· Ἀληθῶς πνεῦμα ἅγιον ἐν αὐτῷ καὶ τὰ λαλούμενα παρ' αὐτοῦ καλά. Ἄλλαι δὲ ἔλεγον ὅτι Μάγος καὶ σκολιὸς ἄνθρωπος οὗτος, ὅτι διαχωρίζει τὰς συμβιώσεις· διδάσκει γὰρ ὅτι ἡ ἁγνεία ὁρᾷ τὸν θεόν, καὶ τὴν τεκνογονίαν ὀδύνην εἶναι λέγει.*

38 (2) *Ὡς οὖν ταῦτα ἔλεγον, κατέλαβεν ἡ ἑσπέρα, καὶ*
213 B *πάντες ἐπορεύοντο | εἰς τοὺς οἴκους αὐτῶν. ὁ οὖν Φίλιππος ἐζήτησεν οἶκον καταπαύσεως, καὶ μικρὸν ἀποστὰς τοῦ τόπου οὗ ἦν ἑστηκὼς ἦλθεν εἰς οἰκητήριον ἐν ᾧ ὑπῆρχον ἀποθῆκαι ὑπομνηματογράφου τινὸς Νικοκλείδους ὀνόματι, φίλου τοῦ βασιλέως, ἐν αἷς καὶ κατέλυον ξένοι πλείονες.*

39 (3) *Ὁ δὲ Φίλιππος εἰσελθὼν ἔστη ἐν μιᾷ γωνίᾳ τοῦ οἴκου εἰς προσευχήν, λέγων μετὰ μικρᾶς φωνῆς· Κύριέ μου Ἰησοῦ Χριστέ, γενηθήτω σου τὸ θέλημα καὶ ἐν τῷ τόπῳ τούτῳ, καὶ δώρησαι πᾶσι τοῖς πιστεύουσι τῷ σῷ ὀνόματι ῥῶσιν ψυχῆς καὶ ἴασιν σώματος· σὺ γὰρ γινώσκεις τὴν ἀσθένειαν τῆς ἀνθρωπίνης φύσεως ὡς ποιήσας αὐτήν.*

40 (4) *Ταῦτα δὲ λέγοντος τοῦ ἀποστόλου καὶ τούτων πλείονα Χαριτίνη ἡ θυγάτηρ τοῦ Νικοκλείδους, ἔχουσαν πληγὴν μεγάλην ἐν τῷ ὀφθαλμῷ αὐτῆς τῷ δεξιῷ, ἀκούουσα τοῦ ἀποστόλου, δι' ὅλης τῆς νυκτὸς ἔκλαιεν· πρωΐας δὲ γενομένης εἰσῆλθε πρὸς τὸν πατέρα αὐτῆς, καί φησι· Κύριέ μου καὶ γλυκύτατε πάτερ ἀτένισόν μοι καὶ πρόσσχες τῇ πληγῇ τοῦ ὀφθαλμοῦ μου πῶς ἐγὼ μυκτηρίζομαι, ὅτι αἱ συνήλικαί μου*

[1] *νικοκλίδους V constanter* ‖ *ἦν Batiffol* ‖ [3] *scr διέδραμεν? cf H et Th c 56 m* ‖ [4] *γενομένοις Batiffol: cf H* ‖ [23] *οἷς Batiffol* ‖ [31] *ἔχουσα Batiffol recte: cf H*

ἐπιγελῶσί μου, καὶ αἰσχύνομαι· καὶ οὐ φέρω τας ἀλγηδόνας. Καὶ λέγει αὐτῇ ὁ πατὴρ αὐτῆς· Ὦ ἀγαπητὴ ψυχή μου, ποῖον λοιπὸν ἰατρῶν εἰσαγάγω σοι; μὴ οὐκ εἰσήγαγον Λεύκιον τὸν τοῦ βασιλέως, καὶ ὅλον τοῦ παλατίου τοὺς ἰατρούς, ἀλλὰ καὶ Ἠλείδην τὸν τῆς βασιλίσσης εὐνοῦχον, καὶ τὴν | Σολγίαν τὴν 214 B πρὸς χεῖρα τῆς βασιλίσσης, ἔχουσαν φάρμακα καὶ πᾶσαν θεραπείαν, καὶ οὐδεὶς ἠδυνήθη ἰάσασθαί σε; Ἡ δὲ εἶπεν· Οἶδα πάτερ, οἶδα ὅτι κέκμηκας σὺν ἐμοί· ὅπερ δὲ νῦν ἀξιῶ ποίησόν μοι. ἰδοὺ ἤκουσα ἐν τῇ νυκτὶ ταύτῃ ἰατροῦ τινος ξένου φωνὴν καὶ κηρύττοντος ξένα φάρμακα ἐν ταῖς ἀποθήκαις ταῖς σαῖς· ἐκεῖνος μόνος δύναταί με ἰάσασθαι. καὶ γὰρ ὡς ἤμην ἀκροωμένη αὐτοῦ ἄνεσιν πολλὴν τῶν πόνων ἐλάμβανον. διὸ παρακαλῶ πάτερ καὶ δέομαι, κάλεσόν μοι ἐκεῖνον· καὶ οἶδα ὅτι ἰαθήσομαι.

41 (5) Ὁ δὲ ταχέως ἐπορεύθη εἰς τὰς ἀποθήκας, καὶ ἐζήτει τὸν ξένον, καὶ εὑρὼν τὸν Φίλιππον καθήμενον εἶπεν· Σὺ εἶ ὁ ξένος ὁ ἐπιδημήσας τῇ πόλει ταύτῃ ἰατρός; Ἀποκριθεὶς δὲ ὁ Φίλιππος εἶπεν· Ἰησοῦς ἐστιν ὁ ἐμὸς ἰατρός, ὁ τῶν κρυπτῶν καὶ φανερῶν θεραπευτής· ἀπέρχομαι οὖν μετὰ σοῦ. Καὶ ἀναστὰς ὁ Φίλιππος εἰσῆλθεν εἰς τὴν οἰκίαν αὐτοῦ, καὶ εὗρεν τὴν θυγατέρα αὐτοῦ κλαίουσαν πικρῶς.

42 (6) Καί φησιν ὁ πατὴρ αὐτῆς· Τί κλαίεις τέκνον; ἰδοὺ ἤγαγον τὸν ἰατρόν. Ἡ δὲ εἶπεν· Καλῶς ὦ πάτερ ὅτι σήμερον ἀνέπαυσας τὴν ψυχήν μου. Ὁ δὲ ἀπόστολος εἶπεν αὐτῇ· Μὴ φοβοῦ κόρη· τὰ φάρμακα τοῦ ἐμοῦ ἰατροῦ ἄρτι ἴασίν σοι παρέξουσιν. Καὶ ὡς ἤκουσεν ἡ κόρη, ἔπεσεν ἐπὶ πρόσωπον, καὶ προσεκύνησεν αὐτῷ λέγουσα· Προσκυνῶ τὸν ἐν σοὶ ἰατρόν. ἰδοὺ ῥαίνω μου τὴν οἰκίαν ὕδατι καθαρῷ εἰς ἐπίβασιν | τοῦ σοῦ ἰατροῦ, καὶ ἐκδυσαμένη μου τὰ βύσσινα ὑπο- 215 B στρώσω αὐτὰ ὑπὸ τοὺς πόδας αὐτοῦ. ἄνθρωπε τοῦ ἀληθινοῦ θεοῦ βοήθησόν μοι· οἶδα γὰρ ὅτι δύνασαι. Καὶ λέγει τῷ πατρὶ αὐτῆς· Εἰσαγάγωμεν αὐτὸν ἐνδοτέρω, ἵνα ἴδῃ ὁ τοῦ θεοῦ ἄνθρωπος τὴν πληγὴν τὴν οὖσαν ἐν ὅλῳ τῷ προσώπῳ μου.

43 (7) Ὁ δὲ Φίλιππος ἰδὼν παρεμυθεῖτο αὐτήν τε καὶ τὸν πατέρα αὐτῆς, διδάσκων αὐτοὺς καὶ παραδιδοὺς τὰ περὶ τοῦ Ἰησοῦ, ὅτι Αὐτός ἐστι μόνος μονογενὴς ὁ τοῦ ἐπουρανίου

---

3 ἰατρὸν *Batiffol fort recte* ‖ 5 ἠλίδην *V* ‖ 10 καὶ *del?* ‖ 37 *del* μόνος??

θεοῦ υἱός, ὅνπερ ἐὰν πιστεύσητε, ὅλους τους αἰῶνας ζήσεσθε. Καὶ λέγει Χαριτίνη τῷ ἀποστόλῳ· Παρακαλῶ οὖν σε δοῦλε τοῦ θεοῦ, θεράπευσόν μου τὴν ὀδύνην, καὶ τελεία ἔσομαί σοι δούλη. Λέγει αὐτῇ ὁ Φίλιππος· Ἀνάστα καὶ ἔνεγκαι τὴν δεξιάν σου χεῖρα διὰ τοῦ προσώπου σου λέγουσα· Ἐν ὀνόματι Ἰησοῦ Χριστοῦ ἰαθήτω ἡ πληγὴ τοῦ ὀφθαλμοῦ μου. Ἐποίησεν δὲ καθὼς εἶπεν αὐτῇ, καὶ παραχρῆμα ἰάθη ἐν αὐτῇ τῇ ὥρᾳ.

44 (8) *Ἐπίστευσεν δὲ καὶ ὁ πατὴρ αὐτῆς καὶ ἡ θυγάτηρ αὐτοῦ, καὶ κατηξιώθησαν τῆς ἐν Χριστῷ σφραγῖδος. ἐγένετο δὲ χαρὰ μεγάλη ἐν τῷ οἴκῳ αὐτῶν· καὶ πολλοὶ δοῦλοι πολλαί τε παιδίσκαι καὶ παῖδες καὶ νήπια ἐπίστευσαν εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν. ἡ δὲ Χαριτίνη σχῆμα καὶ ἔνδυμα ποιήσασα ἀρρενικὸν ἠκολούθει τῷ Φιλίππῳ ἐν πίστει Χριστοῦ δοξάζουσα τὸν θεόν.* |

216 B *Πρᾶξις ε΄ γεναμένη ἐν πόλει Νικάτηρα καὶ περὶ τοῦ Ἱερέως.*

45 (1) *Φίλιππος δὲ ὁ τοῦ Χριστοῦ ἀπόστολος πρὸ ὀφθαλμῶν θέμενος ἀνελθεῖν καὶ εἰς Νικάτηρα πόλιν οὕτω λεγομένην τῆς Ἑλλάδος, ἠκολούθησαν αὐτῷ πολλοὶ μαθηταί, καὶ ἦσαν ἀγαλλιώμενοι. βαδίζοντες οὖν σὺν αὐτῷ ἐθεώρουν τὴν χάριν τῆς ἀποκαλύψεως τοῦ Χριστοῦ· ἐν οἷς ἦν ὁ Φίλιππος ἡμέρας καὶ νυκτὸς μὴ διαλιμπάνων ὁμιλῶν μετ' αὐτῶν καὶ διδάσκων αὐτοὺς τὰ μεγαλεῖα τοῦ Χριστοῦ καὶ τὴν σωτηρίαν καὶ τὴν πραότητα καὶ τὴν ἐλπίδα τῆς αἰωνίου ζωῆς.*

46 (2) *Καὶ ἐν τῷ τὸν Φίλιππον ἀνιέναι ἐν τῇ πόλει σὺν τοῖς μετ' αὐτοῦ, ἐκινήθη ἡ πόλις ὅλη, ὅτι ἦλθεν Φίλιππος ὁ μαθητὴς τοῦ Ἰησοῦ, καὶ ἐταράχθησαν λέγοντες· Τί ποιοῦμεν περὶ αὐτοῦ; ὅτι ἐὰν συγχωρήσωμεν αὐτῷ πᾶσα ἡ πόλις αὐτῷ ἀκολουθήσει· καὶ οὐ μικρὸν πρᾶγμα ἐὰν οὗτος ὧδε οἰκήσῃ, ὅτι ἠκούσαμεν αὐτὸν πολλὰ πεποιηκέναι σημεῖα εἰς τὰς ἄλλας πόλεις, καὶ οὐδεὶς ἠδυνήθη κακῶσαι αὐτόν. ἡ δὲ διδασκαλία αὐτοῦ ἐστι διαχωρίζουσα ἄνδρας καὶ γυναῖκας, λέγων ὅτι Ἡ*

---

[4] *ἔνεγκε Batiffol fort recte* ‖ [7] *ἐν] cf H et 9, 20* ‖ [9] *αὐτῆς seclusit Batiffol fort recte: an del κ. ἡ θ. α.?* ‖ [16] *νικατήρα V (cf 18) Νικατήρας Batiffol: cf Lipsius Jahrb f prot Theol XVII (1891) p 459* ‖ *ἱερέος V Ἱερέον Batiffol (cf Lipsius l s): scr Ἰρέον (cf 21, 7; 23, 30; 26, 16 al et 22, 1) nisi forte Ἴραιος nomen fuit aut Ἥρωος* ‖ [18] *Νικατήρας Batiffol: cf 16* ‖ [32] *λέγων seclusit Batiffol*

ἁγνείᾳ φησὶν ὁμιλεῖ τῷ θεῷ. Καὶ διδάσκει πιστεύειν εἰς ὄνομά τινος Ἰησοῦ. | [217 B] νῦν οὖν, ἐπειδὴ οὔπω εὗρεν ἐν τῇ πόλει ἡμῶν οἴκησιν, ἐκβάλλωμεν αὐτὸν πρὶν κηρύξει, καὶ τὰς γυναῖκας ἡμῶν ὑπ' αὐτοῦ ἀπατηθῆναι.

47 (3) *Ἦσαν δὲ καὶ Ἰουδαῖοι λέγοντες σκληρὰ ῥήματα κατὰ Φιλίππου, ὅτι ἦν παραλύων τὰς παραδόσεις αὐτῶν. ἀποκριθεὶς δὲ εἷς ἐξ αὐτῶν ἄρχων ὀνόματι Ἴρεος ἔφη· Ἀκούσατέ μού φησιν ὦ ἄνδρες φίλοι καὶ συμπολῖται· μὴ ἐπαναστῶμεν ἀνδρὶ ξένῳ ἐπ' ἀδικίᾳ καὶ βίᾳ· ἀλλὰ ἀκούσωμεν καὶ δοκιμάσωμεν τὴν διδασκαλίαν αὐτοῦ, καὶ τότε τελέσωμεν τὰ λαλούμενα.*

48 (4) *Ἦν δὲ ὁ Ἴρεος πλούσιος ἐν αὐτοῖς· ἠρέμα δὲ βουλόμενος διασκορπίσαι τὴν βουλὴν αὐτῶν ταῦτα ἔλεγεν· ἦν γὰρ συνετὸς καὶ ἀγαθὸς καὶ μισῶν ἄδικα· διὸ οὐδεὶς ἐτόλμησεν ἀντειπεῖν αὐτῷ. ἀναχωρήσας δὲ ὁ Ἴρεος, ἀπὸ τῆς συστροφῆς αὐτῶν ἀπῆλθεν πρὸς τὸν Φίλιππον, καὶ δέδωκεν αὐτὸν τὸ χαῖρε πρῶτος. καὶ ὁ Φίλιππος εἶπεν αὐτῷ· Κεχαριτωμένος σὺ ἐν εἰρήνῃ Χριστοῦ, ὅτι οὐκ ἔστι δόλος ἐν τῇ ψυχῇ σου. Καὶ εἶπεν ὁ Ἴρεος· Ἀκολουθήσω σοι, καὶ τί ἄρα ἔσται μοι; Καὶ ὁ Φίλιππος· Ὅτι ὅλως ἔθου ἐν τῇ καρδίᾳ σου ζητῆσαι τὴν ὄντως ζωήν, λέγω σοι· σωθήσῃ σὺ καὶ ἡ οἰκία σου καὶ πάντες οἱ σὺν σοί· καὶ καθὼς ἠγωνίσω σὺ ὑπὲρ ἐμοῦ ἐν τῷ ὄχλῳ, ὁ κύριος Ἰησοῦς δώσει σοι ἀνάπαυσιν ἐν τῇ ἐσχάτῃ σου πνοῇ. |*

49 (5) [218 B] *Λέγει ὁ Ἴρεος· Πῶς οἶδας ὅτι ὑπὲρ σοῦ ἠγωνισάμην; Καὶ λέγει ὁ Φίλιππος· Οἶδα τέκνον, οἶδα τὰ παρ' ἑκάστου εἰρημένα. Λέγει ὁ Ἴρεος· Γίνωσκε ἄνθρωπε τοῦ θεοῦ ὅτι ἦλθον εἰς συνάντησίν σου οὐκ ἔχων δόλον· μὴ οὖν ἀμελήσῃς μου, ὅτι ἡτοίμακα τὴν ψυχήν μου εἰς σωτηρίαν. Καὶ ο Φίλιππός φησι· Ὁ κύριος τελειώσει τὴν ἐπιθυμίαν σου· μόνον μὴ διστάσῃς πρὸς τὸν καταρτισμὸν οὗ ἕνεκεν πρὸς ἡμᾶς παρεγένου. Λέγει ὁ Ἴρεος· Ἐγὼ οὐκ ἐπιστρέφομαι πρὸς τὰ ὀπίσω ἐν ᾧ τὴν ἐλπίδα ἔχω. Λέγει ὁ Φίλιππος· Θέλημά ἐστι τοῦ θεοῦ δι' ὃν καὶ ἦλθον ἵνα μὴ ἐκπέσωσιν οἱ πιστεύσαντες, ἀλλὰ ζήσωσιν ἐν τῷ Χριστῷ, καὶ λάβωσι τὰς ἐπαγγελίας τὰς ὑπ' αὐτοῦ τεταγμένας εἰς σωτηρίαν.*

---

[3] *scr ἐκβάλωμεν?* ‖ *κηρύξῃ Batiffol: scr κηρύξαι?? cf 4* ‖ [7] *Ἴρεως V* ‖ [10] *scr τελέσομεν??* ‖ [12] *Ἵρεος V* ‖ [17] *αὐτὸν] αὐτῷ Batiffol* ‖ *καὶ χαριτωμένος V καὶ χαριτούμενος Batiffol* ‖ [29] *ἡτοίμασα Batiffol* ‖ [32] *post ὀπίσω lacunam significat Batiffol recte ut uidetur*

50 (6) *Λέγει οὖν ὁ Ἱρεὺς πρὸς τὸν Φίλιππον· Δοῦλε τοῦ θεοῦ, εἰ εὗρον χάριν ἐνώπιόν σου, εἴσελθε εἰς τὴν οἰκίαν μου, εἰ ἄξιός εἰμι, κἀγὼ ποιήσω αὐτὴν συναγωγὴν χριστιανῶν. Εἶπεν δὲ ὁ Φίλιππος αὐτῷ· Ἄπελθε πρῶτον εἰς τὴν οἰκίαν σου, καὶ καθάρισον αὐτήν. Ὁ δὲ Καὶ πῶς φησι κύριε καθαρίσω αὐτήν; Λέγει ὁ Φίλιππος· Μηδεμίαν ἀδικίαν ἐάσῃς, καὶ τῇ γυναικί σου ἀπόταξαι. Ἀκούσας δὲ ὁ Ἴρεος ἔδραμεν, καὶ ἦν θαυμάζων ὁ Φίλιππος. καὶ ὁ Ἴρεος ἔλεγεν πρὸς ἑαυτὸν ἐν τῇ καρδίᾳ αὐτοῦ· Γένοιτό μοι Ἰησοῦ κύριε καὶ ἕως θανάτου ὑπὲρ τοῦ σοῦ ἀποστόλου ἀγωνίσασθαι.* |

219 B 51 (7) *Ὡς δὲ εἰσῆλθεν εἰς τὴν ἑαυτοῦ οἰκίαν, λέγει αὐτῷ ἡ γυνὴ αὐτοῦ· Ἤκουσα ἄνερ καλὲ ὅτι ἐσκόρπισας τὴν βουλὴν τῶν ἱερέων καὶ Ἰουδαίων περί τινος ξένου μάγου ὀνόματι Φιλίππου. Ὁ δὲ εἶπεν αὐτῇ· Εἴθε γύναι ἄξιοι ὑπήρχομεν τοῦ ποιῆσαι τὴν οἰκίαν ἡμῶν τοῦ θεοῦ αὐτοῦ κατοικητήριον. Λέγει αὐτῷ· Οὐ θέλω αὐτὸν εἰσελθεῖν εἰς τὴν οἰκίαν μου, ὅτι ὡς ἔμαθον χωρίζει ἄνδρας καὶ γυναῖκας· ἀπελεύσομαι δὲ εἰς τὴν οἰκίαν τῶν γονέων μου, καὶ οὐκ ἀφήσω τὴν προῖκά μου εἰς τὴν οἰκίαν σου. ἀποσπάσω δὲ καὶ τοὺς δούλους μου οὓς προήγαγόν σοι, καὶ τὰς ἅβρας μου, σὺν πᾶσι τοῖς τέκνοις αὐτῶν. ἰδοὺ χρόνους εἴκοσι τέσσαρας συνέζησά σοι καὶ οὐκ ἀντεῖπόν σοι μικρὸν ἢ μέγα ῥῆμα. τί δὲ καὶ τὰ τέκνα σου ποιήσεις ἐὰν εἰσάγῃς τὸν μάγον ἐκεῖνον ὧδε; πάντως γὰρ καὶ θόρυβος πολὺς ἔσται τῆς πόλεως ἐν τῇ οἰκίᾳ σου.*

52 (8) *Λέγει αὐτῇ ὁ Ἴρεος ἐν πραότητι· Τί λυπῆσαι; μακροθύμησον μᾶλλον. πιστεύω γὰρ ὅτι καὶ σὺ αὐτὴ πιστεύσεις τῷ διὰ τοῦ ξένου κηρυττομένῳ θεῷ, ὅτι αὐτὸς κρείττων ἡμῖν ἐστιν ὑπὲρ τὸν μάταιον ἡμῖν πλοῦτον. Λέγει αὐτῷ ἡ γυνὴ αὐτοῦ· Ἀνάστηθι, φάγε καὶ πίε, καὶ γενοῦ εὐφραινόμενος· ἐμὲ γὰρ οὐ δύνασαι ἀπατῆσαι. Λέγει αὐτῇ· Καὶ ποῖον δίκαιον φαγεῖν με ἢ πιεῖν τοῦ ἀνθρώπου τοῦ θεοῦ πεινῶντος ἐν τῇ ἡμετέρᾳ πόλει; ὅνπερ ἐὰν ἴδῃς, πιστεύεις ὅτι ἅγιός ἐστι. κατάστειλον οὖν σεαυτὴν ἐκ τῆς ματαίας ἀπο-*
220 B *νοίας καὶ ἀπιστίας σου, ἵνα κἀγὼ* | *ἀπαγγείλω σοι μέρος τι τῆς ἐν αὐτῷ ἐπιστήμης. γνῶθι οὖν ὦ γύναι ὅτι ἄνθρωπος*

---

[1] *scr Ἴρεος? cf 20, 16* ‖ [12] *scr διεσκόρπισας?* ‖ [13] *ἱερέων corrupt uid: scr Νικατηραίων?? cf 20, 26; 21, 5* ‖ [20] *scr προσήγαγόν?* ‖ *αὔρας V: corr Batiffol* ‖ [23] *εἰσάγεις V: scr εἰσαγάγῃς?* ‖ [25] *scr λυπεῖσαι? λυπῇ Batiffol* ‖ [28] *scr ἡμῶν πλ..?*

θεοῦ ἐστι, καὶ ὅτι χάρις πολλὴ ἐν προσώπῳ αὐτοῦ, πρᾳότης δὲ καὶ ἁπλότης ἐν αὐτῷ.

53 (9) Λέγει αὐτῷ ἡ γυνή· Ἄρα ὁ θεὸς αὐτοῦ ὡς οἱ θεοὶ τῆς πόλεως ἡμῶν εἰσι, χρυσοῖ καὶ ἠσφαλισμένοι ἐν τῷ ναῷ; Ὁ δέ φησι· Οὐχ οὕτως· ὁ γὰρ θεὸς αὐτοῦ θεός ἐστι ζῶν ἐν οὐρανοῖς, δυνατός, ὑπερηφάνοις θραύων· οἱ δὲ θεοὶ τῆς πόλεως ἡμῶν τέχνη ἀσεβῶν μελετήματα. Λέγει αὐτῷ ἡ γυνὴ αὐτοῦ· Καὶ ἄγαγε αὐτόν, ἵνα ἴδω κἀγὼ τὸν ἐν αὐτῷ θεόν.

54 (10) Καὶ ἐξῆλθεν ὁ Ἴρεος τῆς οἰκίας συναντῆσαι τῷ Φιλίππῳ, καὶ λέγει αὐτῷ· Δέομαι, ἀνάστα καὶ εἴσελθε εἰς τὴν οἰκίαν μου, καὶ ἀνάπαυσον σεαυτὸν ἐν εἰρήνῃ. Προφθάσας δὲ ὁ Φίλιππος ἀνήγγειλεν αὐτῷ πάντα ὅσα ἐστασίασεν αὐτῷ ἡ γυνὴ αὐτοῦ· ὁ δὲ Ἴρεος ἐξεπλάγη πῶς πάντα ἔγνω. καὶ λέγει ὁ Φίλιππος· Γίνωσκε τέκνον ὅτι, εἰ καὶ ἐλάχιστός εἰμι καὶ ταπεινός, ἀγῶνα ἔχω ὅπως τελειώσω τὴν ἐμπιστευθεῖσάν μοι οἰκονομίαν. εἰ δὲ θέλεις, ἀναγγέλλω σοι καὶ τὰ λαληθέντα ῥήματα πάντα ἐν τῇ οἰκίᾳ σου. Ὁ δὲ Ἴρεος παρεκάλεσεν αὐτὸν σιωπῆσαι τὸν ἔλεγχον τῆς γυναικὸς αὐτοῦ.

55 (11) Οἱ δὲ συνόντες τῷ Φιλίππῳ λέγουσιν αὐτῷ· Ἀπόστολε Χριστοῦ, ἕως πότε ἐσόμεθα ὡς αἰχμάλωτοι ἐνταῦθα; ἐπεὶ οὖν ἡτοίμασεν ἡμῖν | Ἰησοῦς Χριστὸς τὸν ἄνδρα 221 B
τοῦτον, ἀπέλθωμεν μετ' αὐτοῦ ἐν εἰρήνῃ. Ὁ δὲ Ἴρεος ἠγαλλιάσατο ὅτε ἤκουσεν ταῦτα παρὰ τῶν μαθητῶν αὐτοῦ, καὶ πεσὼν ἐπὶ πρόσωπον παρεκάλει τῷ Φιλίππῳ καταλῦσαι ἐν τῇ οἰκίᾳ αὐτοῦ. καὶ ἀναστὰς ἠκολούθησεν αὐτόν, ὁ δὲ Ἴρεος ἐβάδιζεν ἔμπροσθεν χαίρων.

56 (12) Ἰδόντες δὲ τοῦτο οἱ ἄρχοντες καὶ τὸ πλῆθος ἐταράχθησαν ἅπαντες, καὶ ἔλεγον· Ἴδε πῶς ὁ μάγος ἀκολουθεῖ τῷ Ἰρέῳ· ἀλλὰ μὴ συγχωρήσωμεν. Καὶ ὡς ἔφθασεν ὁ Ἴρεος πρὸς τὸν πυλῶνα τῆς οἰκίας ἐβόησεν· Ἀνοίξατε τῷ ἀνθρώπῳ τοῦ θεοῦ. Καὶ ὁ θυρωρὸς ταχέως ἤνοιξεν, καὶ εἰσελθὼν ὁ Φίλιππος σὺν τοῖς μαθηταῖς αὐτοῦ εἶπεν· Εἰρήνη τῷ οἴκῳ τούτῳ. Ἔδραμεν δὲ ὁ Ἴρεος ὅπου ἡ γυνὴ αὐτοῦ ἦν ἐν τῷ κοιτῶνι αὐτῆς, καὶ εἶπεν αὐτῇ· Ἀνάστα, ἴδε τὴν χαρὰν ἡμῶν τὴν εἰσελθοῦσαν ἐν τῇ οἰκίᾳ ἡμῶν σήμερον· ἔκδυσαι δὲ ταῦτα τὰ ἱμάτια τὰ διάχρυσα, καὶ βάλε τὰ κοσμοῦντά σε

---

4 εἰσι seclusit Batiffol ‖ 6 ὑπερηφάνους Batiffol recte ‖ 7 scr τέχνης? ‖ μελετημάτων Batiffol ‖ 17 ἀναγγελῶ Batiffol: cf 37, 8 ‖ 26 αὐτόν] scr αὐτῷ? ‖ 37 scr λάβε? cf An 59, 16 et Classical Review VIII (1894) p 339

εἰς ἀφθαρσίαν. Ἡ δὲ μετὰ θυμοῦ εἶπεν αὐτῷ· Ἀπόστα ἀπ' ἐμοῦ· οὐδὲ γὰρ οἱ ἐκ τῆς οἰκίας μου εἶδόν ποτε τὸ πρόσωπόν μου ἁπλῶς· καὶ πῶς ξένῳ ἀνθρώπῳ ὀφθήσομαι;

57 (13) Καὶ ὡς οὐκ ἐβούλετο ἐξελθεῖν, ἐκέλευσεν ὁ Ἴρεος τοῖς ἑαυτοῦ δούλοις βαστάσαι καθέδρας ποικίλας καὶ κεκοσμημένας ἐκ χρυσοῦ, καὶ θεῖναι πρὸ τοῦ πυλῶνος, ὅπως ὁ Φίλιππος καθίσῃ καὶ οἱ σὺν αὐτῷ. ὡς δὲ | [222 B] εἶδεν ὁ Φίλιππος, εἶπεν τοῖς οἰκέταις· Ἄρατε αὐτάς, οὐ γὰρ ἐπ' αὐταῖς καθίσομεν. Καὶ ὁ Ἴρεος Μή μέ φησι διδάσκαλε λύπει. Καὶ ὁ Φίλιππος Ἐγώ φησιν οὐ λυπῶ οὐδένα, ἀλλὰ πάντας ἀναπαύω· περὶ χρυσοῦ δὲ καὶ ἀργύρου ὅλως οὐκ ἔστι μοι χρεία, ὅτι ταῦτα μάταια, καὶ πυρὶ ἀναλωθήσονται. καὶ τί ὄφελος ἀνθρώπῳ ὅτι κοσμεῖ ἑαυτὸν ἱματισμῷ καὶ χρυσῷ, τῆς ψυχῆς αὐτοῦ μελλούσης ἐν πυρὶ χειμάζεσθαι; ἢ τί ὄφελος ὡραιότης; ὅτι φθείρεται κάλλος καὶ ὁ ἐν τῷ κόσμῳ πλοῦτος οὐχ ὑπάρξει.

58 (14) Εἶπεν δὲ ὁ Ἴρεος· Ἆρα ζήσομαι; ὅτι ἐν ὀδύνῃ καρδίας εἰμὶ ἐφ' οἷς πρότερον ἥμαρτον. Λέγει ὁ Φίλιππος· Μὴ φοβηθῇς, μηδὲ διψυχήσῃς· δύναται γὰρ ὁ Ἰησοῦς, ἐὰν καὶ σὺ μετανοήσῃς ἐκ ψυχῆς, ἀφιέναι σου τὰς ἁμαρτίας ἅσπερ ἐν ἀγνοίᾳ ἐποίησας. τί δὲ καὶ ἡ γυνή σου ἡ φοροῦσα νῦν τὰ διάχρυσα καὶ ὑπὸ κοιτῶνος οὖσα; οὐχὶ εἶπέν σοι ὅτι Ἀπόστα ἀπ' ἐμοῦ, ὅτι οὐκ ἐξελεύσομαι εἰς πρόσωπον ἀνθρώπου ξένου; Ὡς δὲ ἤκουσεν ταῦτα ὁ Ἴρεος, ἀνέστη μετὰ σπουδῆς, καὶ ἦλθε πρὸς τὴν ἑαυτοῦ γυναῖκα λέγων· Ἕως πότε ἡ τοσαύτη περί σέ ἐστι λήθη; ἀνάστα καὶ θέασαι ἀληθῶς θεοῦ ἄνθρωπον, ὅτι τοὺς λόγους οὓς εἰς ἑαυτοὺς ἐλαλήσαμεν καὶ πάντα τὰ ἐν κρυπτῷ ἀνήγγειλέν μοι. Λέγει αὐτῷ ἡ γυνὴ αὐτοῦ· Καὶ μέγα ὅτι ἀνήγγειλέν σοι τὰ ῥήματά μου; ὕπαγε, μή | [223 B] με ἀπάτα· τὰ δὲ περὶ σεαυτοῦ ποίει ὡς θέλεις. Καὶ πάλιν φησὶ πρὸς αὐτόν· Τί οὖν ποιήσομεν τοὺς υἱοὺς ἡμῶν ἢ τὰς θυγατέρας ἡμῶν ἢ τοὺς δούλους, καὶ περὶ τῶν ὑπαρχόντων ἡμῶν, εἰ ὅλως εἴπῃ ἡμῖν ὁ ξένος ὅτι Ἐὰν μὴ καταλείψητε τὸν πλοῦτον, οὐ δύνασθε σωθῆναι; Τί ποιήσομεν καὶ ὅτι τοὺς δύο υἱοὺς ἡμῶν ἐμνηστευσάμεθα κατὰ τὴν ἡμετέραν ὁμοιότητα; καὶ ἐὰν μαθητεύσωμεν τῷ ξένῳ, τί ἔσται;

59 (15) Καὶ ὡς ταῦτα ἔλεγον, Ἀρτεμήλα ἡ θυγάτηρ αὐτῶν ἀκούσασα ταῦτα εἶπεν· Ὦ μῆτερ, τί ταῦτα λέγεις; εἰ

---

[14] *scr ὡραιότητος?* ‖ [22] *scr ἐπὶ??* ‖ [26] *scr ἔσται??* ‖ [31] *et* [34] *ποιήσωμεν V* ‖ [37] *scr Ἀρτεμίλλα? cf H*

γάρ τίς ἐστι ζωὴ εἰς ἣν εἰσελεύσῃ σὺ καὶ ὁ πατήρ μου, δῆλον ὅτι κἀγὼ αὐτῆς βούλομαι μετασχεῖν. Ἦν δὲ ἡ Ἀρτεμήλα σφόδρα ὡραία. καὶ λέγει αὐτῇ ἡ μήτηρ αὐτῆς Νερκέλα· Ἀνάστα ὦ θύγατερ καὶ ἔκδυσαι τοῦτο τὸ πολύχρυσον ἔνδυμα ὃ φορεῖς. Ἡ δὲ εἶπεν· Τὸ θέλημα τοῦ θεοῦ τοῦ ξένου ἔσται ἐν παντί. Λέγει πάλιν ὁ Ἴρεος τῇ γυναικὶ αὐτοῦ Νερκέλᾳ· Ἐξέλθωμεν πρὸς αὐτόν· ἐὰν γὰρ ἴδῃς αὐτόν, πᾶσα ἡ οἰκία ἡμῶν πιστεύει εἰς αὐτόν.

60 (16) Καὶ εὐθὺς ἀνέστη, καὶ ἐξεδύσατο τὰ ἱμάτια τὰ διάχρυσα, καὶ ἐνεδύσατο ἔνδυμα ταπεινὸν αὐτή τε καὶ ἡ θυγάτηρ αὐτῆς, καὶ ἐξῆλθον ἐκ τοῦ κοιτῶνος. ὁ δὲ Ἴρεος προεπορεύετο ἀγαλλιῶν· ἦν δὲ ἡ καταστολὴ αὐτῶν εὐπρεπὴς καὶ οὐδὲν ἦν ἀκατακάλυπτον τοῦ σώματος αὐτῶν, εἰ μὴ τάχα μόνον οἱ ὀφθαλμοί. καὶ λέγει ὁ Ἴρεος· Δεῦτε, μὴ διστάσητε. |
Ὡς οὖν ἦλθον πρὸς τὸν ἀπόστολον τοῦ Χριστοῦ Φίλιππον, 224 B
καὶ εἶδον αὐτὸν ὡς μέγα τι φῶς, καὶ τοὺς μαθητὰς κύκλῳ αὐτοῦ, οὐκ ἴσχυσαν ἐγγίσαι αὐτῷ· καὶ ὁ Ἴρεος δὲ ἐφοβήθη τὸν Φίλιππον, πῶς οὕτως μετεμόρφωσεν ἑαυτόν. καὶ πεσόντες ἐπὶ πρόσωπον ἔκλαιον λέγοντες· Ἵλεως ἡμῖν γενοῦ. Καὶ ἐσαλεύθη πᾶσα ἡ οἰκία διὰ τὸν φόβον τὸν ἐπελθόντα ἐπ᾽ αὐτούς.

61 (17) Ὅτε δὲ ἔγνω ὁ Φίλιππος ὅτι οὐ δύνανται ὑποφέρειν τὸ βάρος τοῦ φωτός, ἐμνήσθη τοῦ Ἰησοῦ, καὶ ἐγένετο πάλιν ἐν τῇ εἰκόνι τῇ πρώτῃ καὶ εἶπεν ὁ Φίλιππος· Ἀνάστητε καὶ μὴ φοβεῖσθε. Καὶ ὡς ἀνέστησαν, εἶπεν ἡ Νερκέλα τῷ Φιλίππῳ· Μακαρία εἰμὶ εἰ ἔσομαι ἀξία ἵνα οἰκήσῃς ἐν τῇ οἰκίᾳ μου· οὐαὶ γάρ, οὐαὶ τῇ ἀπιστίᾳ μου. μὴ οὖν λογίσῃ τὰ ἐλθόντα ἐν τῇ καρδίᾳ μου καὶ τοὺς κρυφίους μου περὶ σοῦ λόγους· ὅτι οὐκ ἐγίνωσκον τίς εἶ. Ὁ δὲ Ἴρεος ἦν εὐφραινόμενος ἐπὶ τοῖς ῥήμασιν αὐτῆς, καὶ ὅτι ἡ θυγάτηρ αὐτοῦ, ὡς εἶδεν τὴν μητέρα αὐτῆς κλαίουσαν, καὶ αὐτῆς τὰ δάκρυα ἔρευσαν ἐπὶ τὰς παρειὰς αὐτῆς. ὁμοίως δὲ καὶ οἱ δοῦλοι καὶ αἱ δουλίδες ἐθροήθησαν ἐπὶ τῇ τοσαύτῃ ὀπτασίᾳ.

62 (18) Ὁ δὲ Φίλιππος τῇ Νερκέλᾳ ἔφη· Εἰ θέλεις ζῆσαι γύναι τὴν αἰώνιον καὶ μακαρίαν ζωήν, καταφρονήσασα τοῦ παντὸς βίου καὶ τοῦ κάλλους σου; Ἡ δὲ ἀποκριθεῖσα εἶπεν·
Ὅσα ἐὰν κελεύῃς ποιήσω ἵνα | γένηταί μοι σωτηρία. Ὡσαύτως 225 B
καὶ ἡ θυγάτηρ εἶπεν· Δέομαί σου ἄνθρωπε τοῦ θεοῦ, κἀγὼ

---

[3] *non nulla praetermissa esse uidentur* ‖ [37] κελεύεις *V: scr* κελεύσῃς?

φησιν ὁ Ἴρεος· Οὐκ ἐπιστραφήσομαι εἰς τὰ ὀπίσω, εἰ καὶ δέοι ἀποθανεῖν με.

69 (6) Καὶ ὡς ἦν ἐν τῇ οἰκίᾳ τοῦ Ἰρέου ὁ Φίλιππος, λαβόντες ξύλα οἱ ὄχλοι καὶ οἱ ἄρχοντες τῆς πόλεως παρεγένοντο μετὰ θυμοῦ καὶ ἔκραξαν λέγοντες· Δὸς ἡμῖν τὸν πλάνον, ἐξάγαγε τὸν μάγον, μὴ καὶ σὺ καὶ ὁ οἶκός σου καὶ τὰ τέκνα καὶ οἱ παῖδες καὶ ὁ μάγος μετὰ τῶν αὐτοῦ μαθητῶν πυρίκαυστοι γενήσεσθε· πᾶσα ἡ πόλις βοᾷ.

70 (7) Ὡς δὲ ἔγνω ὁ Φίλιππος ὅτι ταράσσειν μέλλουσι τὴν οἰκίαν ἕνεκεν αὐτοῦ, ἀνοίξας τὸν πυλῶνα ἐξῆλθεν ἅμα τοῖς σὺν αὐτῷ· συνεξῆλθεν δὲ καὶ ὁ Ἴρεος. καὶ πᾶς ὁ ὄχλος ἰδόντες τὸν Φίλιππον ἔκραξεν· Ἰδού, οὗτός ἐστιν ὁ μάγος, ἀποκτείνωμεν αὐτόν. Προσέταξεν δὲ ὁ Ἴρεος ἱκανοὺς δούλους ἀκολουθεῖν τῷ Φιλίππῳ, ἵνα μὴ ἀδικήσωσιν αὐτὸν ἐν τῇ μωρίᾳ αὐτῶν. ἁρπάσαντες οὖν οἱ ὄχλοι τὸν Φίλιππον ἤγαγον
229 B εἰς τὸ | βουλευτήριον, ἵνα μαστίξωσιν αὐτόν· οἱ δὲ ὄχλοι ἔκραζον· Δήσατε τοῦ πλάνου τὰς χεῖρας καὶ τοὺς πόδας ἰσχυρῶς, καὶ οὕτως μαστίξατε.

71 (8) Θεασάμενος δὲ ὁ Ἴρεος τὴν ὀργὴν αὐτῶν ἀνέδραμεν ἐπὶ τοὺς ἀναβαθμοὺς τοῦ βουλευτηρίου, καὶ ἐβόησεν φωνῇ μεγάλῃ· Οὐ πλήξετε τὸν ἄνδρα ἄνευ αἰτίας· ταῦτα γὰρ ὁ Καῖσαρ ἀκούσει. Ὡς δὲ εἶδον οἱ ὄχλοι τὸν Ἴρεον οὕτως ἑστῶτα, ἠγανάκτησαν λέγοντες· Μὴ ἀκούσωμεν τοῦ Ἰρέου, ἀλλ' ὅπερ τολμῶμεν ποιήσωμεν. Καὶ προσῆλθον τῷ Φιλίππῳ τοῦ μαστίζειν, ὁ δὲ Ἴρεος κατελθὼν ἀπέσπασεν ἀπ' αὐτῶν τὸν Φίλιππον, καὶ κρατῶν αὐτὸν τῆς χειρὸς εἶπεν· Ἰδοὺ πάντες λέγετε ὅτι μάγος ἐστὶν οὗτος· ἐλέγξατε τὰς μαγείας αὐτοῦ. Εἶτα ἀνέκραξαν ὅτι Καινὸν καὶ ξένον ἄκουσμα ἤγαγεν ἡμῖν, Ἁγνοὶ λέγων μείνατε, καὶ ζήσεσθε, καὶ ἔσεσθε ὡς φωστῆρες ἐν οὐρανῷ· Καὶ τὸν ἐσταυρωμένον λέγει θεόν.

72 (9) Ἀκούσας δὲ ταῦτα ὁ Φίλιππος εἶπεν· Οἶδα ὅτι ἐὰν θελήσω οὐ μαστίζετέ με· τῇ γὰρ δυνάμει τοῦ ἐσταυρωμένου πατάξω ὑμᾶς πάντας τυφλώσει. Εἷς οὖν ἐξ αὐτῶν ὀνόματι Ἀρίσταρχος, υἱὸς Πληγενοῦς, μέγας ὢν ἐν τοῖς Ἰουδαίοις, ἐνώπιον πάντων λέγει τῷ Φιλίππῳ· Μὴ σπεῦδε ἡμᾶς ὦ Φίλιππε τυφλῶσαι· οἶδα γὰρ ὅτι δύνασαι. ἀλλὰ συζητήσωμεν διὰ λόγων περὶ τοῦ Ἰησοῦ· πεῖθον ἡμῖν ὁ λόγος· καὶ

---

1 δεει V δεῖ Batiffol ‖ 13 ἀποκτείνομεν V ‖ 22 scr ἀκούσεται? an ἀκούσῃ? cf 26, 27; 29, 2 al (ει ex η V) ‖ 29 λέγον V ‖ 30 τὸν] scr τινὰ?? cf 21, 2 et 29, 14 ‖ 32 μαστίξετε Batiffol ‖ 37 scr πεῖσον ἡμᾶς λόγοις??? ‖ πείθων Batiffol fort recte

μὴ τῇ μαγείᾳ σου θέλε ἡμᾶς ἐκτυφλοῖν. καὶ γαρ ἐγὼ μέγας εἰμὶ ἐν τοῖς Ἰουδαίοις, καὶ ἐὰν ἐπιτρέψω, ἄρτι λιθάσωσί σε καὶ τοὺς μετὰ σέ. | 230 B

73 (10) Καὶ ἥψατο τοῦ πώγωνος Φιλίππου ἕλκων αὐτόν· ὁ δὲ Φίλιππος οὐκ ἀλγήσας, ἀλλὰ διὰ τοὺς παρόντας πρᾴως ὀργισθείς, εἶπεν πρὸς αὐτόν· Ἰδοὺ λέγω σοι ὅτι ἡ χεὶρ αὕτη ξηρὰ καὶ τὰ ὦτά σου κωφὰ ἐν ἀλγήσει καὶ ὁ δεξιός σου ὀφθαλμὸς πηρός, ὅτι ἠπείλησας λιθοβολῆσαί με, καὶ ἐνύβρισας τὸν ἐσταυρωμένον, τὸν οὐρανοῦ καὶ γῆς ποιητήν.

74 (11) Καὶ ἦν ἰδεῖν ἐξαίφνης παράδοξον θαῦμα εἰς αὐτόν· εὐθέως γὰρ ὁ μὲν ὀφθαλμὸς αὐτοῦ ἐκοιλάνθη ὡς οὐκ ὤν, τὰ δὲ ὦτα αὐτοῦ ἤλγουν οὐ μικρῶς, καὶ ἡ δεξιὰ αὐτοῦ χεὶρ ἐκρέματο ξηρὰ ὧδε κἀκεῖσε περιφερομένη· καὶ ἐβόα λέγων· Ἐλέησόν με δοῦλε τοῦ ἐσταυρωμένου θεοῦ Φίλιππε· διὰ τοῦτο γὰρ καὶ προεῖπον ὅτι εἴ τι θέλεις δύνασαι ποιῆσαι. Παρεκάλει δὲ καὶ τοὺς σὺν αὐτῷ Ἰουδαίους ὅπως ἀξιώσωσι τὸν Φίλιππον ἵνα σπλαγχνισθεὶς ἰάσηται αὐτόν.

75 (12) Ἐπῆραν δὲ φωνὴν πάντες λέγοντες· Θεὸν ἔχεις ξένε ἰσχυρόν· θεράπευσον τὸν πρῶτον τοῦ ἔθνους ἡμῶν, ὅτι ἀληθῶς ἄνθρωποι ὄντες θεῷ μάχεσθαι οὐ δυνάμεθα.

76 (13) Σπλαγχνισθεὶς οὖν ὁ Φίλιππος προέτρεψεν τῷ Ἰρέῳ λέγων· Πρόσελθε καὶ ἐπίθες τὴν δεξιάν σου χεῖρα ἐπὶ τῆς κεφαλῆς αὐτοῦ, καὶ σήμανον αὐτῷ τὸν σταυρὸν τοῦ Χριστοῦ, καὶ ἰαθήσεται. Ὁ δὲ Ἴρεος προσελθὼν αὐτῷ εἶπεν· Ἐν τῷ ὀνόματι τοῦ σταυρωθέντος Ἰησοῦ | 231 B Χριστοῦ γενοῦ ὑγιής. Καὶ εὐθέως ἰαθεὶς ἔκθαμβος ἐγένετο, καὶ δραμὼν ἔπεσεν εἰς τοὺς πόδας αὐτοῦ λέγων· Οἶδα Φίλιππε ὅτι ὅσα θέλεις δύνασαι· τοῦτο γὰρ καὶ προεῖπόν σοι· πλὴν οὖν διὰ τὴν ἀπιστίαν ἐμοῦ καὶ τοῦ συμπαρόντος πλήθους ἀνάσχου μοι τὸν λόγον, ὅτι ἀκριβῶς θέλω συζητῆσαι ἐκ τῶν γραφῶν τὰ περὶ τοῦ Ἰησοῦ, διὰ τί αὐτὸν ὑμεῖς θεὸν καλεῖτε. ἀλλ' ὁρκίζω σε μὴ πάλιν ἐμβριμησάμενος ἐπιθήσῃς μοι ὀδύνας. Καὶ ὄχλοι εἶπον· Ἀξιοῦμέν σε Φίλιππε, μὴ ὀργισθῇς ἐλεγχόμενος, μηδὲ πάλιν δειλιάσῃς περὶ τὴν διδασκαλίαν σου· ἀκούσαντες

---

1 ἐκτυφλοῦν *Batiffol* ‖ 2 λιθάσουσί *Batiffol: cf 28, 22* ‖ 3 σοῦ *Batiffol recte ut uid* ‖ 7 ἐν ἀ.] ἐναλγήσει *Batiffol* ‖ 12 μικρόν *Batiffol: cf 5, 29* ‖ 15 καὶ *et* ποιῆσαι *del Batiffol* ‖ *scr* ποιῆσαι δύνασαι? ‖ *del* ποιῆσαι? *cf 28* 20 ἀληθῶς *quid sibi uelit non uideo: cf 9, 24; 11, 19* ‖ 21—22 *scr* τὸν Ἴρεον? ‖ 23 *scr* τὴν κεφαλὴν? ‖ 29 ἀνέχου *Batiffol* ‖ 30 *scr* μου? ‖ 32 *scr* ἐπιθήσεις? *cf 38, 18* ‖ 33 ⟨οἱ⟩ ὄχλοι? ‖ ὀργισθεὶς *V*

θέλω σωθῆναι. Εἶπεν δὲ ὁ Φίλιππος· Ἐφ' ὅσον καὶ σὺ καταλιμπάνεις τὸ κάλλος τοῦ σώματός σου, σωθήσῃ.

63 (19) *Ἤρξατο οὖν διδάσκειν αὐτοὺς τὰ περὶ πίστεως καὶ τὰ περὶ τοῦ υἱοῦ τοῦ θεοῦ, καὶ κατηχήσας αὐτοὺς καὶ πάντας τοὺς τοῦ οἴκου ἐβάπτισεν εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. ἐμείναμεν δὲ ἐν τῷ οἴκῳ αὐτῶν μῆνα ἡμερῶν, διδασκόμενοι καὶ ὁδηγούμενοι ὑπὸ Φιλίππου εἰς τὴν ἀληθινὴν γνῶσιν· καὶ συνέτρεχον πλήθη πολλὰ καθ' ἑκάστην ὑπ' αὐτοῦ διδασκόμενοι, καὶ ἐπίστευον μεγαλυνόμενοι ἐν τῇ δόξῃ τοῦ Ἰησοῦ, θεραπευόμενοι οἱ τὰς νόσους ἔχοντες· καὶ τὰ ἀκάθαρτα πνεύματα ἔφυγον· καὶ πάντες ἔλεγον· Εὐλογητὸς ὁ Φιλίππου θεός, ὅτι τῇ ἰδίᾳ αὐτοῦ εὐσπλαγχνίᾳ ἠθέλησεν ἡμᾶς σῶσαι· αὐτῷ αἰνοῦμεν καὶ δοξάζομεν εἰς αἰῶνας αἰώνων. ἀμήν.*

Πρᾶξις ϛ' ἐν Νικάτηρα πόλει τῆς Ἑλλάδος.

64 (1) *Ὄντος δὲ τοῦ Φιλίππου ἐν τῇ οἰκίᾳ τοῦ Ἰρέου, καὶ τῶν ἀδελφῶν πάντων συνηγμένων, ἐκινήθησαν πάντες οἱ*
226 B *ὄντες Ἰουδαῖοι καὶ παρασεβόμενοι ἐν τῇ πόλει πάντες κατὰ τοῦ Ἰρέου, ὅτι ἦν ὁ Φίλιππος ἐν τῇ οἰκίᾳ αὐτοῦ, λέγοντες ὅτι Οὐ μικρὰ φροντὶς ἡμῖν ἐστι καὶ ὀδύνη ὅτι ὁ μάγος ὁ λεγόμενος Φίλιππος ἐν τῇ οἰκίᾳ ἐστὶ τοῦ Ἰρέου, καὶ ὅτι δι' αὐτοῦ πολλοὺς ἀπατᾷ. Καὶ ἦν ἡ στάσις πολλὴ ὅτι ὁ Ἶρεος ἐπίστευσεν τῷ Χριστῷ πανοικί, καὶ ἔλεγον· Εἰ τάχιον ἔγνωμεν, ἐδιώξαμεν ἂν τὸν μάγον, ἢ καὶ ἐκλείσαμεν τὰς πύλας τῆς πόλεως, καὶ οὐκ ἂν εἰσῆλθεν ὁ φαρμακός· ἀλλὰ πέμψωμεν πρὸς τὸν Ἶρεον ἄνδρας τινὰς κατὰ τὴν ἀξίαν αὐτοῦ, καὶ ἢ ἀποστήσει ἑαυτὸν τῆς τοῦ ξένου ἀπάτης, ἢ προσαγάγῃ αὐτὸν ἐν τῷ δημοσίῳ.*

65 (2) *Καὶ προσκαλεσάμενοι τῶν πρωτίστων ἄνδρας ἑπτὰ παρεκάλεσαν ἀπελθεῖν, εἰπόντες· Εἴπατε τῷ Ἰρέῳ· Ἡ πᾶσα πόλις προσδέχεταί σε. Καὶ ἀπελθόντες ἔστησαν πρὸ τοῦ πυλῶνος, καὶ οὐδεὶς αὐτῶν ἐτόλμησεν καλέσαι διὰ τὸ πλῆθος τῶν μαθητῶν. καὶ ἐξελθοῦσά τις παιδίσκη καὶ ἰδοῦσα αὐτοὺς εἶπεν· Τίνα ζητεῖτε ὦ ἄνδρες, καὶ τίνος ἕνεκεν*

---

[4] *del τά?* ‖ [6] *ἔμειναν Batiffol: cf 17, 1* ‖ [10] *praetermissus uidetur locus de seruo debili: cf H* ‖ [11] *ἔφευγον Batiffol probabiliter* ‖ [13] *scr αὐτὸν?* ‖ [17] *del πάντες?* ‖ [22] *del ἡ?* ‖ [25] *πέμψομεν V* ‖ [27] *προσαγάγει V: scr προσαγάγῃ?*

στήκετε πρὸ τῶν ἡμετέρων πυλῶν; Οἱ δὲ οὐκ ἔδωκαν αὐτῇ ἀπόκρισιν. καὶ εἰσδραμοῦσα μετὰ σπουδῆς, κλείσασά τε τοὺς πυλῶνας, προσελθοῦσα τῷ Ἰρέῳ λέγει· Ὦ δέσποτα, ἑπτὰ ἄνδρες ἵστανται πρὸ τοῦ πυλῶνος, καὶ τὰ πρόσωπα αὐτῶν γέμει πονηρίας καὶ ἀδικίας. Καὶ ἀναστὰς ἐξῆλθεν, καὶ θεασάμενος αὐτοὺς ἐμειδίασεν. εἶπαν δὲ πρὸς αὐτόν· | Χαίροις 227 B *ὁ μέγας καὶ πρῶτος τῆς πόλεως. Καὶ εἶπεν ὁ Ἴρεος· Τίνος ἕνεκεν ἤλθετε; ἢ νομίζετέ με μεταστῆσαι ἀπὸ τοῦ ἁγίου ἀνδρός; τί οὕτως στήκετε ἐν πονηρίᾳ; Καὶ εἶπαν αὐτῷ· Ἡ πᾶσα σχεδὸν πόλις ἀπέσταλκεν ἡμᾶς, καὶ εἰ θέλεις ἐλθέ. Καὶ ἠκολούθησεν αὐτοῖς ὁ Ἴρεος.*

66 (3) *Ὡς δὲ εἶδον αὐτὸν οἱ καθεζόμενοι ἄρχοντες, ἀνέστησαν καὶ ἐξεπλάγησαν ὅτι οὐκ ἦν ἠμφιεσμένος ὡς πρώην, καὶ ὅτι οὔτε μετὰ ὀψικίου καὶ ὄχλου, ἀλλὰ δύο δοῦλοι μόνον ἠκολούθουν αὐτῷ. εἷς δέ τις ἐξ αὐτῶν Ὀνήσιμος πρῶτος εἶπεν μετὰ τὸ καθεσθῆναι αὐτούς· Οἶδα ὅτι οὐκ ἰσχύω λαλῆσαί σοι, ἀλλά, παρακαλῶ, φθέγξαι ἡμῖν διὰ τί οὕτως ἀπηούχασας πανοικὶ μετὰ τοῦ ξένου καὶ μάγου τοῦ καλουμένου Φιλίππου; μή τι καινότερον ἀκούσας ἠπατήθης ὑπὸ τοῦ ξένου; νῦν οὖν παράδος ἡμῖν αὐτόν, ἵνα καὶ σὺ σωθῇς καὶ ἡ οἰκία σου, ὅτι πᾶσα ἡ πόλις κατὰ σοῦ στασιάζει. μὴ οὖν ἡμᾶς ἀπαξιώσῃ, ἀλλὰ ἀποκρίθητι ἡμῖν κἂν ἓν ῥῆμα, ὅτι καὶ οἱ ἄρχοντες καὶ πᾶσα ἡ πόλις σοῦ ἕνεκεν συνῆλθον.*

67 (4) *Καὶ ὁ Ἴρεος ἀπεκρίθη· Ἵνα τί ἐγὼ σήμερον ὑφ' ἡμῶν ἀνακρίνομαι ἕνεκεν τοῦ δικαίου ἀνδρός; ἀπόστητε ἀπ' αὐτοῦ, καὶ τὴν ταραχὴν ὑμῶν παύσασθε, μή ποτε ἀγανακτήσας ὁ τοῦ θεοῦ ἄνθρωπος ἐπικαλέσηται τὸν ἴδιον θεόν, καὶ πάντας ὑμᾶς πυρὶ κατακαύσει.*

68 (5) *Οἱ δὲ ἄρχοντες καὶ τὰ πλήθη ἔκραξαν· Οὐ πείθεις ἡμᾶς τὸν | ξένον εἶναι ἐν τῇ πόλει ἡμῶν. οὔτε γὰρ ἀνεχόμεθα* 228 B *τῆς διδαχῆς αὐτοῦ· ἔχομεν γὰρ ἡμετέρους θεοὺς ἰσχυροὺς ὑπὲρ τοῦ θεοῦ αὐτοῦ. Οἱ δὲ Ἰουδαῖοι μεῖζον ἔκραζον· Ἄρατε τὴν ἄδικον ταύτην καὶ ξένην διδαχὴν τῆς πόλεως ἡμῶν. Ἰδὼν οὖν ὁ Ἴρεος ὅτι οὐ δύναται ἀνατρέψαι τὰ πλήθη, ἀνεχώρησεν εἰς τὴν οἰκίαν αὐτοῦ. καὶ ἐμβλέψας ὁ Φίλιππος τῷ Ἰρέῳ λέγει· Μή τι ἐφοβήθης περὶ τῶν στασιαζόντων; Καί*

---

[1] *scr τοῦ ἡμετέρου πυλῶνος? cf 4; 26, 31; 28, 10* ‖ [2] *scr τὸν πυλῶνα?? cf 1* ‖ [8] *ἤ ν.] ἐνομίζετε Batiffol* ‖ [9] *εἶπον Batiffol* ‖ [14] *scr οὐδὲ?* ‖ [16] *καθισθῆναι Batiffol* ‖ [17] *scr ἀφησύχασας??* ‖ [25] *scr ὑμῶν* ‖ [28] *κατακαύσῃ Batiffol fort rec'e (ει ex η V)* ‖ [32] *scr τὸν θεὸν?* ‖ [33] *⟨ἐκ⟩ τῆς?*

φησιν ὁ Ἵρεος· Οὐκ ἐπιστραφήσομαι εἰς τὰ ὀπίσω, εἰ καὶ δέοι ἀποθανεῖν με.

69 (6) Καὶ ὡς ἦν ἐν τῇ οἰκίᾳ τοῦ Ἱρέου ὁ Φίλιππος, λαβόντες ξύλα οἱ ὄχλοι καὶ οἱ ἄρχοντες τῆς πόλεως παρεγένοντο μετὰ θυμοῦ καὶ ἔκραξαν λέγοντες· Δὸς ἡμῖν τὸν πλάνον, ἐξάγαγε τὸν μάγον, μὴ καὶ σὺ καὶ ὁ οἶκός σου καὶ τὰ τέκνα καὶ οἱ παῖδες καὶ ὁ μάγος μετὰ τῶν αὐτοῦ μαθητῶν πυρίκαυστοι γενήσεσθε· πᾶσα ἡ πόλις βοᾷ.

70 (7) Ὡς δὲ ἔγνω ὁ Φίλιππος ὅτι ταράσσειν μέλλουσι τὴν οἰκίαν ἕνεκεν αὐτοῦ, ἀνοίξας τὸν πυλῶνα ἐξῆλθεν ἅμα τοῖς σὺν αὐτῷ· συνεξῆλθεν δὲ καὶ ὁ Ἵρεος. καὶ πᾶς ὁ ὄχλος ἰδόντες τὸν Φίλιππον ἔκραξεν· Ἰδού, οὗτός ἐστιν ὁ μάγος, ἀποκτείνωμεν αὐτόν. Προσέταξεν δὲ ὁ Ἵρεος ἱκανοὺς δούλους ἀκολουθεῖν τῷ Φιλίππῳ, ἵνα μὴ ἀδικήσωσιν αὐτὸν ἐν τῇ μωρίᾳ αὐτῶν. ἁρπάσαντες οὖν οἱ ὄχλοι τὸν Φίλιππον ἤγαγον
229 B εἰς τὸ | βουλευτήριον, ἵνα μαστίξωσιν αὐτόν· οἱ δὲ ὄχλοι ἔκραζον· Δήσατε τοῦ πλάνου τὰς χεῖρας καὶ τοὺς πόδας ἰσχυρῶς, καὶ οὕτως μαστίξατε.

71 (8) Θεασάμενος δὲ ὁ Ἵρεος τὴν ὀργὴν αὐτῶν ἀνέδραμεν ἐπὶ τοὺς ἀναβαθμοὺς τοῦ βουλευτηρίου, καὶ ἐβόησεν φωνῇ μεγάλῃ· Οὐ πλήξετε τὸν ἄνδρα ἄνευ αἰτίας· ταῦτα γὰρ ὁ Καῖσαρ ἀκούσει. Ὡς δὲ εἶδον οἱ ὄχλοι τὸν Ἵρεον οὕτως ἑστῶτα, ἠγανάκτησαν λέγοντες· Μὴ ἀκούσωμεν τοῦ Ἱρέου, ἀλλ' ὅπερ τολμῶμεν ποιήσωμεν. Καὶ προσῆλθον τῷ Φιλίππῳ τοῦ μαστίζειν, ὁ δὲ Ἵρεος κατελθὼν ἀπέσπασεν ἀπ' αὐτῶν τὸν Φίλιππον, καὶ κρατῶν αὐτὸν τῆς χειρὸς εἶπεν· Ἰδοὺ πάντες λέγετε ὅτι μάγος ἐστὶν οὗτος· ἐλέγξατε τὰς μαγείας αὐτοῦ. Εἶτα ἀνέκραξαν ὅτι Καινὸν καὶ ξένον ἄκουσμα ἤγαγεν ἡμῖν, Ἁγνοὶ λέγων μείνατε, καὶ ζήσεσθε, καὶ ἔσεσθε ὡς φωστῆρες ἐν οὐρανῷ· Καὶ τὸν ἐσταυρωμένον λέγει θεόν.

72 (9) Ἀκούσας δὲ ταῦτα ὁ Φίλιππος εἶπεν· Οἶδα ὅτι ἐὰν θελήσω οὐ μαστίζετέ με· τῇ γὰρ δυνάμει τοῦ ἐσταυρωμένου πατάξω ὑμᾶς πάντας τυφλώσει. Εἷς οὖν ἐξ αὐτῶν ὀνόματι Ἀρίσταρχος, υἱὸς Πληγενοῦς, μέγας ὢν ἐν τοῖς Ἰουδαίοις, ἐνώπιον πάντων λέγει τῷ Φιλίππῳ· Μὴ σπεῦδε ἡμᾶς ὦ Φίλιππε τυφλῶσαι· οἶδα γὰρ ὅτι δύνασαι. ἀλλὰ συζητήσωμεν διὰ λόγων περὶ τοῦ Ἰησοῦ· πεῖθον ἡμῖν ὁ λόγος· καὶ

---

1 *δεει V δεῖ Batiffol* ‖ 13 *ἀποκτείνομεν V* ‖ 22 *scr ἀκούσεται? an ἀκούσῃ? cf 26, 27; 29, 2 al (ει ex η V)* ‖ 29 *λέγον V* ‖ 30 *τὸν] scr τινὰ?? cf 21, 2 et 29, 14* ‖ 32 *μαστίξετε Batiffol* ‖ 37 *scr πεῖσον ἡμᾶς λόγοις???* ‖ *πεῖθων Batiffol fort recte*

μὴ τῇ μαγείᾳ σου θέλε ἡμᾶς ἐκτυφλοῖν. καὶ γαρ ἐγὼ μέγας εἰμὶ ἐν τοῖς Ἰουδαίοις, καὶ ἐὰν ἐπιτρέψω, ἄρτι λιθάσωσί σε καὶ τοὺς μετὰ σέ. | 230 B

73 (10) *Καὶ ἥψατο τοῦ πώγωνος Φιλίππου ἕλκων αὐτόν· ὁ δὲ Φίλιππος οὐκ ἀλγήσας, ἀλλὰ διὰ τοὺς παρόντας πρᾴως ὀργισθείς, εἶπεν πρὸς αὐτόν· Ἰδοὺ λέγω σοι ὅτι ἡ χεὶρ αὕτη ξηρὰ καὶ τὰ ὦτά σου κωφὰ ἐν ἀλγήσει καὶ ὁ δεξιός σου ὀφθαλμὸς πηρός, ὅτι ἠπείλησας λιθοβολῆσαί με, καὶ ἐνύβρισας τὸν ἐσταυρωμένον, τὸν οὐρανοῦ καὶ γῆς ποιητήν.*

74 (11) *Καὶ ἦν ἰδεῖν ἐξαίφνης παράδοξον θαῦμα εἰς αὐτόν· εὐθέως γὰρ ὁ μὲν ὀφθαλμὸς αὐτοῦ ἐκοιλάνθη ὡς οὐκ ὤν, τὰ δὲ ὦτα αὐτοῦ ἤλγουν οὐ μικρῶς, καὶ ἡ δεξιὰ αὐτοῦ χεὶρ ἐκρέματο ξηρὰ ὧδε κἀκεῖσε περιφερομένη· καὶ ἐβόα λέγων· Ἐλέησόν με δοῦλε τοῦ ἐσταυρωμένου θεοῦ Φίλιππε· διὰ τοῦτο γὰρ καὶ προεῖπον ὅτι εἴ τι θέλεις δύνασαι ποιῆσαι. Παρεκάλει δὲ καὶ τοὺς σὺν αὐτῷ Ἰουδαίους ὅπως ἀξιώσωσι τὸν Φίλιππον ἵνα σπλαγχνισθεὶς ἰάσηται αὐτόν.*

75 (12) *Ἐπῆραν δὲ φωνὴν πάντες λέγοντες· Θεὸν ἔχεις ξένε ἰσχυρόν· θεράπευσον τὸν πρῶτον τοῦ ἔθνους ἡμῶν, ὅτι ἀληθῶς ἄνθρωποι ὄντες θεῷ μάχεσθαι οὐ δυνάμεθα.*

76 (13) *Σπλαγχνισθεὶς οὖν ὁ Φίλιππος προέτρεψεν τῷ Ἰρέῳ λέγων· Πρόσελθε καὶ ἐπίθες τὴν δεξιάν σου χεῖρα ἐπὶ τῆς κεφαλῆς αὐτοῦ, καὶ σήμανον αὐτῷ τὸν σταυρὸν τοῦ Χριστοῦ, καὶ ἰαθήσεται. Ὁ δὲ Ἴρεος προσελθὼν αὐτῷ εἶπεν· Ἐν τῷ ὀνόματι τοῦ σταυρωθέντος Ἰησοῦ | Χριστοῦ γενοῦ* 231 B *ὑγιής. Καὶ εὐθέως ἰαθεὶς ἔκθαμβος ἐγένετο, καὶ δραμὼν ἔπεσεν εἰς τοὺς πόδας αὐτοῦ λέγων· Οἶδα Φίλιππε ὅτι ὅσα θέλεις δύνασαι· τοῦτο γὰρ καὶ προεῖπόν σοι· πλὴν οὖν διὰ τὴν ἀπιστίαν ἐμοῦ καὶ τοῦ συμπαρόντος πλήθους ἀνάσχου μοι τὸν λόγον, ὅτι ἀκριβῶς θέλω συζητῆσαι ἐκ τῶν γραφῶν τὰ περὶ τοῦ Ἰησοῦ, διὰ τί αὐτὸν ὑμεῖς θεὸν καλεῖτε. ἀλλ᾽ ὁρκίζω σε μὴ πάλιν ἐμβριμησάμενος ἐπιθήσῃς μοι ὀδύνας. Καὶ ὄχλοι εἶπον· Ἀξιοῦμέν σε Φίλιππε, μὴ ὀργισθῇς ἐλεγχόμενος, μηδὲ πάλιν δειλιάσῃς περὶ τὴν διδασκαλίαν σου· ἀκούσαντες*

---

[1] *ἐκτυφλοῦν Batiffol* ‖ [2] *λιθάσουσι Batiffol: cf 28, 22* ‖ [3] *σοῦ Batiffol recte ut uid* ‖ [7] *ἐν ἀ.] ἐναλγήσει Batiffol* ‖ [12] *μικρόν Batiffol: cf 5, 29* ‖ [15] *καὶ et ποιῆσαι del Batiffol* ‖ *scr ποιῆσαι δύνασαι?* ‖ *del ποιῆσαι? cf 28* [20] *ἀληθῶς quid sibi uelit non uideo: cf 9, 24; 11, 19* ‖ [21–22] *scr τὸν Ἴρεον?* ‖ [23] *scr τὴν κεφαλὴν?* ‖ [29] *ἀνέχου Batiffol* ‖ [30] *scr μου?* ‖ [32] *scr ἐπιθήσεις? cf 38, 18* ‖ [33] *⟨οἱ⟩ ὄχλοι?* ‖ *ὀργισθεὶς V*

γὰρ ἡμεῖς τὰ παρ' ἀμφοτέρων κριταὶ ἀληθείας ἐσόμεθα, καὶ ἐὰν νικήσῃς, πάντες πιστεύσομεν τῷ διὰ σοῦ κηρυττομένῳ Χριστῷ.

77 (14) Ὁ δὲ Φίλιππος μειδιάσας εἶπεν πρὸς τὸν Ἀρίσταρχον· Εἰ θέλεις, εἰπὲ πρῶτος. Τότε ὁ Ἀρίσταρχος λέγει τῷ Φιλίππῳ· Λαμβάνεις τὰς προφητικὰς γραφὰς ἢ οὔ; Καὶ ὁ Φίλιππος· Διὰ τὴν ἀπιστίαν ὑμῶν χρεία προφητῶν. Καί φησιν ὁ Ἰουδαῖος· Ἀγνοεῖς Φίλιππε ὅτι γέγραπται· Τίς ἐξηγήσεται τὰς ἀρετάς σου ὁ θεός; Καὶ ὅτι Οὐδείς ποτε δύναται γνῶναι τὴν δόξαν σου; Καὶ ὅτι Ἡ δόξα σου ἐπλήρωσε τὴν γῆν; Καὶ ὅτι Κύριος κριτὴς ζώντων καὶ νεκρῶν; Καὶ ὅτι Ὁ θεός φησι πῦρ καταναλίσκον καὶ φλογιεῖ κύκλῳ τοὺς ἐχθροὺς αὐτοῦ; Καὶ ὅτι Εἷς θεὸς ἐποίησε ταῦτα πάντα; 232 B Πῶς οὖν λέγεις Φίλιππε ὅτι ἀφθάρτως | ἐγέννησεν ἡ Μαρία τὸν Ἰησοῦν, καὶ ἔστι θεός; καὶ πῶς ἐσταυρώθη, καὶ πῶς ἀγωνίζῃ σὺ περὶ αὐτοῦ, εἰ θεός; ἀλλὰ πάντως ἐλέγξεις με ὅτι οὗτός ἐστι δύναμις θεοῦ καὶ θεοῦ σοφία, ὃς συμπαρῆν τῷ θεῷ ὅτε καὶ τὸν κόσμον ἐποίησε. τοῦτο γὰρ οὐκ ἀρνοῦμαι, ὡς εἶπεν ἡ πρώτη γραφή· Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν· ἐὰν γὰρ αὐτὰ σιωπήσω, ἐλέγξεις με.

78 (15) Ὁ δὲ Φίλιππος μειδιάσας ἐν ἀγαλλιάσει εἶπεν εἰς ὅλον τὸν ὄχλον· Ἀκούσατέ μου, καὶ γίνεσθε κριταὶ τῆς ἀληθείας· ὁ γὰρ προφήτης Ἡσαίας περὶ τοῦ Χριστοῦ λέγει· Ἰδοὺ ὁ παῖς μου ὃν ἡρετισάμην, εἰς ὃν ηὐδόκησα· θήσω τὸ πνεῦμα ἐπ' αὐτόν. Καὶ περὶ τοῦ σταυροῦ αὐτοῦ εἴρηται· Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἄφωνος ἐναντίον τοῦ κείροντος αὐτόν. τὴν δὲ γενεὰν αὐτοῦ τίς διηγήσεται; Καὶ πάλιν· Τὸν νῶτόν μου ἡτοίμασα εἰς μάστιγας, τὰς δὲ σιαγόνας μου εἰς ῥαπίσματα, τὸ δὲ πρόσωπόν μου οὐκ ἀπέστρεψα ἀπὸ αἰσχύνης ἐμπτυσμάτων. Καὶ ἄλλος· Ἐξεπέτασα τὰς χεῖράς μου πρὸς λαὸν ἀπειθοῦντα, καὶ ἐμφανὴς ἐγενόμην τοῖς ἐμὲ μὴ ἐπιζητοῦσι, καὶ εὑρέθην τοῖς ἐμὲ μη ἐπερωτῶσι.

[8] Sirach 18, 4; 5? ‖ [10] num 14, 21; Ies 6, 3 ‖ [11] Tim 2, 4, 1? ‖ [12] psalm 96 (97), 3 ‖ [13] psalm 145 (146), 6? ‖ [19] gen 1, 26 ‖ [25] Ies 42, 1, cf Matth 12, 18 ‖ [26] Ies 53, 7; 8 ‖ [29] Ies 50, 6 ‖ [31] Ies 65, 2; 1

---

[2] πιστεύσωμεν *V* ‖ [6] τῷ||| *V* ‖ [12] φλογίζει *Batiffol: cf H* ‖ [16] *et* [20] ἐλέγξῃς *V* ‖ [20] ταῦτα *Batiffol* ‖ [25] ᾑρετ. εἰς ὃν *om Batiffol* ‖ [26] πνεῦμά <μου>? *cf H* ‖ [30] σιγόνας *Batiffol* ‖ [31] ἄλλος?? *idem est*

Ὁ δὲ Δαυὶδ περὶ αὐτοῦ φησιν· Υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά σε· αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου. Καὶ περὶ τῆς ἀναστάσεως αὐτοῦ καὶ περὶ τοῦ Ἰούδα λέγει· Κύριε τί ἐπληθύνθησαν οἱ θλίβοντές με; πολλοὶ ἐπανίστανται ἐπ' ἐμέ, πολλοὶ | λέγουσι τῇ ψυχῇ μου· 233 B *Οὐκ ἔστι σωτηρία αὐτοῦ ἐν τῷ θεῷ αὐτοῦ. Καὶ πάλιν ὁ Δαυίδ· Προωρώμην τὸν κύριον ἐνώπιόν μου διὰ παντός, ὅτι ἐκ δεξιῶν μού ἐστιν, ἵνα μὴ σαλευθῶ· διὰ τοῦτο εὐφράνθη ἡ καρδία μου καὶ οἱ νεφροί μου ἠλλοιώθησαν, ὅτι οὐκ ἐγκαταλείψεις τὴν ψυχήν μου εἰς ᾅδην, οὐδὲ δώσεις τὸν ὅσιόν σου ἰδεῖν διαφθοράν. Ὁ δὲ Δαυὶδ ἐτελεύτησε, καὶ τὸ μνῆμα αὐτοῦ οἴδαμεν· ταῦτα δὲ πάντα εἴρηται περὶ τοῦ Χριστοῦ καὶ τῆς ἐκ νεκρῶν αὐτοῦ ἀναστάσεως. λάβε καὶ ἐκ τῶν δώδεκα προφητῶν· Εἴπατε τῇ θυγατρὶ Σιών· Ἰδοὺ ὁ βασιλεύς σου ἔρχεταί σοι ἐπιβεβηκὼς ἐπὶ πῶλον νέον. Καὶ ἕτερος· Ἐξ Αἰγύπτου ἐκάλεσα τὸν υἱόν μου. Καὶ ὁ πᾶς χορὸς τῶν προφητῶν καὶ πάντες οἱ πατριάρχαι περὶ τῆς ἐλεύσεως τοῦ Χριστοῦ ἐκήρυξαν.*

79 (16) *Καὶ ὁ Ἀρίσταρχος πάλιν εἶπεν· Οὗτος Ἰησοῦς Χριστὸς λέγεται. οἶδα γὰρ ὅτι Ἡσαίας χριστὸν εἴρηκεν· Τάδε λέγει κύριος τῷ χριστῷ μου κυρίῳ, καὶ οὐκ ἐκράτησα τῆς δεξιᾶς ἐπακοῦσαι· ἐπὶ σὲ ἔθνη ἐλπιοῦσιν. Οἱ δὲ Ἰουδαῖοι ἐμάχοντο τῷ Ἀριστάρχῳ Ὅτι φησὶν σὺ μᾶλλον ὑπέμνησας τὰ περὶ τοῦ Χριστοῦ γεγραμμένα. Καὶ πᾶς ὁ ὄχλος ἔλεγεν· •Τί πρὸς ταῦτα ἀντιφιλονεικῶμεν τῷ Φιλίππῳ; Καὶ οἱ τῆς πόλεως ἄρχοντες ἔλεγον· Πάντως ὁ θεὸς ἤγαγεν τὸν Φίλιππον εἰς τὴν πόλιν ἡμῶν, ἵνα δι' αὐτοῦ μάθωμεν ὅτι οἱ θεοὶ ἡμῶν εἴδωλα κωφὰ καὶ τυφλὰ καὶ ἀναίσθητά εἰσιν. ἀλλὰ καὶ ὁ Ἰουδαῖος ὁ συζητήσας αὐτῷ μᾶλλον | ἐφανέρωσεν τὴν ἀποκεκρυμμένην δόξαν ἐν τοῖς προφήταις περὶ τοῦ Χριστοῦ·* 234 B *διὸ δοκιμάσαντες τοὺς ἀμφοτέρων λόγους, καὶ ἰδόντες ὅτι διὰ πάντων ἀσφαλῶς ἐφανερώθη ὁ Χριστός, παρακαλέσωμεν τὸν*

[1] psalm 2, 7 ‖ [4] psalm 3, 1 ‖ [7] psalm 15 (16), 8 - 10; cf act 2, 25 [10] cf act 2, 27 ‖ [14] Zach 9, 9; cf Matth 21, 5 ‖ [15] Hos 11, 1; cf Matth 2. 15 ‖ [20] Ies 45, 1 ‖ [22] Ies 42, 4

---

[1] *φησιν compend V* ‖ *υἱός] ὁ υἱός Batiffol* ‖ [3] *περὶ - αὐτ. del?? post πάλιν (6) ponend??* ‖ *καὶ del?* ‖ [10] *μου Batiffol* ‖ [21] *Κύρῳ Iesaias* ‖ *καὶ οὐκ] οὗ Iesaias et Batiffol* ‖ [22] *ἐπακοῦσαι ⟨ἔμπροσθεν αὐτοῦ ἔθνη. Καὶ πάλιν· Ἔδωκα τὸ πνεῦμά μου ἐπ' αὐτὸν....⟩?* ‖ *ἐλπίζουσιν Batiffol* [23] *φασὶν Batiffol recte ut uidetur: φησιν (φησι?) compendio V* ‖ [25] *ἀντιφιλονεικοῦμεν Batiffol* ‖ [27–28] *οἱ θεοὶ - ἀλλὰ καὶ om Batiffol*

Φίλιππον ἵνα ἐν τῇ πόλει ἡμῶν τὸν πάντα χρόνον οἰκήσῃ εἰς ἡμετέραν σωτηρίαν.

80 (17) *Ὁ δὲ Ἶρεος ἦν ἐν ἀγαλλιάσει καρδίας ἐπὶ τοῖς ῥήμασι τοῦ Φιλίππου, ὁ δὲ Φίλιππος οὐ διελίμπανεν δοξάζων τὸν θεόν. ὡς δὲ οἱ ἄρχοντες τῆς πόλεως διέκρινον τὰ ῥήματα τοῦ τε ἀποστόλου καὶ τοῦ Ἰουδαίου, ἰδοὺ εἰσήχθη κλίνη ἐφ' ᾗ ἐπέκειτό τις νεκρός, μονογενὴς υἱὸς τῷ πατρὶ καὶ τῇ μητρὶ ὑπάρχων, πλούσιος σφόδρα· ἦσαν δὲ καὶ τῇ κλίνῃ προσέγγιστα δοῦλοι δέκα, οἳ καὶ ἔμελλον συγκατακαίεσθαι τῷ νεκρῷ. οἱ δὲ ἄρχοντες τῆς πόλεως καὶ πᾶς ὁ ὄχλος καταμαθόντες ὅτι ἀληθῶς ἐστι νεκρὸς ἔκραξαν· Νῦν ὄντως μέγας ἐστὶν ἀγὼν τῶν χριστιανῶν· εἰ γάρ τίς ἐστιν ἐν αὐτῷ θεός, ἀναστήσει αὐτόν, καὶ πάντες πιστεύσομεν εἰς αὐτόν· ἀλλὰ καὶ αὐτοὺς τοὺς ναοὺς μετὰ τῶν εἰδώλων κατακαύσομεν.*

81 (18) *Ὡς οὖν ταῦτα οὕτως διελογίζοντο, οἱ γονεῖς ἔκλαιον. σπλαγχνισθεὶς δὲ ὁ Φίλιππος εἶπεν τῷ πατρὶ τοῦ παιδὸς καὶ τῇ μητρί· Τί ποιήσητε ἐὰν τὸν υἱὸν ὑμῶν ἀναστήσω; Λέγουσιν αὐτῷ· Ὅπερ ἐὰν θέλῃς ποιήσομεν. Οἱ δὲ μέλλοντες κατακαίεσθαι δοῦλοι διένευον τῷ ἀποστόλῳ* | 435 B *μνησθῆναι αὐτῶν· νόμος γάρ τις ἄνομος ἦν ἐν αὐτοῖς, ὅταν γάρ τις ἐκ τῶν πλουσίων ἐτελεύτα, σὺν αὐτῷ καὶ δούλους καὶ δουλίδας κατακαίεσθαι· καὶ ἄλλα τινὰ χείρονα ἔπραττον, οἱ πολλοὶ δὲ αὐτῶν καὶ τὰς ἰδίας γυναῖκας συνανῄρουν.*

* 82 (19) *Εἶπεν οὖν ὁ Φίλιππος· Τοὺς δούλους τούτους δότε μοι. Οἱ δὲ γονεῖς εἶπον· Ἄλλους πλείους μετ' αὐτῶν καὶ ἀργύριον καὶ χρυσίον καὶ ἱματισμὸν δώσομέν σοι, καὶ πρὸς τούτοις πιστεύσομεν καὶ τῷ θεῷ σου, ὅτι θεὸς μόνος, δυνατὸς ὢν καὶ νεκροὺς ἀνιστᾶν. Προσέταξεν δὲ ὁ Φίλιππος τῷ ὄχλῳ ἀποστῆναι τῆς κλίνης, συνέθλιβον γὰρ ἀλλήλους· εἶπεν δὲ ὁ Φίλιππος πρὸς τὸν Ἀρίσταρχον· Ἄγε δὴ ὦ Ἰουδαῖε, ἰδοὺ ὅτι νεκρὸς κεῖται· εἰ οὖν τι δύνασαι, ἔγειρον αὐτόν. Καὶ ὑπὸ πάντων ἀναγκασθεὶς ὁ Ἀρίσταρχος μόλις προσῆλθεν τῷ νεκρῷ, καὶ ἥπτετο εἰς τὸ πρόσωπον αὐτοῦ, καὶ πολλὰ ἐνέπτυσεν αὐτόν, καὶ ἔσυρεν αὐτὸν ἀπὸ τῆς χειρός· καὶ οὐκ ἦν φωνὴ οὐδὲ ἀκρόασις τῷ νεκρῷ. καὶ ὡς οὐδὲν ἴσχυσεν, ἔκραξαν οἱ ὄχλοι· Ἄρατε τὸν Ἰουδαῖον ἐκ τοῦ μέσου. Καὶ ἀπέστη*

---

[4] *οὐκ ἔλιμπανεν Batiffol: cf* 20, 22 ‖ [12] <τοῦ ἀποστόλου> τῶν?? ‖ [17] ποιήσετε *Batiffol probabiliter* ‖ [18] θέλεις V ‖ [20] ὅτ. γ.] *scr* ὅτ' ἀνήρ? ‖ γὰρ *seclusit Batiffol* ‖ [33] ἧπτ.] *scr* ἐκύπτετο??? *cf Io* 163, 24 ‖ *scr* αὐτοῦ εἰς τὸ πρ.??? ‖ [34] αὐτόν *prius*] *scr* αὐτῷ?

αἰσχυνόμενος. ὁ Ἴρεος θαρσοποιηθεὶς εἶπεν· Ὦ ἄνδρες Ἰουδαῖοι οἱ ἐναντιούμενοι τῷ θεῷ διὰ παντός, ἐτολμήσατε βλασφημῆσαι λέγοντες ὅτι Μάγος ἐστὶν ὁ Φίλιππος· Εἰ μὴ ἦν φιλάνθρωπος καὶ ἀγαθὸς ὁ ἐν αὐτῷ θεός, ἄρα ἂν ἐθανατώθητε σὺν αὐτῷ.

83 (20) *Νηρεὺς δὲ ὁ τοῦ τεθνηκότος πατὴρ εἶπεν· Ἀναστήτω μόνον | ὁ υἱός μου, κἀγὼ κατὰ Ἰουδαίων ἀγωνίζομαι.* 236 B *Λέγει ὁ Φίλιππος· Ἐὰν μὴ ὁμολογήσῃς τοῦ μὴ ἀδικῆσαι Ἰουδαίους, οὐκ ἀναστήσεται ὁ υἱός σου. Ὁ δὲ πατὴρ τοῦ παιδὸς εἶπεν· Ποιῶ τὸ θέλημά σου. Ἐθαύμαζον δὲ πάντες οἱ ὄχλοι καὶ οἱ ἄρχοντες λογιζόμενοι τί ἄρα ποιήσει ὁ Φίλιππος, εἰ ἄρα δυνήσηται ἀναστῆσαι τὸν νεκρόν.*

84 (21) *Μὴ μελλήσας δὲ ὁ Φίλιππος, ἀναβλέψας εἰς τὸν οὐρανὸν καὶ προσελθὼν τῇ κλίνῃ ἔθηκεν τὰς χεῖρας ἐπὶ τὸν παῖδα, καὶ ηὔξατο λέγων· Ὁ θεὸς καὶ πατὴρ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ ἀεὶ ἐπακούων μου τῆς δεήσεως, ἐλθέτω καὶ νῦν ἡ δέησίς μου ἐνώπιόν σου, καὶ χάρισαι ζωὴν τῷ σῷ δούλῳ Θεοφίλῳ διὰ τὸν παρεστῶτα ὄχλον. Καὶ εὐθέως εἰσῆλθεν ἡ πνοὴ εἰς τὸν παῖδα, καὶ ἀνέῳξε τοὺς ὀφθαλμοὺς αὐτοῦ καὶ προσέσχεν τῷ Φιλίππῳ. οἱ δὲ ὄχλοι θεασάμενοι τὸ γεγονὸς ἔθλιβον ἀλλήλους ἐγγίζειν τὴν κλίνην θέλοντες ἰδεῖν τὸ θαῦμα. προσέθετο δὲ ὁ Φίλιππος ἐκ δευτέρου λέγων· Νεανία, ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ τοῦ σταυρωθέντος ἐπὶ Ποντίου Πιλάτου, ἔγειρε. Καὶ εὐθέως ὁ Θεόφιλος ἀνεπήδησε τῆς κλίνης καὶ ἔκραξεν· Εἷς θεὸς ὁ Φιλίππου, Ἰησοῦς Χριστός, ὃς ἔδωκέν μοι τὸ ζῆν. Ὡς δὲ οἱ ὄχλοι ἐθεάσαντο τὸν παῖδα ἑστῶτα, ὡς ἐν μιᾷ φωνῇ ἔκραξαν· Εἷς θεὸς ὁ Φιλίππου ὁ τοὺς νεκροὺς ἀνιστῶν. Διεκρίνοντο δὲ εἰς ἀλλήλους καὶ ἔλεγον· Ποῖον λοιπὸν θαῦμα μεῖζον ἔχομεν ἰδεῖν; |*

85 (22) *Ἀπὸ δὲ τοῦ θαύματος τούτου ἐκέλευσεν ὁ Φί-* 237 B *λιππος τῷ πατρὶ τοῦ παιδὸς ἐνέγκαι τοὺς δούλους, οὓς εἶπεν ἐλευθεροῦν. ἐλθόντες δὲ ἐν τῷ τόπῳ ὅπου ἦν ὁ παῖς ἐγηγερμένος, ἀπιδὼν ὁ ἀπόστολος τοῦ Χριστοῦ εἰς αὐτοὺς εἶπεν· Οἱ δοῦλοι μέχρι σήμερον, νῦν δὲ ἐλεύθεροι διὰ Χριστόν, μὴ ἀμελήσητε τῆς ἑαυτῶν σωτηρίας. Ὁ δὲ πατὴρ τοῦ παιδὸς*

---

[1] ὅ] ὁ δὲ *Batiffol:* ⟨*ταῦτα δὲ θεασάμενος*⟩ ὅ? ‖ [4] ⟨*οὐκ*⟩ *ἄρα* ... *αὐτῷ;??* (*σὺν αὐτῷ utique de adulescentemortuo*) ‖ [11–12] *del εἰ - νεκρόν??* ‖ [12] *δυνήσεται Batiffol probabiliter* ‖ [16] *ἐλθάτω Batiffol* ‖ [21] *scr τῇ κλίνῃ??* ‖ ⟨*καὶ*⟩ *uel* ⟨*τοῦ*⟩ *ἰδεῖν???*

καὶ ἡ μήτηρ ἠγαλλιάσαντο ἐπ' αὐτοῖς, καὶ ὅτι τελείως εἶδον τὸν υἱὸν αὐτῶν ἐγηγερμένον.

Ἐπεὶ δὲ τούτῳ τῷ τρόπῳ ἐπίστευσαν ἅπαντες εἰς τὸν
86 *κύριον ἡμῶν Ἰησοῦν Χριστόν,* 86 (23) *καὶ τῇ ἕωθεν ἤρξατο*
ὁ Φίλιππος κατηχεῖν καὶ βαπτίζειν εἰς τὸ ὄνομα τῆς ἁγίας καὶ ὁμοουσίου τριάδος, καὶ λαβὼν τὸν Ἴρεον καὶ τοὺς πρώτους τῆς πόλεως περιῄει καταλύων τὰ ἱερὰ τῶν εἰδώλων καὶ ἀνοικοδομῶν ἐκκλησίας ἱεράς, χειροτονῶν πρεσβυτέρους καὶ κληρικούς, καὶ κανόνας ἐκθέμενος αὐτοὺς καὶ τύπους εἰς δόξαν Χριστοῦ, ἐμεγαλύνοντο καὶ ἐκρατύνοντο τῇ πίστει.

Πρᾶξις ζ' περὶ Νερκέλλας Ἰρέου εἰς Νικάτηραν.

87 (1) *Νερκέλλα δὲ ἡ τοῦ Ἰρέου γυνὴ καὶ ἡ θυγάτηρ*
238 B *αὐτῆς Ἀρτεμήλα | ἐχάρησαν ἐπὶ τῷ Φιλίππῳ, καὶ παρεκάλουν*
αὐτὸν εὐλογῆσαι αὐτάς. καὶ λέγει ὁ Φίλιππος· Ἰδοὺ τὸ αἴτημα ὑμῶν δίδωσιν ὑμῖν Ἰησοῦς Χριστός, καὶ εὐλογία ἐν ταῖς ψυχαῖς ὑμῶν.

88 (2) *Ὁ δὲ Ἴρεος εἶπεν τῷ Φιλίππῳ· Ποῦ θέλεις οἰκοδομήσωμεν συναγωγὴν καὶ ἐπισκοπεῖον ἐπὶ τῷ ὀνόματι τοῦ Χριστοῦ; Ὁ δὲ ἀπόστολός φησι· Ἐν ᾧ αὐτὸς οἶδας τέκνον· μόνον ἐκ τῶν σῶν ὑπαρχόντων καὶ μὴ ἐξ ἀδικίας. Λέγει ὁ Νηρεὺς ὁ τοῦ ἐγηγερμένου πατήρ· Καταξιώσατε ἐμὲ μᾶλλον οἰκοδομῆσαι. Καὶ ἦν χαρὰ μεγάλη, καὶ οὐκ ἠδύνατο χωρεῖν ἡ οἰκία τοὺς εἰσερχομένους ὄχλους. καὶ ἐξελθὼν ὁ Ἴρεος καὶ Νηρεὺς ἐκ τῆς οἰκίας συνεβουλεύσαντο μετ' ἀλλήλων περὶ τῆς οἰκοδομῆς, καὶ λέγουσι· Βάλωμεν κλήρους περὶ τοῦ τόπου ἐν ᾧ οἰκοδομήσωμεν, εἴτε ἐν τῷ σῷ τόπῳ, εἴτε ἐν τῷ ἐμῷ. Ὁ δὲ Ἴρεος ἔφη· Ἀγαθώτατε Νηρεῦ, εἰ θέλεις ἐν τῷ σῷ τόπῳ γενέσθαι τὴν οἰκοδομήν, οὐ λυπῶ σε· μόνον τὸ θέλημα τοῦ θεοῦ γινέσθω. Καὶ χρηματισθέντες καθ' ὃν ἔδει τρόπον οἰκοδομῆσαι, ἀνάλωσαν πολὺ χρυσίον οἱ δύο, καὶ τὸ πλῆθος τῶν ἀδελφῶν ἔχαιρεν ἐν τῇ σπουδῇ τῆς οἰκοδομῆς.*

89 (3) *Μόνοι δὲ οἱ Ἰουδαῖοι ἦσαν ζηλοῦντες, ἔλεγον δὲ εἰς ἑαυτοὺς ὅτι Οὐδεμίαν πρόφασιν ἔχομεν τοῦ κωλῦσαι αὐτοὺς*

---

[1] ἐπ' α.] scr ἐπὶ τούτοις? ‖ [2] αὐτῶν] αὐτὸν V corr Batiffol ‖ [4–10] καὶ τῇ - Χριστοῦ subditiua debebant ante 3 ἐπεὶ δὲ poni ‖ [9] αὐτοῖς Batiffol recte ut uid ‖ [11] Νερκέλας Batiffol ‖ Νικάτηρα Batiffol ‖ [12] Νερκέλα Batiffol ‖ [26] οἰκοδομήσομεν Batiffol ‖ [29] scr γενέσθω? ‖ scr τόπον? cf 25 ‖ [30] πολλοὶ V: corr Batiffol

διὰ τὰ θαυμάσια τοῦ Φιλίππου· ἀλλ᾽ ἀποστῶμεν, μή τι κακὸν πάθωμεν ὑπ᾽ αὐτοῦ, ὡς καὶ ὁ Ἀρίσταρχος ἐπλήγη, καὶ δεηθέντων ἡμῶν ἰάσατο | αὐτόν. ἀναχωρήσωμεν οὖν ἀπ᾽ αὐτῶν· 239 B
δόξα γὰρ θεοῦ ἐστιν ἀληθῶς ἐπ᾽ αὐτούς.

90 (4) *Μετὰ δὲ ταῦτα εἰσῆλθεν ὁ Φίλιππος εἰς τὴν οἰκοδομὴν καὶ ἠγαλλιάσατο· ἅπαντες δὲ οἱ πιστεύσαντες ἀπήρχοντο πρὸς αὐτὸν εἰς τὴν συναγωγήν, καὶ ἐδιδάσκοντο ὑπ᾽ αὐτοῦ. ἔλεγεν δὲ αὐτοῖς· Ἀδελφοί μου, θέλω ἵνα ἡ εὐωδία ὑμῶν τῆς πίστεως γένηται ἐν παντὶ τόπῳ κατάδηλος· ἐξάρατε οὖν ἀφ᾽ ὑμῶν πᾶσαν κακίαν καὶ πᾶσαν πονηρίαν καὶ ἀδικίαν καὶ ζῆλον καὶ ἔριν καὶ φθόνον καὶ φιλονεικίαν, ἵνα εὑρεθῆτε πραεῖς ἐν τῇ πίστει, καὶ ἐν τοῖς ἀγαθοῖς ἔργοις δόκιμοι. γινώσκω γὰρ ὅτι οὐ μὴ ἐκπέσητε τῆς ἐλπίδος τοῦ Χριστοῦ, καὶ οὐκ ἐγκαταλείψει ὑμᾶς εἰς τοὺς αἰῶνας· αὐτὸς γὰρ κατευθυνεῖ τὰς ὁδοὺς ὑμῶν ἐνώπιον αὐτοῦ.*

91 (5) *Ταῦτα δὲ εἰπὼν ὁ Φίλιππος ἐκράτησεν τὸν Ἴρεον, καὶ κατέστησεν αὐτὸν ἐπίσκοπον, καὶ ἐστήριξεν αὐτὸν ἐφ᾽ οἷς ἤκουσεν καὶ ἐφ᾽ ἅπασιν οἷς ἐθεάσατο. καὶ εἶπεν αὐτῷ ὁ Φίλιππος· Εἰρήνη ἐπὶ σὲ ἡ δοθεῖσα ἡμῖν παρὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ ἔλεος. Καὶ ἐπεφώνησαν ἅπαντες οἱ ἀδελφοί· Ἄξιος, ἄξιος, ἄξιος. Καὶ ἐπηύξατο ὁ Φίλιππος τῷ Ἰρέῳ, ἵνα γένηται πραότης ἐν αὐτῷ, καὶ ἵνα δυνηθῇ ποιμᾶναι τοὺς ἀδελφοὺς ἐν πίστει, καὶ πᾶν αἴτημα ἀγαθὸν ὃ ἐὰν αἰτήσηται παρὰ τοῦ θεοῦ δοθήσεται. καὶ στραφεὶς εἶπεν τοῖς ἀδελφοῖς· Ὑμεῖς οὖν τέκνα | δουλεύσατε αὐτῷ ἐν ὑποταγῇ, φανεροῦντες* 240 B
ἐνώπιον αὐτοῦ ὡς πατρὶ τοὺς λογισμούς. καὶ ἡ εἰρήνη τοῦ θεοῦ ἔστω μεθ᾽ ὑμῶν πάντοτε· ἐγὼ γὰρ πορεύομαι.

92 (6) *Ὡς δὲ ταῦτα ἤκουσαν οἱ ἀδελφοὶ ἐστέναξαν καὶ ἔκλαυσαν σφόδρα, ὅτι εἶπεν αὐτοῖς Πορεύομαι· Οὐ γὰρ ἤθελον αὐτὸν ἀπ᾽ αὐτῶν ἀπελθεῖν. λέγει αὐτοῖς ὁ Φίλιππος· Μὴ ὀδυνᾶσθε τῇ καρδίᾳ· ὥσπερ γὰρ ὁ κύριος ἡμῶν ᾠκονόμησεν ἐλθεῖν με πρὸς ὑμᾶς, οὕτως καὶ εἰς ἄλλας πόλεις ἀπέρχομαι, ἵνα πληρώσω τὸ θέλημα τοῦ Χριστοῦ· ὁ δὲ κύριος ἔσται μεθ᾽ ὑμῶν.*

93 (7) *Καὶ ταῦτα εἰπὼν ηὔξατο μετ᾽ αὐτῶν, καὶ ἠσπάσατο πάντας, καὶ ἐξῆλθεν ἀπ᾽ αὐτῶν, καὶ οἱ μαθηταὶ αὐτοῦ μετ᾽ αὐτοῦ, καὶ πολὺ πλῆθος, ὡς γεμίσαι καμήλους ἄρτους καὶ*

[23] cf Matth 21, 22 Luc 11, 9

---

[1] *κακῶν V* ‖ [13] *ἐκπεσεῖσθε Batiffol* ‖ [32] *οὕτω Batiffol* ‖ [37] *γεμίσαι <ι>? cf 36, 4; 39, 31*

διάφορα βρώματα· καὶ ἐπὶ σταδίοις εἴκοσι ἦσαν ἀκολουθοῦντες. καὶ λέγει αὐτοῖς· Ἵνα τί σκύλλεσθε; Οἱ δὲ εἶπον· Ἕως οὗ ἴδωμεν τὸ πλοῖον ἐν ᾧ ἐπιβῆναι μέλλεις ἀκολουθήσομέν σοι. Καὶ λέγει αὐτοῖς· Μακρόθεν ἐστίν. Ἔλαβεν δὲ μόνον ἄρτους ε', ἐπονομάσας τὸν Ἰησοῦν, καὶ προσέταξεν αὐτοὺς ἐπανακάμψαι εἰς τὴν πόλιν αὐτῶν μετὰ τῶν καμήλων καὶ τῆς πολλῆς αὐτῶν ἑτοιμασίας. καί φησι· Πορεύεσθε ἐν εἰρήνῃ, καὶ προσεύχεσθε περὶ ἐμοῦ πρὸς τὸν Χριστόν, ἵνα κατευθύνῃ τὴν ὁδόν μου ἐνώπιον αὐτοῦ ἐν εἰρήνῃ· καὶ ἡ δόξα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος | 241 B ἔσται μεθ' ὑμῶν εἰς αἰῶνας. Καὶ πεσόντες πάντες ἐπὶ πρόσωπον προσεκύνησαν τρίτον τῷ ἀποστόλῳ· ὁρμήσαντος δὲ τοῦ ἀποστόλου τὴν ἑαυτοῦ ὁδὸν ἔπεσον πάλιν ἅπαντες ἐπὶ πρόσωπον αὐτῶν ἐπὶ τὴν γῆν, ἕως οὗ ἀπέδυ ἀπὸ τῶν ὀφθαλμῶν αὐτῶν· κείμενοι δὲ ἐπὶ τοῦ ἐδάφους ἐβόων· Εὐλόγησον ἡμᾶς διδάσκαλε καὶ ὁδηγὲ τῶν ψυχῶν ἡμῶν. Καὶ ὅτε ἀπεδήμησεν ὥστε μὴ ὁρᾶσθαι αὐτὸν ὑπὸ τῶν ὀφθαλμῶν αὐτῶν, ἀναστάντες ἐπορεύοντο εἰς τὰ οἰκεῖα κλαίοντες καὶ ὑπομιμνησκόμενοι τῆς καλλίστης καὶ γλυκείας διδαχῆς τοῦ ἀποστόλου Χριστοῦ Φιλίππου, καὶ τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν δοξάζοντες.

Πρᾶξις η', ὅπου ὁ ἔριφος καὶ ὁ λεόπαρδος ἐν τῇ ἐρήμῳ ἐπίστευσαν.

94 (1) Ἐγένετο δὲ ὅτε ὁ σωτὴρ ἐμέρισεν τους ἀποστόλους κατὰ πόλιν καὶ χώραν, καὶ ἐπορεύθη εἷς ἕκαστος κατὰ τὴν πρόσταξιν ἣν διετάξατο αὐτῷ ὁ κύριος, καθὼς καὶ τὸν κλῆρον διένειμεν αὐτοῖς, ἔλαχεν ἀπελθεῖν καὶ τὸν Φίλιππον εἰς τὴν γῆν τῶν Ἑλλήνων. ἀκούσας δὲ ὁ Φίλιππος τὸ ὄνομα τῆς χώρας καὶ τῆς πόλεως τῆς κεκληρωμένης αὐτῷ, σκληρὸν αὐτῷ | 242 B ἐφάνη, καὶ ἔκλαιεν. ἡ δὲ Μαριάμνη ἡ τούτου ἀδελφή — αὕτη γάρ ἐστιν ἡ ἑτοιμάζουσα τὸν ἄρτον καὶ τὸ ἅλας ἐν τῇ κλάσει τοῦ ἄρτου, ἡ δὲ Μάρθα ἐστὶν ἡ διακονοῦσα τοῖς πλήθεσι καὶ κοπιῶσα σφόδρα — ἰδοῦσα τὸν ἴδιον ἀδελφὸν βαρέως φέροντα τὸν λαχόντα αὐτῷ κλῆρον, καὶ ὅτι σφοδρῶς ἔκλαιε περὶ τούτου, προσῆλθεν τῷ Ἰησοῦ λέγουσα· Κύριέ μου Ἰησοῦ

29 et 31 cf Luc 10, 38 ss

16 *αὐτῶν V* ‖ 19 *⟨τοῦ⟩ Χρ.?? cf 4, 5* ‖ 27 *Ἑλλ.] Ὀφιανῶν uolt Batiffol (cf 37, 26) sed cf Stoelten et Lipsius Jahrb f prot Theol XVII (1891) p 157 et p 468*

Χριστέ, οὐχ ὁρᾷς τὸν ἀδελφόν μου Φίλιππον οσον λελύπηται διὰ τὴν χώραν τῶν Ἑλλήνων;

95 (2) *Λέγει αὐτῇ ὁ σωτήρ· Οἶδα ἐκλελεγμένη γυναικῶν, οἶδα· ἀλλὰ πορεύου μετὰ τοῦ ἀδελφοῦ σου εἰς πάντα τόπον ὅπου ὑπάγει καὶ γενοῦ παραθαρρύνουσα αὐτῷ· οἶδα γὰρ ὅτι ἄνθρωπος τολμηρός ἐστι καὶ ὀργίλος, καὶ ἐὰν ἀφῶμεν αὐτὸν μόνον, πολλὰς ἀνταποδόσεις ποιήσει τοῖς ἀνθρώποις. ἀλλ' ἰδοὺ καὶ τὸν Βαρθολομαῖον καὶ Ἰωάννην ἀποστελῶ ἐν τῇ πόλει ἐκείνῃ συγκακοπαθῆσαι αὐτὸν διὰ τὴν πολλὴν πονηρίαν τῶν οἰκούντων ἐκεῖσε· οἱ γὰρ ἄνθρωποι ἐκεῖνοι λατρεύουσι τῇ ἐχίδνῃ μητρὶ τῶν ὄφεων. καὶ σὺ Μαριάμνη ἄλλαξόν σου τὴν ἰδέαν καὶ ὅλον τὸ εἶδος τὸ γυναικεῖον, καὶ βάδιζε ὁμοίως μετὰ Φιλίππου. Εἶτα λέγει ὁ Ἰησοῦς τῷ Φιλίππῳ· Εἰς τί ἐδίστασας ὦ Φίλιππε; οὐκ ἤκουσας τῆς διδαχῆς μου· Ἰδοὺ ἀποστέλλω ὑμᾶς ὡς πρόβατα ἐν μέσῳ λύκων; Μὴ οὖν φοβηθῇς αὐτῶν τὴν ἀγριότητα. συνέσομαί σοι ἀεὶ βοηθῶν καὶ ἀντιλαμβανόμενος. ἰδοὺ ἀποστέλλω ὑμᾶς ὡς ἐμοὺς μαθητάς· ἀποστέλλω ὑμᾶς ὡς ἀκτῖνας ἐγὼ ὁ | τῆς δικαιοσύνης ἥλιος.* 243 B *μεθ' ὑμῶν εἰμι ἐν παντὶ τόπῳ· ἐν ποταμοῖς καὶ ἐν θαλάσσαις ἔσομαι ὑμῶν καλὸς κυβερνήτης. νῦν οὖν Φίλιππε μὴ ἐκκακήσῃς ἀγαθοποιεῖν ἐν τῷ ποιοῦντί σε κακόν, καὶ ἡ χάρις τοῦ πνεύματός μου κατευθυνεῖ σου τὰς τρίβους ἐν παντὶ τόπῳ καὶ πόλει καὶ χώρᾳ.*

96 (3) *Ταῦτα ἀκούσας ὁ Φίλιππος καὶ Βαρθολομαῖος καὶ Μαριάμνη, ἀσπασάμενοι τὴν δεξιὰν τοῦ σωτῆρος, ἐπορεύοντο εἰς τὴν χώραν τῶν Ὀφιανῶν. ὡς δὲ ἀνέβησαν εἰς τὴν ἔρημον τῶν δρακαινῶν, ὡς ἦσαν ἐκεῖ βαδίζοντες, ἰδοὺ μέγας λεόπαρδος ἐξῆλθεν ἀπὸ τῶν δρυμῶν τῶν ἐν τῷ ὄρει· καὶ ἰδὼν τοὺς ἀποστόλους κυρίου δραμὼν ἔρριψεν ἑαυτὸν ἐπὶ τοὺς πόδας αὐτῶν, καὶ φωνῇ ἀνθρωπίνῃ ἐλάλησε πρὸς αὐτούς· Προσκυνῶ ὑμᾶς ὦ δοῦλοι τοῦ θείου μεγέθους καὶ ἀπόστολοι τοῦ μονογενοῦς υἱοῦ τοῦ θεοῦ, προστάξατέ μοι τελείως λαλεῖν.*

97 (4) *Καὶ ὁ Φίλιππος· Ἐν τῳ ὀνόματι Ἰησοῦ Χριστοῦ, λάλει. Καὶ ὁ λεόπαρδος ἀναλαβὼν τελείαν ἀνθρωπίνην φωνὴν ἤρξατο λέγειν· Ἄκουέ μου Φίλιππε νυμφαγωγὲ τοῦ θείου*

[14] Matth 10, 16

---

[5] *παραθαρσύνουσα Batiffol* ‖ [8] *ἀποστέλω Batiffol: scr ἀποστέλλω? cf 17; 18; 23, 17* ‖ [9] *αὐτῷ Batiffol recte ut uid* ‖ [27] *δρακενῶν V Δρακενῶν Batiffol; item Lipsius l s p 466: cf 38, 2* ‖ [29] *<τοῦ> κυρίου? cf 4, 5*

λόγου· ἐγένετο ἐν τῇ πρώτῃ νυκτί, παρῆλθον δια τῆς αγέλης τῶν αἰγῶν τῶν ἐξ ἐναντίας τοῦ ὄρους τῆς δρακαίνης μητρὸς τῶν ὄφεων, καὶ ἥρπασα ἔριφον· ὡς δὲ εἰσῆλθον εἰς τὸν δρυμὸν φαγεῖν αὐτόν, μετὰ τὸ πλῆξαί με αὐτόν, ἔλαβεν φωνὴν ἀνθρωπίνην καὶ ἔκλαυσεν ὡς παιδίον μικρόν, λέγων μοι· Ὦ 244 B λεόπαρδε | ἆρον ἀπὸ σοῦ τὴν ἀγρίαν καρδίαν καὶ τὸ θηριῶδες τῆς γνώμης, καὶ περιποίησον αὐτῷ ἡμερότητα· ὅτι οἱ ἀπόστολοι τοῦ θείου μεγέθους παρέρχεσθαι μέλλουσι διὰ τῆς ἐρήμου ταύτης, τελέσαι τελείως τὴν ἐπαγγελίαν τῆς δόξης τοῦ μονογενοῦς υἱοῦ τοῦ θεοῦ. Ἐν τούτοις οὖν τοῖς λόγοις τοῦ ἐρίφου νουθετοῦντός με ἠπόρουν ἐν ἑαυτῷ, καὶ κατὰ μικρὸν ἠλλάγη μου ἡ καρδία, καὶ ἡ ἀγριότης μου ἐστράφη εἰς ἡμερότητα, καὶ ἐφεισάμην τοῦ φαγεῖν αὐτόν. καὶ ὡς ἤμην ἀκροώμενος τῶν λόγων αὐτοῦ, ἐπάρας τοὺς ὀφθαλμούς μου εἶδον ὑμᾶς παρερχομένους, καὶ ἐπέγνων ὅτι δοῦλοί ἐστε τοῦ ἀγαθοῦ θεοῦ. ἰδὼν οὖν ἐγγίζοντας, ἐάσας τὸν ἔριφον, ἦλθον προσκυνῆσαι ὑμᾶς. νῦν οὖν παρακαλῶ σε ἀπόστολε Χριστοῦ Φίλιππε ἵνα δώσῃς μοι ἐξουσίαν κτήσασθαι παρρησίαν, καὶ συμπορευθῶ μετὰ σοῦ εἰς πάντα τόπον ὅπου ἐὰν ἀπέρχῃ, καὶ ἵνα ἀποθῶμαι τὴν θηριώδη φύσιν.

98 (5) Ὁ δὲ ἀπόστολος εἶπεν πρὸς τὸν λεόπαρδον· Ποῦ ἐστιν ὁ ἔριφος; Καί φησιν· Ἰδοὺ ἔρριπται ὑπὸ τὴν δρῦν κατέναντι. Λέγει ὁ Φίλιππος τῷ Βαρθολομαίῳ· Ἀπέλθωμεν ὅπως ἴδωμεν τὸν πεπληγμένον ἰαθέντα καὶ θεραπεύοντα τὸν πλήξαντα. Ἐπιτρέψαντος δὲ τοῦ Φιλίππου ὁ λεόπαρδος ὡδήγει τὸν Φίλιππον καὶ τοὺς μετ' αὐτοῦ, καὶ ἤγαγεν αὐτοὺς ὅπου ἦν ὁ ἔριφος κείμενος.

99 (6) Λέγει οὖν ὁ Φίλιππος καὶ ὁ Βαρθολομαῖος· Ἰδοὺ 245 B ἐγνώκαμεν | ἀληθῶς ὅτι οὐκ ἔστιν ὑπερβαίνων τις τὴν σὴν εὐσπλαγχνίαν φιλάνθρωπε Ἰησοῦ· προλαμβάνεις γὰρ ἡμᾶς καὶ διελέγχεις διὰ τούτων τῶν ζῴων ἵνα μᾶλλον πιστεύσωμεν καὶ πληρώσωμεν σπουδῇ τὸ παρατεθὲν ἡμῖν. νῦν οὖν κύριε Ἰησοῦ Χριστὲ ἐλθὲ καὶ παράσχου ζωὴν καὶ πνοὴν καὶ σύστασιν βεβαίαν εἰς τὰ ζῷα ταῦτα, ἵνα καταλείψωσι μὲν τὴν θηριώδη φύσιν καὶ τὴν κτηνώδη, ἔλθωσι δὲ εἰς ἡμερότητα, καὶ μηκέτι φάγωσι σάρκας, μηδὲ ὁ ἔριφος τροφὴν κτηνῶν·

---

1 scr πρώην?? ‖ 2 δρακένης V Δρακένης Batiffol et Lipsius sed cf idem p 468: cf etiam 37, 27 ‖ 4 πλέξαι Batiffol: cf 24 et Lipsius l s p 459 ‖ 6 ἄρου Batiffol ‖ 7 scr περιποίησαι ἑαυτῷ? cf 48, 25 ‖ 18 δῷς Batiffol: fort scr δώσεις sed cf 29, 32 ‖ 25 ἐπιστρέψαντος Batiffol

καρδία δὲ ἀνθρωπίνη γενέσθω ἐν αὐτοῖς, καὶ ἀκολουθήσουσιν ἡμῖν ὅπου ἂν πορευώμεθα, ἐσθίοντα ἅπερ ἡμεῖς ἐν τῇ δόξῃ σου, καὶ ἵνα λαλῶσιν ὁμοιότητα ἀνθρώπων, δοξάζοντα τὸ ὄνομά σου.

100 (7) Ἐν αὐτῇ δὲ τῇ ὥρᾳ ἀναστάντα τὰ ζῷα, ὅ τε λεόπαρδος καὶ ὁ ἔριφος, ἐπῆραν τοὺς ἐμπροσθίους πόδας, καὶ ἐδόξασαν τὸν θεόν, καὶ εἶπον ἀνθρωπίνῃ φωνῇ· Δοξάζομεν καὶ εὐλογοῦμέν σε, ὁ ἐπισκεψάμενος ἡμᾶς καὶ μνησθεὶς ἡμῶν ἐν τῇ ἐρήμῳ ταύτῃ καὶ τὴν φύσιν ἡμῶν τὴν θηριώδη καὶ ἀγρίαν μετενέγκας εἰς ἡμερότητα, καὶ ἐχαρίσω ἡμῖν τὸν θεῖον λόγον, καὶ ἔθηκας ἐν ἡμῖν γλῶσσαν καὶ νόημα τοῦ εἰπεῖν καὶ ὁμολογῆσαι τὸ ὄνομά σου, ὅτι μεγάλη ἐστὶν ἡ δόξα σου.

101 (8) Μετὰ δὲ τοὺς λόγους τούτους πεσόντες εἰς τὴν γῆν ἐπὶ πρόσωπον ὅ τε λεόπαρδος καὶ ὁ ἔριφος προσεκύνησαν τῷ Φιλίππῳ καὶ τῷ Βαρθολο|μαίῳ καὶ τῇ Μαριάμνῃ· καὶ 246 B ἐν αὐτῇ τῇ ὥρᾳ ἐδόξασαν τὸν θεὸν οἱ ἀπόστολοι καὶ προσέταξαν ἵνα ὁ ἔριφος καὶ ὁ λεόπαρδος συμπορευθῶσι μετ' αὐτῶν καὶ φθάσωσιν εἰς τὴν πόλιν ὅπου ἀπέρχονται καθὼς ἀπεκάλυψεν αὐτοῖς ὁ σωτήρ· καὶ ἐπορεύθησαν ἅμα αἰνοῦντες καὶ δοξάζοντες τὸν θεόν. ἀμήν.

Πρᾶξις θ' περὶ τοῦ ἀναιρεθέντος δράκοντος.

102 (1) Ἐγένετο δὲ τῶν ἀποστόλων συμπορευομένων μετ' ἀλλήλων, τοῦ τε Φιλίππου καὶ τοῦ Βαρθολομαίου καὶ τῆς Μαριάμνης καὶ τοῦ λεοπάρδου καὶ τοῦ ἐρίφου, ἐπορεύθησαν ὁδὸν ἡμερῶν πέντε, καὶ μετὰ τὰς ἐν μεσονυκτίῳ προσευχὰς πρωΐας κατὰ τὴν ὁδὸν γενομένης ἰδοὺ ἐξαίφνης ἔπνευσεν ἄνεμος μέγας καὶ γνοφώδης, καὶ ἀπ' αὐτοῦ τοῦ γνόφου ἐπέδραμεν ἐπὶ τοὺς δούλους τοῦ θεοῦ γνοφώδης δράκων μέγιστος, τὸν νῶτον ἔχων μεμελανωμένον, ἡ δὲ κοιλία αὐτοῦ ἄνθρακες χαλκοῦ ὄντες ἐν σπινθηρισμοῖς πυρός, τὸ σῶμα αὐτοῦ ἐκτεταμένον ὑπὲρ πήχοις ρ'· καὶ ἠκολούθει αὐτῷ πλῆθος ὄφεων καὶ πλῆθος ἐκγόνων τῶν ὄφεων· καὶ ἐκ πολλοῦ διαστήματος ὅλος ὁ τῆς ἐρημίας τόπος ἐσαλεύετο. |

---

1 *ἀκολουθήσωσιν Batiffol* ‖ 2 *πορευόμεθα Batiffol* ‖ 3 *<καθ'> ὁμοιότητα?? cf 24, 35; 70, 15; 72, 16* ‖ 28 *del γνοφώδης? cf 27* ‖ 29 *post αὐτοῦ lacunam significat Batiffol* ‖ 30 *χ. ὄ.] scr χαλκεύοντος?* ‖ 31 *πήχεις Batiffol probabiliter* ‖ 33 *ὅλως V Batiffol*

247 B 103 (2) Ἰδὼν οὖν ὁ Φίλιππος λέγει τῷ Βαρθολομαίῳ καὶ τῇ Μαριάμνῃ· Ἄρτι χρεία ἡμῖν βοηθείας τῆς παρὰ τοῦ σωτῆρος· μνημονεύσωμεν τοῦ ῥήματος τοῦ Χριστοῦ ὃς ἐξαπέστειλεν ἡμᾶς καὶ εἶπεν· Μηδὲν φοβηθῆτε, μήτε διωγμόν, μήτε τοὺς ὄφεις τῆς χώρας ἐκείνης, μήτε τὸν ζοφερὸν δράκοντα. Στῶμεν οὖν ὥσπερ στῦλοι ἐστηριγμένοι ἐνώπιον τοῦ θεοῦ, καὶ καταργηθήσεται πᾶσα ἡ τοῦ ἐχθροῦ δύναμις, καὶ πεσεῖται ἡ ἀπειλὴ αὐτοῦ. εὐξώμεθα οὖν καὶ ῥαντίσωμεν ἐν τῷ ποτηρίῳ τὸν ἀέρα, καὶ ἠρεμήσει οὗτος ὁ ζοφερός, καὶ ὁ καπνὸς κατασταθήσεται.

104 (3) Λαβόντες οὖν τὸ ἑαυτῶν ποτήριον ἐπηύξαντο οὕτως· Σὺ εἶ ὁ δροσίζων πᾶσαν πυρὰν καὶ χαλινῶν σκότος καὶ βάλλων χαλινὸν εἰς τὸ στόμα τοῦ δράκοντος, ὁ καταργήσας αὐτοῦ τὴν ὀργήν, ὁ ἀποστρέψας εἰς τὰ ὀπίσω τὴν πονηρίαν τοῦ ἀλλοτρίου καὶ καταποντίσας αὐτὸν ἐν τῷ ἰδίῳ πυρί, ὁ κλείσας τὸν φωλεὸν αὐτοῦ καὶ ἀσφαλισάμενος τὰς ἐκβάσεις αὐτοῦ καὶ κολαφίζων τὴν ὑπερηφανίαν αὐτοῦ· ἐλθὲ μεθ' ἡμῶν ἐν τῇ ἐρημίᾳ ταύτῃ· τρέχομεν γὰρ διὰ τὸ θέλημά σου καὶ διὰ τὸ σὸν πρόσταγμα.

105 (4) Καὶ στραφεὶς ὁ Φίλιππος λέγει τῷ Βαρθολομαίῳ καὶ τῇ Μαριάμνῃ· Νῦν ἀναστάντες ἐπάρατε τὰς χεῖρας μετὰ τοῦ ποτηρίου τοῦ κρατουμένου ὑφ' ὑμῶν, καὶ ῥαντίσατε ἐπὶ τὸν ἀέρα τὸ σημεῖον τοῦ σταυροῦ, καὶ ἴδητε τὴν δόξαν τοῦ δυνατοῦ.

106 (5) Καὶ εὐθέως ἐγένετο ὡς ἀστραπὴ πυρός, καὶ
248 B κατετύφλωσε τὸν | δράκοντα καὶ τοὺς ἐν αὐτῷ θῆρας. ἐξηράνθη δὲ παραχρῆμα καὶ ὁ δράκων καὶ οἱ ὄφεις, καὶ αἱ τοῦ φωτὸς ἀκτῖνες ἦλθον εἰς τὰς ὀπὰς τῶν φωλεῶν καὶ συνέτριψαν τὰ ᾠὰ τῶν ὄφεων. οἱ δὲ ἀπόστολοι συνεκάλυψαν τοὺς ὀφθαλμούς, μὴ δυνηθέντες ἀντιβλέψαι εἰς τὸ θαῦμα τὸ φανὲν τῆς ἀστραπῆς. καὶ οὕτως διῆλθον ἀβλαβεῖς τὴν ἑαυτῶν ὁδὸν πορευθέντες, αἰνοῦντες τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν. ἀμήν.

---

9 οὗτος] *scr* ὁ ἀτμὸς?? ‖ 12 χαλινῶν *corrupt uid* (*cf* 13): *scr* χαλῶν?? ‖ 12 οὕτω *Batiffol* ‖ 13 βάλων *V* ‖ 31 οὕτω *Batiffol*

Ἐκ τῶν περιόδων Φιλίππου τοῦ ἀποστόλου 75 T
ἀπὸ πράξεως πεντεκαιδεκάτης μέχρι τέλους, ἐν αἷς τὸ μαρτύριον.

107 (1) *Κατὰ τὸν καιρὸν ἐκεῖνον Τραϊανοῦ τοῦ βασιλέως παρειληφότος τὴν τῶν Ῥωμαίων ἀρχήν, μετὰ τὸ μαρτυρῆσαι ἐν ὀγδόῳ ἔτει τῆς βασιλείας αὐτοῦ Σίμωνα τὸν τοῦ Κλωπᾶ ἐπίσκοπον ὄντα Ἱεροσολύμων, δεύτερον γενόμενον ἐπίσκοπον μετὰ Ἰάκωβον τὸν χρηματίσαντα ἀδελφὸν τοῦ κυρίου τῆς ἐκεῖσε ἐκκλησίας, Φίλιππος ὁ ἀπόστολος διερχόμενος τὰς τῆς Λυδίας καὶ Ἀσίας πόλεις καὶ χώρας κατήγγελλεν πᾶσιν τὸ εὐαγγέλιον τοῦ Χριστοῦ.*

108 (2) *Φθάσας δὲ ἐν πόλει Ὀφιορύμῃ, ἥτις καλεῖται Ἱεράπολις τῆς Ἀσίας, ὑπεδέχθη ὑπό τινος πιστοῦ ὀνόματι Στάχυος. συνῆν δὲ αὐτῷ καὶ Βαρθολομαῖος εἷς τῶν ἑβδομήκοντα μαθητῶν τοῦ κυρίου καὶ ἡ ἀδελφὴ αὐτοῦ Μαριάμνη καὶ οἱ ἀκολουθοῦντες αὐτῷ μαθηταὶ αὐτοῦ. συναχθέντων δὲ πολλῶν ἀνδρῶν τε καὶ γυναικῶν ἐν τῇ οἰκίᾳ τοῦ Στάχυος ἦν ὁ Φίλιππος ἅμα τῷ Βαρθολομαίῳ διδάσκων αὐτοὺς τὰ περὶ τοῦ Ἰησοῦ.* |

Μαρτύριον τοῦ ἁγίου ἀποστόλου Φιλίππου.

107 *Κατὰ — — κατήγγειλεν πᾶσιν τὸ εὐαγγέλιον τοῦ Χριστοῦ.*

108 *Φθάσας δὲ — — καὶ οἱ ἀκολουθοῦντες αὐτῷ μαθηταὶ αὐτοῦ. πάντες δὲ καταλιπόντες τὰ ἔργα αὐτῶν οἱ ἄνδρες τῆς πόλεως ἔτρεχον εἰς τὸν οἶκον τοῦ Στάχυος, ἀκούοντες περὶ τῶν ἔργων ὧν ἐποίει ὁ Φίλιππος· ἐδίδασκεν γὰρ* 141 T
αὐτοὺς οὕτως·

Γ = CDEMPQRSVW [1] *Ἐκ - ἀπ.] τοῦ ἁγίου ἐνδόξου καὶ πανευφήμου ἀπ. φιλ. ἐκ τ. περ. S περίοδοι καὶ μαρτύριον τοῦ ἁγίου φιλ. τ. ἀπ. P πράξις καὶ μαρτύριον τοῦ ἁγίου (καὶ πανευφήμου add W) ἀπ. φιλ. DW: de R cf praef ‖ Φ. τ. ἀ.] τ. ἁγίου καὶ πανευφήμου ἀ. φ. V ‖* [2] *om DP ‖ ἀπὸ om C ‖ πράξεων Q πράξις C ‖ πεντεκαιδεκάτη C ιε′ S ‖ μ. τέλ. om V ‖ ἐν om C ‖ οἷς S om C ‖ τοῦ μαρτυρίου C αὐτοῦ add CS ‖* [3–10] *cf praef ‖* [3] *ἀδριανοῦ C ‖* [4] *προειληφότος V ‖* [6] *γενάμενον QVW ‖* [7] *χρημ. om P ‖* [9] *κ. Ἀσ. om DV ‖* [9] *κατήγγειλεν (CE): cf 20 ‖* [11] *δὲ] καὶ add V ‖* [13] *δώδεκα DS ‖* [14] *μαριάμμη P constanter: cf 45, 23 ‖* [15] *αὐτοῦ] πάντες οὖν καταλιπόντες — — ἐπ. ὁ φίλιππος (ut 23—25) add P ‖* [16] *τε om CP ‖* [18] *τοῦ om CQV*

Θ = TUY [19] *ἁγ.] καὶ πανευφήμου add TY*

76 T 109 (3) Ἡ δὲ ἀδελφὴ τοῦ Φιλίππου Μαριάμνη καθεζομένη ἐν τῇ εἰσόδῳ τῆς οἰκίας τοῦ Στάχυος προσεῖχεν τοῖς προσερχομένοις, πείθουσα αὐτοὺς ἐπακροᾶσθαι τῶν ἀποστόλων λεγόντων πρὸς αὐτούς· Ἀδελφοὶ ἡμῶν, υἱοὶ τοῦ πατρὸς τοῦ ἐν τοῖς οὐρανοῖς, ὑμεῖς ἐστε τὸ πλοῦτος τὸ καλὸν καὶ ἡ ὕπαρξις τῆς ἄνω πόλεως, ἡ τερπνότης τοῦ κατοικητηρίου οὗ ἡτοίμασεν ὁ θεὸς τοῖς ἀγαπῶσιν αὐτόν.

110 (4) καταπατήσατε τὰς παγίδας τοῦ ἐχθροῦ, τὸν εἱλισσόμενον ὄφιν. στρεβλὴ γάρ ἐστιν ἡ ὁδὸς αὐτοῦ, ἐπειδὴ τοῦ πονηροῦ υἱός ἐστιν, καὶ ἔστιν ἐν αὐτῷ ἰὸς πονηρίας· πατὴρ δὲ αὐτοῦ ἐστιν ὁ διάβολος ὁ τοῦ θανάτου πρόξενος, μήτηρ δὲ αὐτοῦ ἡ φθορά· ὀργὴ ἐν τοῖς ὀφθαλμοῖς αὐτοῦ καὶ ὄλεθρος ἐν τῷ στόματι αὐτοῦ, καὶ ἡ ὁδὸς αὐτοῦ ᾅδης. διὸ φεύγετε ἀπ' αὐτοῦ, τοῦ μὴ ἔχοντος ὑπόστασιν, τοῦ ἀμόρ-

---

109 Ἀδελφοί μου, υἱοὶ τοῦ πατρός μου, ὑμεῖς ἐστε τοῦ γένους μου κατὰ Χριστόν, ὕπαρξις τῆς ἐμῆς πόλεως τῆς ἄνω Ἱερουσαλήμ, ἡ τερπνότης τοῦ κατοικητηρίου μου·

110 διὰ τί αἰχμαλωτεύθητε ὑπὸ τοῦ ἐχθροῦ ὑμῶν τοῦ ὄφεως τοῦ εἱλισσομένου καὶ ὁλολόξου καὶ διεστραμμένου ὄντος; ᾧ οὐ δέδωκεν ὁ θεὸς χεῖρας καὶ πόδας, στρεβλὴ δὲ ἡ πορεία αὐτοῦ, ἐπειδὴ υἱός ἐστιν τοῦ πονηροῦ, ὅτι πατὴρ αὐτοῦ ἐστιν ὁ θάνατος, ἡ δὲ μήτηρ αὐτοῦ ἐστιν ἡ φθορά, καὶ ὄλεθρος ἐν τῷ σώματι αὐτοῦ. μὴ ἀπέλθητε οὖν ἐν τῇ ἀπωλείᾳ αὐτοῦ. ὑμεῖς γὰρ ἦτε δεδεμένοι ἐν τῇ ἀπιστίᾳ καὶ ἐν τῇ πλάνῃ τοῦ

[6] cf Cor 1, 2, 9

---

[1] *Μαρ.] ἦν add (C)P* ‖ [2] *Στ.] καὶ add CP* ‖ *τοὺς προσερχομένους (C)DEPQV(W)* ‖ [3] *πενθοῦσα P* ‖ [3–4] *τῶν ἀ. λ. πρ.] δὲ καὶ τὸν ἀπόστολον ἐδίδασκεν γὰρ P* ‖ [4] *ἀδ. ἡμ.] om P καὶ add MP(W)* ‖ *υἱ. τ. π. om C* ‖ *πατρός] μου add P* ‖ [5] *καὶ om Q: del? cf 16* ‖ *ἡ om CP: cf 16* ‖ [7] *ἀγ. α.] ἀγαπήσασιν α. καὶ ἀγαπῶσιν DS καὶ ἀγαπήσασιν (ex καταπατ. natum) add QR(V)W καὶ add R δια τί ἠχμαλωτεύθητε ὑ. τ. ἐ. (cf 16) add P* ‖ [8] *τ. π. τ. ἐ.] αὐτὸν P* ‖ *ἐχθ.] καὶ add CVW: cf 44, 11; 14; 45, 15; 46, 6; 9; 47, 1; 14; 20; 48, 6 al* ‖ [9] *εἱλ.] τὸν add P* ‖ *ὄφιν] ὃν οὐκέδωκεν ὁ. θ. χ. κ. π. (cf 20) add P* ‖ *ὁδ.] πορία P: cf 20* ‖ [10–11] *υἱ. - πρόξ.] ἐστὶν ὁ θάνατος P: cf 22* ‖ *πονηρίας - ἐστιν abscisa ab exemplo Cowleyi D* ‖ [10] *ἰ. (υἱὸς R) πονηρὸς CEQR πονηρὸς ἰ. V* ‖ [12] *μ. δὲ α.] ἡ δὲ μ. α. P* ‖ *ἡ] ἐστιν ἡ CP* ‖ *ὀφθ.] ἀδελφοῖς P* ‖ [14] *διὸ φ. ἀ. α.] μὴ οὖν ἀπατιθῆται τῇ ἀπωλείᾳ α. ὑ. γ. ἐστὲ δεδ. — — ἀτάκτου (ut 23 - 43, 16) P* ‖ *φεύγ.] φθέγγεται V*

[16] *⟨ἡ⟩ ὕπ.? cf 5* ‖ [21] *υἱ.] ἰὸς U* ‖ *ὅτι ⟨ὁ⟩?? cf 11; 22* ‖ [23]–43,[25] *μὴ - δόλον om Y*

φου, τοῦ μὴ ἔχοντος μορφὴν ἐν πάσῃ τῇ κτίσει, εἴτε ἐν τῷ οὐρανῷ εἴτε ἐν τῇ γῇ, εἴτε ἐν τοῖς πετεινοῖς εἴτε ἐν τοῖς κτήνεσιν. πάντα γὰρ ἀποστρέφονται τῆς μορφῆς αὐτοῦ· καὶ γὰρ ἐν τοῖς κτήνεσιν καὶ πετεινοῖς τοῦ οὐρανοῦ ἔστιν ἡ γνῶσις αὐτοῦ ὅτι σύρει ὁ ὄφις τὴν κοιλίαν αὐτοῦ καὶ τὸ στῆθος· ἔστιν δὲ τὸ κατοικητήριον αὐτοῦ ὁ τάρταρος, καὶ ἐν τῷ σκότει βαδίζει, ἐπειδὴ οὐκ ἔχει παρρησίαν ἐν οὐδενί. φεύγετε οὖν ἀπ' αὐτοῦ, ἵνα μὴ ὁ ἰὸς αὐτοῦ ἐκχυθῇ ἐπὶ τὸ στόμα ὑμῶν.

111 (5) γίνεσθε δὲ μᾶλλον πιστοί, σεμνοί, ἀγαθοεργεῖς, μὴ | ἔχοντες δόλον. ἐξάρατε τὸ πονηρὸν σύστημα ἀφ' ἑαυτῶν, 77v T τοῦτ' ἔστιν τὰς κακίας ἐπιθυμίας, δι' ὧν ἐγέννησεν ὁ ὄφις ὁ πονηρὸς δράκων ὁ ἀρχέκακος νομὴν ἀπωλείας καὶ θανάτου τῇ ψυχῇ, ἐπειδὴ ἡ τῶν κακῶν ἐπιθυμία πᾶσα ἐξ αὐτοῦ προελήλυθεν, καὶ αὕτη ἐστὶν ἡ ῥίζα τῆς ἀνομίας, τὸ σύστημα

υἱοῦ αὐτοῦ τοῦ ἀτάκτου καὶ μὴ ἔχοντος ὑπόστασιν, τοῦ ἀμ. καὶ μὴ ἔχ. μ. ἐν π. τῇ κτίσει τῇ οὔσῃ εἴτε — — γῇ εἴτε ἐν | τοῖς ἰχθύσιν τοῖς οὖσιν ἐν τοῖς ὕδασιν. ἀλλὰ ἐὰν ἴδητε αὐτόν, 142 T φεύγετε ἀπ' αὐτοῦ, ἐπειδὴ οὐκ ἔχει τὸ ὁμοίωμα αὐτοῦ τοῖς ἀνθρώποις· τὸ κατοικητήριον αὐτοῦ ἐστιν ἡ ἄβυσσος, καὶ βαδίζει ἐν τῷ σκότει. φεύγετε — — ἐκχυθῇ ἐφ' ὑμᾶς. ἐὰν ἐκχυθῇ ἐπὶ τὸ σῶμα ὑμῶν ὁ ἰὸς αὐτοῦ, πορεύεσθε ἐν τῇ κατοικίᾳ αὐτοῦ.

111 γίνεσθε δὲ μᾶλλον ἐν τῇ ἀληθινῇ θεοσεβείᾳ, ὄντες πιστοί, σεμνοί τε καὶ ἀγαθοί, μὴ ἔχοντες δόλον. φεύγετε ἀπὸ τοῦ δράκοντος τοῦ Σατανᾶ καὶ ἐξάρατε ἀφ' ὑμῶν τὸ πονηρὸν αὐτοῦ σπέρμα, τοῦτ' ἔστιν, τὴν ἐπιθυμίαν, ἐν ᾗ γεννᾷ νόσον

---

[1] τοῦ] καὶ P (om C) ‖ μορφὴν] ὁμοίωμα *expectes* (*cf* 19) μήτε ὑπόστασιν *add* P: *cf* 16 ‖ [1–2] εἴτε *quater*] οὔτε P ‖ [2] γῇ] οὔτε ἐν τοῖς ἰχθ. — — ὕδασι (*ut* 17-18) *add* P: *cf* 59, 10 ‖ πετ.] τοῦ οὐρανοῦ *add* QW: *cf* 4 ‖ [3] πάντα - αὐτοῦ *om* P ‖ τὴν μορφὴν QRSW: *suspectum est, cf* 1 ‖ [3–5] κ. γὰρ - γν. αὐτοῦ *om* QW ‖ [4] τ. οὐρ. *om* EP: *cf* 2 ‖ [5] γν.] γύμνωσις DMSV ‖ αὐτοῦ *prius om* CDESV: *del?* ‖ [6] ὁ *om* P ‖ θάνατος V ‖ [8] οὖν] νῦν P ‖ [8–9] τοῦ στόματος CV ‖ [10] σεμνοί *om* QRVW ‖ ἀγαθοεργοὶ MP ‖ [11] σύστεμμα EQ: *scr* αὐτοῦ σπέρμα?? *cf* 27 *et* 15 ‖ [12] τὰς] τὰ S τοῦ C τῆς *add* CDEQRSVW ‖ κακῇ S κακὰς M *recte ut uid*: *cf* 44, 8 ‖ ἐγένετο P ‖ [13] δρ. *post* ἀρχ. W *om* CQ ‖ νομὴ P ‖ θάνατον CQW θάνατος P ‖ [15] καὶ *om* P ‖ ἀν.] ἀπωλείας καὶ C ‖ σύστ.] *cf* 11

[17] τῇ *prius om* T ‖ [18] ἐπὰν εἴδετε T ‖ [19] ⟨ἐν⟩ τοῖς? *cf* 60, 1 ‖ [21] ἐὰν ⟨γὰρ⟩?? ‖ [23] κακία T ‖ [27]–44,[23] τοῦτ' - σκότει *om* Y

τῶν κακῶν, ὁ θάνατος τῶν ψυχῶν· ἡ γὰρ ἐπιθυμία τοῦ ἐχθροῦ ὁπλίζεται κατὰ τῶν πιστῶν, ἐξέρχεται δὲ ἀπὸ τοῦ σκότους καὶ πορεύεται ἐν τῷ σκότει, πολεμεῖν ἐπιχειροῦσα τοὺς ἐν τῷ φωτί. αὕτη γάρ ἐστιν ἡ τῆς πλεονεξίας ἀρχή.

112 (6) διὸ ὑμεῖς οἱ θέλοντες πρὸς ἡμᾶς, μᾶλλον δὲ ὅτι ὁ θεὸς παρεγένετο δι' ἡμῶν πρὸς ὑμᾶς ὡς πατὴρ πρὸς ἴδια τέκνα, θέλων ὑμᾶς ἐλεῆσαι καὶ ῥύσασθαι ὑμᾶς ἀπὸ τῆς πονηρᾶς παγίδος τοῦ ἐχθροῦ, φύγετε τὰς τοῦ ἐχθροῦ κακὰς ἐπιθυμίας καὶ τελείως ἐκβάλετε αὐτὰς ἐκ τοῦ νοὸς ὑμῶν, μισήσαντες φανερῶς τὸν πατέρα τῶν κακῶν, ἀγαπήσαντες δὲ Ἰησοῦν, ὅς ἐστιν φῶς καὶ ζωὴ καὶ ἀλήθεια καὶ σωτὴρ πάντων τῶν αὐτὸν ποθούντων. πρὸς αὐτὸν οὖν προσδραμόντες κρατήσατε αὐτὸν ἐν τῇ ἀγάπῃ, ἵνα ἀναγάγῃ ὑμᾶς ἐκ τοῦ λάκκου τῶν κακῶν, καὶ καθαρίσας στήσῃ ὑμᾶς ἀμώμους ζῶντας ἐν ἀληθείᾳ ἔμπροσθεν τοῦ πατρὸς αὐτοῦ.

113 (7) Ταῦτα δὲ πάντα ἔλεγεν ὁ Φίλιππος πρὸς τὰ συνελθόντα πλήθη διὰ τὸ ἐκ παλαιῶν τῶν χρόνων σέβειν αὐτοὺς τοὺς ὄφεις καὶ τὴν ἔχιδναν, ὧν καὶ εἰκόνας στήσαντες προσεκύνουν· διὸ καὶ Ὀφιορύμην ἐκάλουν τὴν Ἱεράπολιν. τού-

---

τῇ ψυχῇ· αὐτή ἐστιν ἰὸς τοῦ ὄφεως. ἡ γὰρ ἐπιθυμία ἐκ τοῦ ὄφεώς ἐστιν ἐξ ἀρχῆς, καὶ αὐτή ἐστιν ἡ ὁπλίζουσα ἑαυτὴν κατὰ τῶν πιστῶν· ἐξῆλθεν γὰρ ἀπὸ τοῦ σκότους καὶ πάλιν πορεύεται ἐν τῷ σκότει.

112 ὀφείλετε οὖν ὑμεῖς οἱ ἐλθόντες πρὸς ἡμᾶς, μᾶλλον δὲ δι' ἡμῶν πρὸς τὸν θεόν, ἐκβαλεῖν τὸν ἰὸν τοῦ διαβόλου ἀπὸ τῶν σωμάτων ὑμῶν.

113 Ταῦτα δὲ λέγοντος τοῦ ἀποστόλου ἰδοὺ

[11] cf Io 8, 12; 14, 6 ‖ [14] cf Col 1, 22

---

[1] ὁ θ.] ἡ ἀπώλεια καὶ ὁ θ. *D* ‖ [2–3] τοῦ σκ.] τὸ σκότος *P* ‖ [5] διὸ] δι' οὗ *CP* ‖ θέλ.] ἐλθόντες *QW* (*recte: cf 24 et 6*) ἐλθεῖν *add EM* ‖ ἡμᾶς] ἔρχεσθαι *add V* ‖ [6] ὑμ.] ἡμᾶς *V* ‖ [6–7] ὡς - θέλων *om V* ‖ [7] ἐλ. ἡμᾶς *V* ‖ ὑμᾶς *alt om VW* ‖ [8] φύγ. τ. τ. ἐ. *om (C)P* ‖ φεύγετε *DVW: recte? cf 9; 43, 8* ‖ κακ.] καὶ τῆς *P* ‖ [9] ἐκβάλλετε *PVW: recte? cf 8* ‖ ταύτας *P* ‖ [10] μισήσατε *CW* ‖ ἀγαπήσατε *CPQW* ‖ δὲ] τὸν *CP om E* νοερῶς *add D* ‖ [11] καὶ *postr om CEMQ (R? euan) S: del? cf 14; 42, 8* ‖ [13] ἀγάγῃ *DV* ἀνάγει *E* ‖ τοῦ *om P* ‖ [14] ἀμ.] καὶ *add VW: cf 11* ‖ [16] πάντα *om V* ‖ [17] τὸ] τὸν *P* ‖ ἐκ π.] ἔκπαλαι *RS* ‖ τ. χρ. *om R* ‖ [17–18] σβένειν αὐτῶν *P* ‖ [18] εἰκόνα *(C)MS* ‖ [19] πρ.] προσεφώνουν προσκυνοῦντες αὐτούς *P* ‖ ἱερὰν πόλιν *P*

[20] αὐτή] ἥτις *T: scr* αὕτη?? ‖ [21] αὕτη *Tischendorf* ‖ [25] θεόν] χριστόν *U: cf 6* ‖ ἐκβάλειν *T* ἐκβάλλειν *Tischendorf*

των δὲ λεγομένων ὑπὸ τοῦ Φιλίππου, συμπαρόντων αὐτῷ Βαρθολομαίου καὶ Μαριάμνης καὶ τῶν μαθητῶν αὐτοῦ καὶ τοῦ Στάχυος, ἐπηκροᾶτο πᾶς ὁ λαός, καὶ πολὺ πλῆθος ἐξ αὐτῶν ἀποφυγόντες ἀπὸ τοῦ | ἐχθροῦ ἐπέστρεψαν ἐπὶ τὸν 78 T *κύριον καὶ προσετέθησαν τῷ Φιλίππῳ καὶ τοῖς περὶ αὐτόν. οἱ δὲ πιστοὶ πλεῖον ἐστηρίχθησαν ἐν τῇ ἀγάπῃ τοῦ Χριστοῦ.*

114 (8) *Νικανόρα δὲ ἡ γυνὴ τοῦ ἀνθυπάτου κλινήρης κατακειμένη ὑπὸ διαφόρων νοσημάτων, μάλιστα τῶν ὀφθαλμῶν, ἀκούσασα τὰ περὶ τοῦ ἀποστόλου Φιλίππου καὶ τοῦ κηρύγματος αὐτοῦ, ἐπίστευσεν ἐπὶ τὸν κύριον. ἦν γὰρ καὶ πάλαι ἀκούσασα περὶ αὐτοῦ, καὶ ἐπικαλεσαμένη τὸ ὄνομα αὐτοῦ ἀπηλλάγη τῶν συνεχόντων αὐτῇ πόνων. καὶ ἀναστᾶσα ἐξῆλθεν τῆς οἰκίας αὐτῆς διὰ τῆς πλαγίας θύρας, βασταζομένη ὑπὸ ἰδίων αὐτῆς δούλων ἐν φορείῳ ἀργυρέῳ, καὶ ἦλθεν εἰς τὴν οἰκίαν τοῦ Στάχυος, ὅπου ἦσαν οἱ ἀπόστολοι.*

115 (9) *Καὶ ὅτε ἦλθεν ἔμπροσθεν τοῦ πυλῶνος τῆς οἰκίας, ἰδοῦσα αὐτὴν Μαριάμνη ἡ ἀδελφὴ Φιλίππου τοῦ ἀποστόλου, ἐλάλησεν φωνῇ ἑβραϊστὶ πρὸς αὐτὴν ἔμπροσθεν Φιλίππου καὶ Βαρθολομαίου καὶ παντὸς τοῦ πλήθους τῶν*

---

114 *Νικανόρα ἐξελθοῦσα ἀπὸ τῆς οἰκίας αὐτῆς ἦλθεν μετὰ τῶν δούλων αὐτῆς εἰς τὴν οἰκίαν Στάχυος.*

115 *Ἐν δὲ τῷ ἐγγίζειν αὐτὴν τῇ θύρᾳ τῆς οἰκίας ἰδοὺ Μαριάμνη ἐλάλησεν αὐτῇ συριακῇ διαλέκτῳ· Ἑλικομαεῖ, κασμᾶ, ἡταά, μαριαχά, χαμαστραΐ, καλιχαμά. Ἐφανέρωσεν*

---

[1] *συμπαρόντος CV ‖ αὐτοῦ V ‖* [4] *ἀπὸ] ἐκ CD ‖ ἐπεστρέφοντο P ‖* [5] *κύρ.] ἰησοῦν M ἡμῶν ἰησοῦν χριστὸν add W: cf 10 ‖* [6] *πλέον (D)P ‖* [7] *νικάνορα CD νικάνωρα QW constanter ‖* [8] *μάλ.] καὶ μάλ. V: cf 48, 1 ‖* [9] *τὰ om CMV: cf 11 ‖ τοῦ prius om V ‖* [10] *κύρ.] ἰησοῦν QVW ἡμῶν ἰησοῦν χριστὸν add R: cf 5; 65, 8 ‖* [11] *πρόπαλαι P (om C) ‖ ἀκ.] τὰ add W: cf 9 ‖ καὶ om P ‖* [12] *αὐτῇ] αὐτὴν Tischendorf fort recte ‖* [14] *ἰδ.] τῶν CR ‖ δούλ. αὐτ. R ‖ αὐτῆς om MP: cf 26, 12 ‖* [14–16] *ἦλθεν - ὅτε om C ‖* [14] *εἰσῆλθεν P ‖* [15] *οἱ] καὶ οἱ DS ‖ ἀπ.] τοῦτο δὲ ἤδην (l ἤδη?) δεύτερον add P ‖* [17–18] *τ. ἀπ. φιλ. P ‖* [17–19] *τ. ἀπ. - Φ. om C ‖* [18] *φ. ἑβ. π. α.] αὐτῇ ἑβ. R ‖ φ. ἑβ.] ἐν φ. ἑβ. DM ἐν φ. τῇ ἑβ. E φ. ἑβραΐδη Q φ. εβραικη W (sed φ. ἑβραιστῇ Vatic 808) τῇ ἑβραΐδι διαλέκτω P: cf 47, 2 ‖ φ.] scr ⟨μετὰ⟩ φωνῆς?? φ. ⟨μεγάλῃ⟩?? ⟨μεγάλῃ τῇ⟩ φωνῇ?? (cf 51, 7; 28, 21; Am 56, 11) an del? ‖ ἔμπ.] τοῦ add P ‖* [19]*–46,*[1] *Φ. - λέγ.] τῶν ἀποστόλων R*

[20] *νικάνορα TUY (constanter) ἡ Νικ. Tischendorf ‖* [23] *μαριάμμη U et sic passim: cf 41, 14 ‖ αὐτῇ] ἐν τῇ U ‖* [24] *κοσμᾶ T ‖ χαμ. καλ. om T ‖ καλιχαμαά U*

πεπιστευκότων λέγουσα· Ἀλικαμάν, ἰκασαμέ, μαρμαρί, ἰαχαμάν, μαστρανάν, ἀχαμάν· Ὅ ἐστιν Ὦ θυγάτηρ τοῦ πατρός, σὺ εἶ κυρία μου, σὺ ἐδόθης ἐνεχυρίασμα τῷ ὄφει· ἀλλ' ἦλθεν Ἰησοῦς ὁ λυτρωτὴς ἡμῶν ῥύσασθαί σε δι' ἡμῶν, διαρρῆξαι τοὺς δεσμούς σου καὶ τεμεῖν αὐτοὺς καὶ ἐκτῖλαι ἐκ σοῦ ἀπὸ τῆς ῥίζης αὐτῶν, ὅτι σὺ ἀδελφή μου εἶ· μία μήτηρ ἐγέννησεν ἡμᾶς διδύμους. ἐπελάθου τοῦ πατρός σου, ἐπελάθου τῆς τρίβου τῆς ἀγούσης σε εἰς κατοικητήριον τῆς μητρός σου, γεναμένη ἐν πλάνῃ· ἐγκατέλιπες τὸν ναὸν ἐκείνης τῆς ἀπάτης τῆς προσκαίρου δόξης, καὶ ἦλθες πρὸς ἡμᾶς φυγοῦσα τὸν
79 T ἐχθρόν, ὅτι αὐτός ἐστιν τὸ κατοικητή|ριον τοῦ θανάτου. ἰδοὺ δὴ ἦλθεν ὁ λυτρωτής σου ἵνα σε λυτρώσηται· ἀνέτειλέν σοι ὁ ἥλιος τῆς δικαιοσύνης Χριστὸς ἵνα σε φωτίσῃ.

116 (10) Ὡς δὲ ταῦτα ἤκουσεν ἡ Νικανόρα ἑστῶσα πρὸ τῶν θυρῶν, ἐπαρρησιάσατο ἐνώπιον πάντων κράζουσα καὶ

δὲ τοὺς λόγους αὐτῆς λέγουσα· Ὦ ἡ θυγάτηρ τοῦ πνεύματος, σὺ εἶ ἡ κυρία μου ἡ δοθεῖσα ἐπ' ἐνεχύρῳ τῷ ὄφει· ἦλθον δὲ ἐγὼ ῥύσασθαί σε· διαρρήξω τοὺς δεσμούς σου καὶ τεμῶ αὐτοὺς ἀπὸ τῆς ῥίζης αὐτῶν. ἰδοὺ ἦλθεν ὁ λυτρωτὴς ὁ ῥυόμενός σε· ἰδοὺ ἀνέτειλεν ὁ ἥλιος τῆς δικαιοσύνης ἵνα σε φωτίσῃ.

116 *Ταῦτα δὲ αὐτῆς λεγούσης ἦλθεν ὁ τυραννογνόφος τρέχων καὶ ἀσθμαίνων. ἡ δὲ Νικανόρα οὖσα πρὸ τῶν θυρῶν ἤκουσεν ταῦτα καὶ ἐπαρρησιάσατο — — λέγουσα· Ἐγὼ*

[12] cf Mal 4, 2

---

[1] *λέγ.] οὕτως add RW* ‖ [1-2] *ἀλικ. - ἐστιν] om VW* ‖ [1] *ἀληκαμάν M ἀλημακάν P* ‖ *ηκασαμε P ἰκασαμαί D ἠκάσαμεν C ἰσακαμέ E* ‖ *μαρμαρή P* ‖ *ἡ ἀχαμμάν S ἰχαμάν E ἠχαμανῆ C ἰαχι.... (reliquis ab exemplo Cowleyi abscisis) D ναχαμὰν P* ‖ [2] *μαστρ. - ἐστιν om S* ‖ *ματρανάν Q om C(D?)* ‖ *ἀχαμμάν EQR om C partim abscis D* ‖ *ὅ] ὥς Q τουτ P* ‖ *ὦ om P* ‖ *θύγατερ MRSW* ‖ [3] *εἶ] ἡ P εἶ ἡ QRS: cf 17* ‖ *σὺ alt] καὶ W om P* ‖ *ἐνέχυρον PR ἐνσχυρίασμα E ἰσχυρίασμα Q ἐνχυρίασμα D* ‖ [4] *Ἰ.] χριστὸς add W* ‖ *ῥύσ. - ἡμ. om V* ‖ *διαρρήξας P* ‖ [5] *σου] τῶν παθῶν add W* ‖ [5-6] *ἐκτ. - ὅτι] ἰδοὺ (?) R* ‖ [5] *ἐκ om PQW* ‖ *σοῦ] σε QW μέσον C* ‖ [6] *αὐτοὺς P* ‖ *μία] καὶ μία RW* ‖ [8] *εἰσαγούσης S* ‖ *σε om EMV* ‖ *γενομένη CM om R* ‖ [9] *⟨ἀλλ'⟩ ἐγκατέλιπες?? cf Lipsius II 2 p 18* ‖ *ἐκεῖνον QRVW* ‖ *ἀπατηλῆς QW καὶ add EMQW* ‖ [10] *τῆς om QW* ‖ [12] *δὴ] δὲ EPV om (C)QRW* ‖ *λυτρώσεται P* ‖ *σοι om P* ‖ [13] *Χρ. om C: del? cf 20*

[16] *ἡ om TY* ‖ [17] *εἶ ἡ] εἶ TY: cf 3* ‖ [22-23] *ταῦτα - ἀσθ. del: cf 14 et 47, 26 - 27*

λέγουσα ὅτι Ἐγὼ Ἑβραία εἰμί, θυγάτηρ Ἑβραίων· λάλησον μετ' ἐμοῦ ἐν τῇ διαλέκτῳ τῶν πατέρων μου. ἀκούσασα γὰρ τοῦ κηρύγματος τῶν πατέρων μου ἰάθην εὐθέως ἀπὸ τῆς νόσου καὶ τῶν περιεχουσῶν με ὀδυνῶν. προσκυνῶ οὖν τὴν ἀγαθότητα τοῦ θεοῦ, ὅτι ἐποίησεν ὑμᾶς σκυλῆναι ἄχρι τῆς πόλεως ταύτης διὰ τὸν ἀληθινὸν αὐτοῦ λίθον τὸν ἔντιμον, ἵνα δι' ὑμῶν δεξώμεθα τὴν γνῶσιν αὐτοῦ καὶ ζήσωμεν σὺν ὑμῖν πιστεύσαντες εἰς αὐτόν.

117 (11) *Ταῦτα εἰπούσης τῆς Νικανόρας, προσηύξατο περὶ αὐτῆς πρὸς τὸν θεὸν ὁ ἀπόστολος Φίλιππος ἅμα Βαρθολομαίῳ καὶ Μαριάμνῃ καὶ τοῖς σὺν αὐτοῖς λέγων· Ὁ ζωοποιῶν τοὺς νεκροὺς Χριστὲ Ἰησοῦ δέσποτα, ὁ ἐλευθερώσας ἡμᾶς διὰ τοῦ βαπτίσματος ἐκ τῆς δουλείας τοῦ θανάτου, ῥῦσαι αὐτὴν ἐκ τῆς πλάνης τοῦ ἐχθροῦ τελείως, ζωοποίησον αὐτὴν ἐν τῇ ζωῇ σου καὶ τελείωσον αὐτὴν ἐν τῇ τελειότητί σου, ἵνα πορευθῇ εἰς τὴν χώραν τῶν πατέρων αὐτῆς ἐν ἐλευθερίᾳ, ἔχουσα κλῆρον ἐν τῇ ἀγαθότητί σου κύριε Ἰησοῦ.*

118 (12) *Πάντων δὲ ἀναπεμψάντων τὸ ἀμὴν ἅμα τῷ ἀποστόλῳ Φιλίππῳ, ἰδοὺ ἦλθεν ὁ τύραννος, ὁ ἀνὴρ τῆς Νικανόρας, ὡς ἵππος ἀδάμαστος μεμηνώς, καὶ ἐπιλαβόμενος τῶν ἱματίων τῆς γυναικὸς αὐτοῦ ἐβόα λέγων· Ὦ Νικανόρα, μὴ οὐκ ἀφῆκά σε ἐπὶ τῆς κλίνης οὖσαν; πῶς τοσαύτην δύναμιν*

— — μου, ὅτι ἤκουσα τοῦ κηρύγματος ὑμῶν καὶ ἰάθην ἀπὸ τῆς νόσου μου | ταύτης. προσκυνῶ καὶ δοξάζω τὴν ἀγαθ. — 143 T
— ἄχρι τῆς γῆς ταύτης.

117 *Ταῦτα δὲ αὐτῆς λεγούσης*

118 *ἦλθεν ὁ τυραννογνόφος τρέχων καὶ ἀσθμαίνων· καὶ ἐπιλαβόμενος τῶν ἱματίων αὐτῆς λέγει· Ὦ — — σε κειμένην ἐπὶ τῆς κλίνης ἐπὶ τῆς νόσου σου; πόθεν οὖν εὗρες τὴν δύ-*

[6] cf Ies 28, 16 Pet 1, 2, 4 ‖ [12] cf Rom 6, 4; 8, 21?

---

[1] *ὅτι om DSW ‖ εἰμί] καὶ add DEMPQSV ‖ [2] μου om P ‖ [3] μου om P(CW) ‖ ἰάθη P ‖ [4] νόσου] μου add V ‖ [5] ἡμᾶς CPR ‖ [7] ζησώμεθα M: scr ζησόμεθα (et δεξόμεθα)??? ‖ [10] ὑπὲρ DQRSVW (om C): cf 36, 8; 56, 6 ‖ [11] λέγοντες P ‖ [14] αὐτὴν] καὶ ταύτην PW ‖ [14–15] τελ. - καὶ om P ‖ [14] τελ.] καὶ add W ‖ [15] ἐν - αὐτὴν om V ‖ [16] εὑρεθῇ P ‖ τ. πατ. om QW ‖ [17] Ἰ.] χριστὲ add DEW ‖ [19] ἦλθεν] καὶ add V ‖ [20] ἀδ.] καὶ add V ‖ [21] μὴ om CDSW ‖ [22] πῶς] οὖν add EVW ‖ [22]–48,[1] ἔ. δ. M*

[24] ταύτης om U ‖ [27] τύραννος TY: cf 46, 22; 49, 19; 50, 20; 51, 16; 70, 18 ‖ τρ. κ. ἀ. om TY: cf 46, 23 ‖ [29] ἐ. τ. κλ. om U ‖ ἐπὶ alt] ἀπὸ Tischendorf: cf 48, 1 ‖ σου om U: cf 24

ἔσχες ἐλθεῖν πρὸς τοὺς μάγους τούτους; πῶς δὲ ἀπὸ τῆς φλεγμονῆς τῶν ὀφθαλμῶν σου; νῦν οὖν ἐὰν μή μοι εἴπῃς τίς ἐστιν ὁ ἰατρός σου καὶ τί τὸ ὄνομα αὐτοῦ, τιμωρήσομαί σε
80 T διαφόροις τιμωρίαις καὶ οὐ σπλαγ|χνισθήσομαι ἐπὶ σοί.

119 (13) Ἡ δὲ ἀποκριθεῖσα λέγει αὐτῷ· Ὦ τύραννε, ἔκβαλε ἀπὸ σοῦ τὴν τυραννίδα σου ταύτην, ἐπιλάθου τῆς πονηρίας σου ταύτης, ἐγκατάλιπε τὸν βίον τοῦτον τὸν πρόσκαιρον, ἀπόθου τὸ θηριῶδες τῆς φαύλης σου γνώμης, φύγε τὸν δράκοντα τὸν πικρὸν καὶ τὰς ἐπιθυμίας αὐτοῦ, ῥῖψον ἀπὸ σοῦ τὰ ἔργα καὶ τὸ βέλος τοῦ ἀνθρωποκτόνου ὄφεως, παραίτησαι τὰς μυσαρὰς καὶ κακὰς θυσίας τῶν εἰδώλων, αἵτινές εἰσιν γεωργία τοῦ ἐχθροῦ, ὁ σκοτεινὸς φραγμός· περιποίησαι δὲ ἑαυτῷ βίον σεμνὸν καὶ ἄρυπον, ἵνα γενόμενος ἐν ἁγιασμῷ

ναμιν ταύτην καὶ τὴν ἰσχὺν ὥστε δυνηθῆναί σε ἐλθεῖν πρὸς τοὺς μάγους τοὺς ἀνθρώπους τούτους; ἐὰν μὴ οὖν εἴπῃς τίς ἐστιν ὁ ἰατρός, τιμωρήσομαί σε πολλαῖς τιμωρίαις.

119 Ἀποκριθεῖσα δὲ ἡ Νικανόρα εἶπεν· Ὦ τυραννογνόφε, ἔκβαλε ἀπὸ σεαυτοῦ τὴν τυραννίδα ταύτην καὶ ἐπιλάθου τῶν ἔργων σου τῶν πονηρῶν καὶ ἐγκατάλιπε τὸν βίον τὸν πρόσκαιρον τοῦτον καὶ ἀπόθου τὴν δόξαν τὴν ματαίαν, ὅτι παρέρχεται ὡς σκιά· ζήτησον δὲ μᾶλλον τὰ ὄντα αἰώνια, καὶ ἔπαρον ἀπὸ σεαυτοῦ τὸ θηριῶδες καὶ ἀσελγὲς ἔργον τῆς αἰσχρᾶς ἐπιθυμίας, καὶ παραίτησαι τὴν κακὴν συνουσίαν, ἥτις ἐστὶν γεωργία τοῦ θανάτου, ὁ φραγμὸς ὁ σκοτεινός, καὶ κατάστρεψον τὸ μεσότοιχον τῆς φθορᾶς, καὶ περιποίησαι σεαυτῷ β. σ. κ. ἄρ., ἵνα γενώμεθα ἐν ἁγιασμῷ διὰ παντός.

---

1 ἐλθ.] τοῦ ἐλθ. DSW καὶ ἦλθες R σε add DQSV ‖ πῶς δὲ] μάλιστα Q καὶ μάλιστα W (cf 45, 8) ἰάθης add EPR fort recte: certe intercid uerbum ‖ 2 σου] ἰάθης add M ἠλευθερώθης add S ἐκουφίσθης add V θεραπευθεῖσα βλέπεις add D ἦλθες ἐνταῦθα add C ‖ 3 σε] σοι RV ‖ 5 ἔκβαλλε C: cf 6 ‖ 6 σου om CP: cf 7; 49, 6 ‖ ταύτ.] καὶ add SVW: cf 18; 7; 8; 47, 14; 42, 8 ‖ 7 ἐγκατάλειπε DPQW: cf 5; 8 ‖ 8 τὸ φαῦλον τῆς θηριόδου S ‖ φαύλου QR ‖ φεῦγε CEMP: cf 7 ‖ 9 πονηρὸν EM ‖ τὰς] πικρὰς add E ‖ 10 τὸ ἔργον P τὰ ὄργανα QRW ‖ 11 κακ. θ.] ἐναγεῖς κακίας V ‖ 12 γεώργια CD (cf 24) γεωργίαι P ‖ scr ὁ φρ. ὁ σκ.? cf 24 et S ‖ ὁ] καὶ QV καὶ ὁ W (cf 42, 8) ὅς ἐστι R om C ‖ σκ.] ὁ add S ‖ 13 σεαυτῷ SW (cf 26) σεαυτὸν V αὐτῷ C αὐτοῦ DE ‖ γενάμενος PQ

15 scr τ. ἀ. τ. τ. μάγ.? ‖ 17 τυραννοτρόφε TY: cf 47, 27 ‖ 18 σε.] σοῦ T: cf 6 et 22 ‖ 21 ὄντα om TY ‖ 23 κενὴν TY ‖ 24–25 ἥτις - φθ. om Y ‖ 24 γεώργιον U

δυνηθῇς γνῶναι τὸν ἰατρόν μου καὶ χωρῆσαι τὸ ὄνομα αὐτοῦ. ἐὰν οὖν θέλῃς παρά σοί με εἶναι, εὐτρέπισον σεαυτὸν μένειν ἐν ἁγνείᾳ καὶ ἐγκρατείᾳ καὶ ἐν φόβῳ τοῦ ἀληθινοῦ θεοῦ, καὶ συνοικήσω σοι τὸν ἅπαντα χρόνον· μόνον καθάρισον σεαυτὸν ἀπὸ τῶν εἰδώλων καὶ παντὸς ῥύπου αὐτῶν.

120 (14) *Ὡς δὲ ἤκουσεν τῶν λόγων αὐτῆς τούτων ὁ τύραννος, ὁ ἀνὴρ αὐτῆς, ἐπελάβετο τῶν τριχῶν τῆς κεφαλῆς αὐτῆς καὶ ἔσυρεν αὐτὴν λακτίζων αὐτὴν καὶ λέγων· Καλόν σοί ἐστιν ἀναιρεθῆναι ἐν ξίφει ἢ ὁρᾶσθαί σε παρ' ἐμοῦ πορνεύουσαν μετὰ τῶν ξένων τούτων τῶν μάγων. ὁρῶ σε γὰρ ὅτι ἐγένου ἐν τῇ μανίᾳ τούτων τῶν πλάνων· σὲ οὖν πρῶτον ἀνελῶ κακῶς, καὶ τότε τούτων οὐ φεισάμενος κακῶς ἐνυβρίσας κακίστως ἀποκτενῶ. Καὶ στραφεὶς εἶπεν τοῖς περὶ αὐτόν· Ἐξαγάγετέ μοι τοὺς μάγους τοὺς ἐπιθέτας ἐκείνους. Εἰσδραμόντες δὲ οἱ δήμιοι εἰς τὴν οἰκίαν τοῦ Στάχυος καὶ κρατήσαντες τὸν ἀπόστολον Φίλιππον καὶ τὸν Βαρθολομαῖον*

ἐὰν οὖν θέλῃς παρά σοί με μένειν ἐν ἐγκρατείᾳ, οἰκήσω σὺν σοί.

120 *Ὡς δὲ ἤκουσεν τοὺς λόγους τούτους ὁ τυραννογνόφος, ἐπιλαβόμενος τ. τρ. τ. κεφ. αὐτῆς ἔσυρεν αὐτὴν λακτίζων καὶ λέγων — — ἐν τῷ ξίφει μου μᾶλλον ἢ ὁρᾶν σε μετὰ τ. ξ. τ. τ. μάγων καὶ πλάνων. σὲ οὖν τιμωρήσομαι καὶ τοὺς πλανήσαντάς σε ἀποκτενῶ. Καὶ στραφεὶς μετ' ὀργῆς πρὸς τοὺς δημίους τοὺς ἀκολουθοῦντας αὐτῷ εἶπεν· Ἐνέγκατέ μοι τοὺς ἐπιθέτας τούτους. Συνδραμόντες — — τὸν Φίλιππον κ. τ.*

---

[1] *κ. χ. - α. om CD* ‖ [2] *σοῦ CDV* ‖ [4] *σου V* ‖ *χρ.] τῆς ζωῆς μου (σου E) add ESW* ‖ *μόνον om Q(R)V(W)* ‖ [6] *ἤκου P* ‖ *τὸν λόγον τοῦτον ES* ‖ *αὐτῆς om CDEQRSVW: cf 48, 7* ‖ [7] *τυραννογνόφος P: cf 47, 19; 27* ‖ *ὁ ἀν. α. del?? cf 47, 19* ‖ [8] *α. λ. α.] λ. α. CP α. λ. QW α. E* ‖ [9] *σοί] σε V* ‖ *ἔσται PW* ‖ *ἐν] σε C om SV* ‖ [10] *τ. ξέν. om V* ‖ *τῶν μ.] καὶ μ. P(W)* ‖ [11] *μαγεία VW* ‖ [12] *πρ. om C νῦν add EP τούτων add M* ‖ *κακ. prius del??* ‖ *οὐ] ὁ P* ‖ *φεισόμενος V φείσομαι CRS ἀλλὰ add QSW καὶ αὐτοὺς add C* ‖ [12–13] *κ. ἐν.] ἐκνευρίσας P (cf 55, 12??) om R* ‖ [13] *ἐν. om C* ‖ *κακ. om CDR* ‖ *ἀπ. om R* ‖ *περὶ] περιεστῶσιν περὶ D* ‖ [14] *αὐτοῦ P* ‖ [16] *ἀπ. om V: cf 25*

[19] *τύραννος TY: cf 47, 27* ‖ [23] *στρ.] λέγει add U* ‖ [24] *εἶπεν om U*

καὶ τὴν Μαριάμνην ἔσυραν ἄγοντες αὐτοὺς ὅπου ην ὁ ἀνθύπατος. ἠκολούθησεν δὲ καὶ ὁ πιστότατος Στάχυς καὶ πάντες οἱ πιστοί.

121 (15) *Ἰδὼν δὲ αὐτοὺς ὁ ἀνθύπατος ἔβρυξεν τοὺς ὀδόν-* 81 T *τας αὐτοῦ | λέγων· Βασανίσατε τοὺς μάγους τούτους τοὺς πλανήσαντας πολλὰς γυναῖκας καὶ ἄνδρας νέους τε καὶ νεάνιδας, λέγοντας ἑαυτοὺς θεοσεβεῖς εἶναι, βδέλυγμα ὄντες. Καὶ ἐκέλευσεν ἐνεχθῆναι ὠμοὺς ἱμάντας καὶ τύπτεσθαι τόν τε Φίλιππον καὶ τὸν Βαρθολομαῖον καὶ τὴν Μαριάμνην· καὶ μετὰ τὸ μαστιχθῆναι αὐτοὺς τοῖς ἱμᾶσιν ἐκέλευσεν δεθῆναι τοὺς πόδας αὐτῶν καὶ σύρεσθαι αὐτοὺς διὰ τῶν πλατειῶν τῆς πόλεως ἕως τῆς πύλης τοῦ ἱεροῦ αὐτῶν. πολλοὶ δὲ ὄχλοι συνήχθησαν, ὡς σχεδὸν μὴ μεῖναί τινα εἰς οἰκίαν, καὶ ἦσαν πάντες θαυμάζοντες αὐτοὺς ἐπὶ τῇ ὑπομονῇ αὐτῶν, βιαίως καὶ ἀπανθρώπως συρομένων αὐτῶν.*

122 (16) *Ὁ δὲ ἀνθύπατος βασανίσας τοὺς ἁγίους τοὺς ἀμφὶ τὸν ἀπόστολον Φίλιππον ἐκέλευσεν εἰσενεχθῆναι αὐτοὺς*

Β. κ. τ. Μ. σὺν τῷ λεοπάρδῳ καὶ τῷ ἐρίφῳ τῶν αἰγῶν ἐξήνεγκαν σύροντες.

121 *Ὅτε δὲ εἶδεν αὐτοὺς ὁ τυραννογνόφος ἔβρυξεν τ. ὀδ. αὐτοῦ ἐπ' αὐτοὺς λέγων· Σύρατε τ. μάγ. τούτ. καὶ πλάνους τοὺς πλανήσαντας πολλὰς ψυχὰς γυναικῶν καὶ λέγοντὰς ὅτι* 144 T *Θεο|σεβεῖς ἐσμεν· Καὶ ἐποίησεν ἐνεχθῆναι ἱμάντας· καὶ ἔδησαν τοὺς πόδας αὐτῶν· καὶ προσέταξεν συρῆναι αὐτοὺς ἀπὸ τῆς πύλης ἕως τοῦ ἱεροῦ· πολλοὶ δὲ ὄ. συνήχθησαν εἰς τὸν τόπον ἐκεῖνον· ἐθαύμαζον δὲ σφόδρα τον λεόπαρδον καὶ τὸν ἔριφον, ἐπειδὴ ἦσαν λαλοῦντες ὡς ἄνθρωποι.*

122 *Καὶ τινὲς ἀπὸ τοῦ πλήθους ἐπίστευσαν τοῖς λόγοις τῶν ἀποστόλων.*

---

[1] *ἔσυρον VW* ‖ [2] *ἠκολούθει CQW* ‖ *στάχυος CV* ‖ [4] *ὁ ἀνθ. αυτ. V* ‖ [5] *πλάνους P* ‖ [6] *πολλοὺς ἄ. τε κ. γ. Q(W)* ‖ [6] *νεάν.] καὶ add VW τοὺς add Q* ‖ [7] *λέγ. - ὄντες om S* ‖ *εἶναι θεοσ. V* ‖ *βδελύγματα C(D)EQRV βδελυκτοὶ P* ‖ *ὄντας Tischendorf: cf 64, 13; al* ‖ [8] *τε om CD* ‖ [9] *τὸν om DER: cf 49, 16; al* ‖ [10] *αὐτοῖς V* ‖ [11] *αὐτῶν] αὐτοῦ P* ‖ [12] *πολύς τε ὄχλος P* ‖ [13] *ὡς - οἰκ. om R* ‖ *εἶναι EM* ‖ [14] *ἅπαντες QW* ‖ *αὐτοὺς om EQ(R)* ‖ *αὐτῶν om CDPS καὶ καρτερίᾳ add VW ὡς add E* ‖ *βαιβέως P* ‖ [16–17] *τ. ἁγ. - Φ.] τόν τε φίλ. καὶ βαρθολομαῖον καὶ μαριάμμην P* ‖ [16] *τοὺς alt om V* ‖ [17] *περὶ S: cf 45, 5; 49, 13; 54, 1; 51, 5; 90, 7* ‖ *ἐνεχθῆναι CMP*

[19] *εὑρόντες U* ‖ [20] *τύραννος TY: cf 47, 27* ‖ [23] *ἐποίησαν TY* ‖ [23–24] *κ. ἔδ. - αὐτῶν om U*

καὶ ἀσφαλισθῆναι εἰς τὸ ἱερὸν τοῦ εἰδώλου τῆς ἐχίδνης πρὸς τοὺς ἱερεῖς αὐτῆς, ἕως ἂν βουλεύσηται ποίῳ θανάτῳ ἕκαστον αὐτῶν ἀπολέσῃ. πολλοὶ δὲ ἐκ τοῦ ὄχλου ἐπίστευσαν χάριτι τοῦ Χριστοῦ καὶ προσετέθησαν τῷ ἀποστόλῳ Φιλίππῳ καὶ τοῖς σὺν αὐτῷ, ἀποστάντες τοῦ εἰδώλου τῆς ἐχίδνης, καὶ ἐστηρίζοντο ἐν τῇ πίστει μεγαλυνόμενοι ἐν τῇ ὑπομονῇ τῶν ἁγίων, καὶ ὁμοῦ πάντες μετὰ φωνῆς ἐδόξαζον τὸν θεὸν λέγοντες τὸ ἀμήν.

123 (17) *Ὅτε δὲ ἐνεκλείσθησαν ἐν τῷ ἱερῷ τῆς ἐχίδνης ὅ τε Φίλιππος ὁ ἀπόστολος καὶ Βαρθολομαῖος καὶ Μαριάμνη, συνήχθησαν οἱ ἱερεῖς τῆς ἐχίδνης ἐπὶ τὸ αὐτὸ καὶ ὄχλος πολὺς ὡς ἄνδρες ἑπτακισχίλιοι, καὶ δραμόντες πρὸς τὸν ἀνθύπατον κατεβόων λέγοντες· Ἐκδίκησον ἡμᾶς ἐκ τῶν ξένων καὶ μάγων καὶ φθορέων καὶ πλανησάντων τοὺς ἀνθρώπους. ἀφ' οὗ γὰρ ἐπεδήμησαν εἰς ἡμᾶς, ἐπλήσθη ἡ πόλις ἡμῶν*

---

123 *Εἶπαν δὲ οἱ ἱερεῖς πρὸς τον τυραννογνόφον· Μάγοι εἰσὶν οἱ ἄνθρωποι οὗτοι.*

Μαρτύριον τοῦ ἁγίου ἀποστόλου Φιλίππου. 151 T

123 *Ὅτε δὲ Φίλιππος ὁ τοῦ Χριστοῦ ἀπόστολος κατεκλείσθη ἐν τῷ ἱερῷ τῆς ἐχίδνης ὑπὸ τοῦ ἡγεμόνος, ὡσαύτως καὶ ὁ Βαρθολομαῖος καὶ ἡ Μαριάμνη καὶ ὁ λεόπαρδος καὶ ὁ ἔριφος, συνήχθησαν οἱ ἱερεῖς ἐπὶ τὸ αὐτὸ ὡς ἄνδρες ἑπτά, κ. δρ. ἐπὶ τ. ἀνθ. κατεβόων· Ὦ ἀνθύπατε τυραννογνάφε ἐκδίκησον ἡμ. ἀπὸ τ. ξένων ἀνθρώπων τῶν ἀπαιδεύτων κ. φθορ. κ. μάγ. καὶ πλανώντων τοὺς ὄχλους. ἀφ' οὗ γ. ἐπ. εἰς*

---

[1] *κ. ἀσφ. post ἐχίδνης W post αὐτῆς (2) Q om C ‖ τῆς ἐχ. τ. εἰδωλίου P ‖ [1–5] πρὸς - ἐχίδνης om V ‖ [3] ἀπολέσει CDMQRS(?) ‖ ἐπ.] τῇ add (C)PQS ‖ [3–4] χ. τ. Χ.] ἐπὶ τὸν κύριον R ‖ [5] σὺν] περὶ RS (om C): cf 50, 17 ‖ αὐτὸν R om C ‖ καὶ] οἱ δὲ ἅγιοι V ‖ [6] πίστει] τοῦ χριστοῦ add V ‖ [7] μιᾷ φωνῇ C om DRS ‖ [8] τὸ ἀμ. om V*

Γ = CMPQRSVW [9] ἐκλείσθησαν MP(R) ‖ [10] Β.] ὁ β. W: cf 62, 1 ‖ Μ.] ἡ μ. CW: cf 50, 1; 9; 62, 1; al ‖ [11] συνεχύθησαν V ‖ [12] ἄνδ. ὡς W ἄνδ. ὡσεὶ C ‖ ὡσεὶ R ‖ ἑπτακόσιοι V ‖ [13] καταβόων P κατεβόουν CQR ‖ [13] ἐκ] ἀπὸ P ‖ καὶ] τούτων τῶν CS τούτων καὶ W ‖ [14] πλανόντων PQW: cf 25; 50, 6 ‖ ἀνθρ.] ὄχλους CS ‖ [15] εἰς] πρὸς CS: cf 25

Θ = TUY [16] τύραννον TY: cf 47, 27

Δ = BDEF [18] Μ. - Φ. om DE: cf 41, 2 ‖ [19–20] Φ. - ὡσ.] ἐνεκλείσθησαν ἐν τῷ ἱ. τ. ἐ. φ. ὁ ἀπ. D(E) dein fere cum Γ pergit usque ad 54, 8 E ‖ [19] δὲ] ὁ F ‖ [21] ὁ λ.] τὰ δύο ζῷα ὁ λ. D ‖ [22] ὡς om D ‖ [23] κατεβόουν BD ‖ τυραννογράφε DF τυραννογνόφε Tischendorf recte (cf 16 cet): an del? ‖ [25] καὶ πλ.] τῶν πλ. D non male sed cf 14 ‖ πλανούντων F ‖ εἰς] πρὸς D: cf 15

πάσης κακῆς πράξεως· ἀπέκτειναν δὲ καὶ τοὺς ὄφεις τοὺς υἱοὺς τῆς θεᾶς ἡμῶν· ἔκλεισαν δὲ καὶ τὸ ἱερόν, καὶ ἠρήμωται 82 T *ὁ βωμός· καὶ οὐχ εὑρήκαμεν προσενηνεγμέ|νον οἶνον ἵνα πιοῦσα ἡ ἔχιδνα ὑπνώσῃ. εἰ δὲ θέλεις γνῶναι ὅτι ὄντως μάγοι εἰσίν, βλέψον καὶ ἴδε πῶς ἡμᾶς θέλουσιν μαγεῦσαι, λέγοντες Ζήσατε ἐν ἁγνείᾳ καὶ σεμνότητι, πιστεύσαντες τῷ θεῷ, πῶς δὲ καὶ εἰσῆλθον εἰς τὴν πόλιν, πῶς δὲ καὶ οἱ δράκοντες οὐκ ἐτύφλωσαν αὐτοὺς ἢ καὶ ἀνεῖλαν αὐτούς, πῶς δὲ καὶ τὸ αἷμα αὐτῶν οὐκ ἔπιον, ἀλλὰ καὶ αὐτοὶ οἱ τηροῦντες τὴν πόλιν ἡμῶν ἀπὸ παντὸς ξένου ὑπὸ τούτων κατεβλήθησαν.*

124 (18) *Ἀκούσας δὲ ταῦτα ὁ ἀνθύπατος πλεῖον ἐξε-*

---

124 *Καὶ ἀκούσας ταῦτα ἐξεκαύθη τῷ θυμῷ καὶ ἐπλήσθη ὀργῆς.*

ἡμ. ἐπλ. ἡ πόλις πάσης ἀχρήστου πράξεως αὐτῶν· ἀπ. — — ἱερὸν ἡμῶν κ. ἠρ. ὁ βωμός· κ. οὐχ εὑρήκαμεν οἶνον μεμιγμένον ἵνα π. ἡ ἔ. ὑπνώσῃ· πολλαὶ δὲ νύμφαι καὶ γυναῖκες ἀπῆλθον πρὸς αὐτοὺς καὶ ἀφῆκαν τοὺς ἄνδρας. εἰ δὲ θέλ. — — βλ. κ. ἴδε τὸν λεόπαρδον καὶ τὸν ἔριφον ἀνθρωπίνως λαλοῦντας· ἀλλὰ καὶ ἡμᾶς θέλουσιν — — ἐν ἁγνείᾳ, πιστεύσαντες — ἐτ. αὐτοὺς καὶ ἀνεῖλον, πῶς — — ἔπιον, ἀλλὰ καὶ αὐτοὶ ὑπὸ τούτων τῶν μάγων κατεβλήθησαν, εἰ καὶ αὐτά εἰσιν ἐν τέχνῃ μαγικῇ, ἐν ὅλῃ γὰρ τῇ κτίσει οὐκ ἐφάνη οὕτως ἀλλαγῆναι φύσιν καὶ φωνήν, ὅτι τὰ πετεινὰ πέτανται κατὰ τὸ ἴδιον εἶδος καὶ τὰ τετράποδα καὶ τὰ κτήνη καὶ πᾶν ὅ ἐστιν ἐν τῇ ἰδίᾳ γενέσει, πῶς δὲ καὶ ὁ λεόπαρδος καὶ ὁ ἔριφος ὁμιλοῦσιν αὐτοῖς, ἐκπληττόμεθα. |

152 T 124 *Ἀκούσας — — πλεῖον ἐξεκαύθη τ. θ. ὀργῆς τε καὶ*

---

[2] *ἐρήμωται E(P)QV (om C): cf 15* ‖ [3] *εὑρίσκομεν C(W)* ‖ *προσηνεγμένον PS προσενηνεγκεμένον V(R?) προσηκάμενον Q(W) νῦν αἰνιγμένον C: cf 15* ‖ [5] *κ. ἴδε om P* ‖ *λέγ.] ὅτι add W* ‖ [6] *πῶς δὲ] ἡμεῖς δὲ θαυμάζομεν πῶς (cf 26) W perperam* ‖ [7] *πόλ.] ἡμῶν add W: cf 9* ‖ *καὶ alt om V* ‖ [8] *ἢ κ. ἀ α. om V* ‖ *ἢ] ει P om W* ‖ *ἀνεῖλον MRSW (om C): cf 57,7* ‖ *αὐτούς om W* ‖ [9] *ἔπιαν EQS* ‖ *αὐτοὶ om C οἱ δράκοντες add V* ‖ *ἡμῶν om PS: cf 7* ‖ [10] *κατ.] τῶν μάγων add W* ‖ [11] *πλέον EPW (om C): cf 27*

[15] *κ. ἠρ. ὁ β. om F* ‖ *ἐρήμοτε D: cf 2* ‖ *βωμ.] ἡμῶν add D* ‖ *εὕραμεν D* ‖ *μεμ. om BF: scr προσενηνεγμένον (cf 3)??* ‖ [16] *ἀπῆλθαν D* ‖ [17] *ἄνδ.] ἰδίους ἄνδ. D ἄνδ. αὐτῶν F* ‖ [18] *λαλοῦντα B* ‖ [20] *κ. ἀν. α. et add ἐκπλιττόμεθα D: cf 26* ‖ *αὐτοὶ om B* ‖ [21] *τ. μ. τούτ. D* ‖ *εἰ] ἢ F* ‖ *ταῦτα B* ‖ [21–22] *ἐν τ. μ. εἰσιν F* ‖ [22] *μαγ.] μαγ. πεπραγμένα conicit Tischendorf* ‖ *γὰρ om B* ‖ [23] *ὅτι τὰ] τὰ γὰρ D* ‖ *τὰ om F* ‖ [26] *α.] πρὸς αὐτοὺς D* ‖ *ἐξιστάμεθα D: cf 20* ‖ [27] *πλείω B πλέον DE: cf 11* ‖ [27–53,17] *ὀργῆς - σφ. om D*

καύθη τῷ θυμῷ, ὀργῆς τε καὶ ἀπειλῆς ἐπληρώθη, καὶ ἦν ὀργιζόμενος σφόδρα καὶ λέγων πρὸς τοὺς ἱερεῖς· Τί ὅτι τὴν ἐμὴν ἐμάγευσαν γυναῖκα; καὶ ἐκεῖθέν μοι ξένα ῥήματα ὁμιλεῖ, καὶ διὰ πάσης νυκτὸς εὐχομένη ξενοφωνεῖται φωτὶ καταλαμπομένη, καὶ ἀναστενάζουσα λέγει· Ἦλθέν μοι τὸ ἀληθινὸν φῶς Ἰησοῦς. Κἀγὼ δὲ ἀπὸ τοῦ ἐμοῦ κοιτῶνος ἐξελθὼν ἠθέλησα διὰ τῆς θυρίδος κατοπτεῦσαι καὶ ἰδεῖν ὅνπερ ἔλεγεν φῶς Ἰησοῦν· καὶ ὥσπερ ἀστραπὴ προσαπήντησέν μοι, ὥστε με παρ' ὀλίγον ἀποτυφλωθῆναι· καὶ ἐξ ἐκείνου λοιπὸν τὴν γυναῖκά μου φοβοῦμαι διὰ τὸν φωτεινὸν αὐτῆς Ἰησοῦν. εἴπατέ μοι ἱερεῖς τί πράξω. Οἱ δὲ εἶπον· Ἀνθύπατε, τάχα οὐκ ἐσμὲν ἱερεῖς· ἀφ' οὗ γὰρ συνέκλεισας αὐτούς, εὐχομένων αὐτῶν οὐ μόνον τὸ ἱερὸν ἐκ θεμελίων ἐσαλεύθη ἀλλὰ τάχα καὶ συμπίπτει.

125 (19) Τότε προσέταξεν ὁ ἀνθύπατος ἐξαγαγεῖν αὐτοὺς

---

125 Καὶ προσέταξεν γυμνωθῆναι τὸν Φίλιππον καὶ τὸν

ἀπειλῆς, καὶ ἦν ὀργιζ. σφόδρα· λέγει πρὸς τ. ἱερεῖς· Τί ὅτι καὶ τὴν ἐμὴν γυναῖκα ἔχουσιν μεθ' ἑαυτῶν; κἀκεῖθεν ξένα ῥήμ. ὁμ. καὶ πᾶσαν νύκταν εὐχομένη ξένῳ φωτὶ καταλάμπεται καὶ ἀναστενάζουσα λ. — — Κἀγὼ δὲ ἐξελθὼν ἀπὸ τ. ἐ. κοιτ. ἠθέλησα διὰ τ. θυρ. ἐνοπτρίσασθαι καὶ ἰδ. ὅπερ ἔλεγεν — — προσυπήντησέν μοι ὡς ἀποτυφλῶσαί με. καὶ ἐξ ἐκείνου τὴν γυν. — — εἴπατέ μοι οὖν ὦ ἱερεῖς — — εἶπον· Ἀ. τ. οὐκ ἐ. ἱ. ἀφ' ἧς γὰρ — — αὐτῶν ὅλον το ἱερὸν σαλεύεται ἐκ θεμ. ἢ τάχα συμπίπτει.

125 Τότε πρ. ὁ ἀ. ἐξελθόντας ἐκ τ. ἱ. τοὺς π. τ. Φ.

---

[9] *τ. Θ. - ἔμπ.] αὐτὸν H* ‖ *ε. τὸ δ. ἐμβληθῆναι Z: cf R* ‖ [10] *ἂν om H: cf Δ* ‖ *αὐτῶν BZ* ‖ *βασ.] παλατίου χρήματα H: cf S* ‖ [11] *αὐτοὺς BZ: cf 3; 134, 10* ‖ *σὺν τ. ἐ. om BZ: del? cf Δ* ʃ *et 11 - 14* ‖ [11–12] *σὺν τῷ ἐμπ. ἀπίει λέγων H: cf Δ* ‖ [11] *ἀπ. χ. Z* ‖ [12] *κ. λ.] λέγων B* ‖ *πίστ.] τῷ χριστῷ add H: cf* ʃ ‖ [14] *αἰῶνα om Z: cf Δ* ‖ *ἐν om BZ αὐτῇ add B: cf Δ* ‖ *τῇ δὲ Z* ‖ [15] *ἐκ. om B: cf Δ* ‖ [15–16] *κατ. - βασαν.] ἀθυμία πλησθεὶς ἀπέθανεν περὶ τῶν συμβάντων τῷ ἀδελφῷ αὐτοῦ Z ἀθυμία λειφθεὶς περὶ τοῦ συμβάντος αὐτῷ B: cf 134, 14* ‖ [16] *καὶ om B* ‖ *μετ. - ἀδ.] πέμψας B om Z*

λώσῃ. ὡς δὲ ἔδοξεν πυρὶ αὐτοὺς καῦσαι ἐκδεδαρμένους, αὐτῇ
163 W τῇ νυκτὶ Γὰδ ὁ τοῦ βασιλέως ἀδελφὸς ἐκακοῦτο, καὶ διὰ τὴν
λύπην καὶ ἐπίθεσιν ἣν ὁ βασιλεὺς ἔπαθεν ἐβαρήθη σφόδρα·
17 B καὶ μεταπεμψάμενος τὸν βασιλέα | εἶπεν αὐτῷ· Ἀδελφὲ βασιλεῦ,
τὸν οἶκόν μου καὶ τὰ τέκνα μου παρατίθημί σοι· ἐγὼ γὰρ
διὰ τὴν ἐπήρειαν τὴν συμβᾶσάν σοι ἐλυπήθην καὶ ἰδοὺ ἀπο-
36 Th θνήσκω, καὶ ἐὰν μὴ ἐπέλθῃς τῇ τιμωρίᾳ κατὰ τῆς κεφαλῆς
ἐκείνου τοῦ μάγου, οὐκ ἀναπαύσεις μου τὴν ψυχὴν εἰς ᾅδου.
Ὁ δὲ βασιλεὺς τῷ ἑαυτοῦ ἀδελφῷ εἶπεν· Δι' ὅλης τῆς νυκτὸς
τοῦτο ἐσκεπτόμην, τὸ πῶς αὐτὸν θανατώσω· τοῦτο δὲ ἔδοξέν
μοι, ἐν πυρὶ αὐτὸν κατακαῦσαι ἐκδαρέντα, καὶ αὐτὸν καὶ τὸν
ἔμπορον μετ' αὐτοῦ τὸν ἀγαγόντα αὐτόν.

αὐτῷ· Ἰδοὺ ἀδελφὲ πάντα σοι παρατίθημι, τὴν οἰκίαν καὶ τὰ πράγματά μου· ἐγὼ γὰρ διὰ τὴν συμβᾶσάν σοι θλῖψιν ἀθυμίᾳ ληφθεὶς ἰδοὺ ἀποθνήσκω. ἀλλὰ ἀνάπαυσόν μου τὴν ψυχὴν καὶ ἐπέξελθε δεινῇ τιμωρίᾳ τὸν μάγον ἐκεῖνον. Ὁ δὲ βασιλεὺς εἶπεν· Ἐνεθυμήθην ἐν πυρὶ αὐτοὺς κατακαῦσαι ἐκδαρμένους.

---

1 ὡς om S ‖ ἔδ. δὲ S αὐτῷ add C. TX. R αὐτὸν ἐν add S ‖ κ. αὐτ. FX. UY. R κατακαῦσαι αὐτ. CD. P. S ‖ κατὰκαῦσαι T: cf 147, 13 ‖ ἐκδαρθέντας F ἐκδαρμένους R (cf 17) ἐκδάρτους T. S om X: cf 11 ‖ αὐτῇ] δὲ add S ‖ 2 Γὰδ om S: cf Γ ‖ ἀδ.] νόσῳ ληφθεὶς add S ‖ ἐκακώθη S ‖ καὶ om S ʃ ‖ 3 καὶ om T τὴν add C. U. S ‖ ἐπιθεσίαν F (cf 138, 7; 9) ζημίαν S om (T) ‖ ἔπ.] καὶ add S ‖ ἐβ. σφ. om ʃ ‖ ἐβαρύνθη D. FX. R. S ἐβαρίθη Y ἐβαρέθην P: cf 153, 18; c 73 i ‖ 4 αὐτῷ (ʃ) om CD. FTX. PUY. R βασιλεὺς R om S ‖ 5 τὰ τ. μού κ. τὸν ο. μ. T. (R) ‖ μου alt om PUY. R 6 ἐπ. - σοι] συμβ. σοι παρὰ τοῦ ξένου λύπην τὲ καὶ ἐπ. P συμβ. σοι ἐπ. (θλίψιν T: cf Γ) T. S ὑπὸ τοῦ μάγου ἐκείνου add S ‖ ἐλ. κ. om P ‖ ἰδοὺ om A. S ʃ: del? cf 13 et 15 ‖ 7 ἐξέλθῃς S ὑπεξέλθῃς C (cf H): scr ἐπεξέλθῃς? cf Γ et Aa 38, 27 ‖ τῇ] δεινῇ T (cf Γ) om S ʃ ‖ 8 ἐκ. τ. μ.] αὐτοῦ S ‖ οὐκ ἀ.] κατάξεις S ‖ τ. ψ. μ. S ‖ ᾅδην (cf c 156 i) et add μετὰ λύπης S ‖ 9 εἶπεν τ. ἑ. ἀδ. (X). S ‖ τῆς om A ‖ 10 αὐτοὺς CD: cf 133, 11 ‖ ἀπολέσω F. S: cf 133, 8 ‖ 10–11 μοι ἔδ. C. TX. P ‖ 11 μοι om UY ‖ ἐν om S: cf Γ ‖ ἐν - καὶ αὐτ.] ἐκδαρθέντα τῷ πυρὶ τοῦτον παραδοῦναι ὡς αὕτως δὲ P ‖ ἐκδαρθέντα (D). TX. UY. R ‖ 11–12 κ. α. - ἀγ. α.] al ʃ 12 μ. α.] σὺν αὐτῷ (R) (cf 146, 11) om (CD) ‖ τ. ἀγ. α.] τὸν καὶ α. ἀγαγότα P

13 πάντα] τὰ ἐμὰ add H ‖ τὴν] τε add H ‖ 14–15 διὰ - ληφθ.] περὶ σοῦ ἀθυμήσας ἐν τῷ ἀνδρὶ ἐκείνῳ H ‖ 14 θλ.] λύπην B: cf P ‖ 15 ἰδοὺ om BZ: cf 6 et 13 ‖ 16 υπέξελθε H: cf 7 ‖ τῷ μάγῳ (πλάνῳ H) ἐκείνῳ BH ‖ βασ. om BZ: cf Δ ‖ 17 εἶπεν] λέγει ἐν θυμῷ H: cf 132, 20 ‖ ἐνεθ.] ἀδελφέ μου add H ‖ ἐν om BZ: cf Δ ‖ ἐκδέρτους π. α. κατ. Z ‖ κατ. α. H ‖ ἐκδάρτους B: scr ἐκδεδαρμένους? cf 1

22 *Καὶ ὡς ὡμίλουν, ἐξῆλθεν ἡ ψυχὴ Γὰδ τοῦ ἀδελφοῦ αὐτοῦ. ὁ δὲ βασιλεὺς ἐπένθει τὸν Γὰδ σφόδρα, πάνυ γὰρ* 209 T *ἠγάπα αὐτόν, καὶ προσέταξεν εἰς βασιλικὴν ἐσθῆτα καὶ πολύτιμον κηδευθῆναι αὐτόν. τούτων δὲ γενομένων τὴν ψυχὴν Γὰδ τοῦ ἀδελφοῦ τοῦ βασιλέως ἄγγελοι παραλαβόντες εἰς τὸν οὐρανὸν ἀνήγαγον, ὑποδεικνύοντες αὐτῷ τοὺς ἐκεῖ τόπους* 37 Th *καὶ οἰκήσεις, ἐξετάζοντες αὐτόν· Εἰς ποῖον τόπον βούλει οἰκῆσαι; Ὅτε δὲ ἤγγισαν εἰς τὴν οἰκοδομὴν Θωμᾶ τοῦ ἀποστόλου, ἣν ἔκτισεν τῷ βασιλεῖ, ἰδὼν αὐτὴν ὁ Γὰδ εἶπεν τοῖς ἀγγέλοις· Δέομαι ὑμῶν κύριοί μου, εἰς ἕνα τῶν κατώγεων οἴκων τούτων συγχωρήσατέ μοι οἰκῆσαι. Οἱ δὲ ἔφησαν αὐτῷ·*

---

22 Ὁ δὲ ἀπέδωκεν παρ' αὐτὰ τὴν ψυχὴν αὐτοῦ. ὁ δὲ βασιλεὺς ἐπένθει τὸν ἴδιον ἀδελφόν, καὶ ἐβούλετο ἐν πολυτίμῳ πορφύρᾳ κατατεθῆναι αὐτόν. οἱ δὲ ἄγγελοι παραλαβόντες τὴν ψυχὴν τοῦ Γεθὰν ἀπήγαγον ἐν τῷ παραδείσῳ, δεικνύντες αὐτῇ τοὺς ἐκεῖσε τόπους καὶ οἰκήσεις καὶ ὅσα ἀγαθὰ ἡτοίμασεν ὁ θεὸς τοῖς ἀγαπῶσιν αὐτόν. καὶ ὅτε ἦλθεν εἰς τὴν οἰκοδομὴν τοῦ Θωμᾶ ἐπερώτησαν αὐτὸν οἱ ἄγγελοι· Ποῦ βούλει οἰκῆσαι; Καὶ ἀποκριθεὶς εἶπεν· Δέομαι ὑμῶν κύριοί μου, εἰς ἓν τῶν

16 cf Cor 1, 2, 9

---

2 *αὐτοῦ] τοῦ βασιλέως CD. FTX. PY. S ‖ ἐπένθησεν A: cf Γ ‖ τ. Γ.] τ. ἴδιον ἀδελφὸν T (cf Γ) γὰδ τὸν ἀδελφὸν αὐτοῦ R αὐτὸν S om F ‖* 3 *αὐτ. ἠγ. CD. FX. PUY ‖ προσ.]* uoluit ſ (*cf Γ*) ‖ *εἰς om S ‖ β.-πολ.]* sepulcrum splendidum ſ labro purpureo p ‖ *πολυτίμητον U ‖* 4 *κ. α.] ἐνδυθῆναι αὐτὸν καὶ κηδευθῆναι S ‖ γινομένων D. TX. P ‖ ψ.] τοῦ add P ‖* 5–6 *ἀπήγαγον ε. τ. ο. S ‖* 6 *ὑποδεικνῦντες D. S ‖ αὐτὸν A. Y ‖ ἐκεῖσε T. S: cf Γ ‖* 7 *καὶ] τὰς add D. X. R. S: cf H ‖ οἰκίας S καὶ add CD ‖ ἐξ. α.] λέγοντες S ‖* 7–8 *βούλη οἰκ. τ. S ‖* 7 *βούλεται CD (cf BH) βουληθεὶ U om X ‖* 8 *ἤγγισεν CD. F ‖ οἰκ.]* palatium ſ *τοῦ θαύματος add S ‖* 9 *ἰδ.-Γὰδ om U ‖ ὁ om S ‖ Γ.] ὁ ἀδελφὸς τοῦ βασιλέως add S* (ſ) ‖ *λέγει S ‖* 10 *καταγέων U: cf Γ ‖* 11 *οἴκ. τ.] τοῦ οἴκου τούτου P ‖ οἴκ. om U. R. S ‖ με U: cf 136, 4; 154, 13; c 75 e; 91 e; 130 e; 150 i; 151 i; 165 m; 167 i; et 93 m; 102 e; (138 i; 150 i) 168 e ‖ εἶπον S*

12 *ὁ δὲ-ψ. α.] καὶ π. α. ἔκπληκτος γενάμενος ἀπέπνευσεν H ‖ π. α. ἀπ. B ‖* 13 *ἐσκέπτετο H ‖ εἰς Z om B ‖ πολύτιμον (κενουργίαν Z: l καινουργῆ?) πορφύραν BZ ‖* 14 *α. καταθῆναι B ‖ καταθέσθαι H ‖ παραλαβῶτες H λαβόντες BZ ‖* 15 *τ. Γ.] αὐτοῦ BZ ‖ εἰσήγαγον H ‖ δεικνύοντες Z: cf Δ ‖* 16 *ἐκεῖ B: cf Δ ‖ καὶ prius] τὰς add H: cf Δ ‖* 16–17 *ὁ θ. τ. ἀγ. ἡτ. B ‖* 18 *ἐπηρώτησαν B: cf 130, 16 ‖ π. β. ο.] τὸ (om B) ποῦ βούλεται BH: cf CD ‖ τὴν οἴκησιν ποιῆσαι BZ ‖* 19 *κ. ἀπ. ε.] ὁ δὲ (add al) ἀπεκρίθη H*

Οὐ δύνασαι οἰκῆσαι ἐν ταύτῃ τῇ οἰκοδομῇ. Ὁ δὲ εἶπεν· Διὰ τί; Λέγουσιν αὐτῷ· Τοῦτο τὸ παλάτιον ἐκεῖνό ἐστιν ὃ οἰκοδόμησεν ὁ χριστιανὸς ἐκεῖνος τῷ ἀδελφῷ σου. Ὁ δὲ εἶπεν·
164 W *Δέομαι ὑμῶν κύριοί μου, συγχωρήσατέ μοι ἀπελθεῖν πρὸς τὸν ἀδελφόν μου, ἵνα ἀγοράσω παρ' αὐτοῦ τὸ παλάτιον τοῦτο· οὐ γὰρ οἶδεν ὁ ἀδελφός μου ὁποῖόν ἐστιν, καὶ πιπράσκει μοι αὐτό.*

23 *Τότε οἱ ἄγγελοι ἀφῆκαν τὴν ψυχὴν τοῦ Γάδ· καὶ ἐν τῷ ἐνδύειν αὐτοὺς αὐτὸν τὴν ἐντάφιον στολὴν ἐπεισῆλθεν αὐτῷ ἡ ψυχὴ αὐτοῦ· καὶ ἔλεγεν τοῖς περὶ αὐτὸν ἑστῶσιν· Καλέσατέ μοι τὸν ἀδελφόν μου, ἵνα αἰτήσωμαι παρ' αὐτοῦ*
38 Th *μίαν αἴτησιν. Εὐθέως οὖν εὐηγγελίσαντο τῷ βασιλεῖ αὐτῶν*

κατωγείων τούτων ἐάσατέ με οἰκῆσαι. Καὶ εἶπαν αὐτῷ οἱ ἄγγελοι· Οὐ δύνασαι, διότι τοῦ ἀδελφοῦ σού ἐστιν ὃ οἰκοδόμησεν ὁ χριστιανὸς ἐκεῖνος. Καὶ ἀπεκρίθη αὐτοῖς ἐκεῖνος λέγων· Δέομαι ὑμῶν κύριοί μου συγχωρήσατέ μοι ἀπελθεῖν εἰς αὐτόν, ἵνα ἀγοράσω αὐτὰ παρ' αὐτοῦ· οὐ γὰρ οἶδεν αὐτὰ ὁ ἀδελφός μου.

23 *Καὶ ἀφῆκαν τὴν ψυχὴν αὐτοῦ οἱ ἄγγελοι. ἐν δὲ τῷ ἐνδιδύσκειν αὐτὸν τὴν ἐντάφιον στολὴν εἰσῆλθεν εἰς τὸ σκήνωμα αὐτοῦ καὶ ἀναστὰς λέγει τοῖς περὶ αὐτόν· Φέρετέ μοι τὸν ἀδελφόν μου. Οἳ δὲ ἐν σπουδῇ εὐηγγελίσαντο αὐτῷ ὅτι Ὁ*

---

[1] *ταύτῃ] αὐτῇ F. P* ‖ *λέγει S* ‖ [2] *αὐτῷ] οἱ τοῦ φωτὸς ἄγγελοι add S* ‖ *ἐκεῖνο] τοῦ ἀδελφοῦ σου S* ‖ *ᾠκοδόμησεν CD. TX. P. (R). S: cf 128, 5* ‖ [3] *τ. ἀ. σ.] ὁ κατεχόμενος ἐν τῇ φρουρᾷ τῇ ςφυλακῆς δέσμιος S* ‖ *ἀδελφός A* ‖ *λέγει S* ‖ [4] *μοι] με D. P: cf 16; 135,11* ‖ [6] *εἶδεν X: recte?* uidit ʃ ‖ *ὁπ. ἐ. om ʃ (cf Γ)* ‖ [8–9] *ἐν τῷ om A* ‖ [9] *αὐτὸν αὐτοὺς P αὐτὸν αὐτοῖς U* ‖ *αὐτοὺς om R. S* ‖ *εἰσῆλθεν A ὑπεισῆλθεν S ἐπῆλθεν X: cf c 160 e* ‖ [10] *λέγει S* ‖ *π. α. ἑ.] παρεστῶσιν αὐτῷ CD (ʃ?)* ‖ [11] *μοι] με A* ‖ [12] *αἴτ. μ. R. S δέησιν μ. CD. FTX. PUY* ‖ *αὐτῶν om F. P. R. S: del?*

[13] *κατογέων B: cf Δ* ‖ *μεῖναι B(Z)* ‖ *κ. ε.] εἶπων οὖν H* ‖ [14] *δύνῃ BZ* ‖ *ἐπεὶ Z ἐπειδὴ B* ‖ *εἰσὶν ἃ H* ‖ [15] *καὶ - λέγ.] ὁ δὲ (add al) ἐδυσώπει H* ‖ *α. ἐκ. om B: del?* ‖ [16] *δεόμενος αὐτοῖς H* ‖ *μου om B* ‖ *μοι] με B μου H: cf 4* ‖ *εἰς α. om BZ* ‖ *scr πρὸς? cf Δ* ‖ [17] *ὅπως H* ‖ *αὐτὰ prius] αὐτῷ H αὐτὸ B* ‖ [17–18] *οὐ - μου] al H* ‖ [17] *αὐτὰ alt] αὐτῷ B* ‖ [19] *καὶ - ἄγγ.] al et plura H* ‖ [19–20] *ἐν - στολ.] καὶ BZ* ‖ [20–21] *εἰσ. - α. καὶ om H* ‖ [20] *εἰσελθοῦσα B* ‖ *σῶμα (om αὐτ.) B* ‖ [21] *ἀνακαθίσας H* ‖ *τ. π. α. om H* ‖ *ἀπελθόντες add BZ ταχέως add BH* ‖ [21]–137,[11] *φέρ. - ἀν.] εὐαγγελίσασθαι τῷ ἀδελφό μου Z* ‖ [22] *μου] ἵνα αἰτήσομαι παρ' αὐτοῦ αἴτιμα add B: cf Δ* ‖ *οἳ - σπ.] καὶ ἀπελθόντες B* ‖ [22]–137,[11] *ὅτι - ἀν.] περὶ τοῦ ἀδελφοῦ B*

λέγοντες ὅτι Ὁ ἀδελφός σου ἀνέζησεν. Ὁ δὲ βασιλεὺς ἐκπη- 210 T
δήσας σὺν πλήθει πολλῷ ἤρχετο πρὸς τὸν ἴδιον ἀδελφόν, καὶ
εἰσελθὼν ἔστη πρὸς τὴν κλίνην αὐτοῦ ὥσπερ ἔκπλη|κτος, μὴ 18 B
δυνάμενος λαλῆσαι αὐτῷ. εἶπεν δὲ ὁ ἀδελφὸς αὐτοῦ· Οἶδα καὶ
πέπεισμαι ἀδελφὲ ὅτι εἴ τις ᾔτησέν σε τὸ ἥμισυ τῆς βασιλείας
σου, δέδωκας ἂν ὑπὲρ ἐμοῦ· διὸ ἀξιῶ σε παρασχεῖν μοι χάριτα
μίαν ἣν αἰτοῦμαί σε ἵνα πωλήσῃς μοι ὃ αἰτοῦμαι παρὰ σοῦ.
Ὁ δὲ βασιλεὺς ἀποκριθεὶς εἶπεν· Καὶ τί ἐστιν ὃ αἰτεῖς με πωλῆ-
σαί σοι; Ὁ δὲ ἔφη· Ὅρκῳ με πεῖσον ὅτι μοι παρέχεις. Καὶ ὤμο-
σεν αὐτῷ ὁ βασιλεὺς ὅτι Ἓν τῶν ὑπαρχόντων μοι εἴ τι ἐὰν αἰτήσῃ

ἀδελφός σου ἀνέζησεν. Κἀκεῖνος δρομαῖος ἐκπηδήσας μετὰ τοῦ ἰδίου στρατοῦ ἐλθὼν κατεφίλει αὐτόν. Ὁ δὲ λέγει αὐτῷ· Οἶδα ἀδελφὲ ὅτι εἴ τι ᾐτησάμην σε ἕως ἡμίσους τῆς βασιλείας σου ἔδωκάς μοι καὶ οὐ παρεῖδές μέ ποτε. Τότε λέγει αὐτῷ· Ὅρκῳ με πεῖσον. Καὶ ὤμοσεν αὐτὸν ὅτι Ἐάν με αἰτήσῃς ἕως τῆς κεφαλῆς μου, οὐ μή σε παρέλθω. Κἀκεῖνος ἔφη· Τὸ πα-

[5] cf Marc 6, 23 ‖ [10] cf Marc 6, 22

---

[1] ὅτι *om S* ‖ ἀν.] καὶ καλεῖ σε *add S* ‖ [2] σ. π. π.] ἐν σπουδῇ πολλῇ *S* ‖ ἔρχεται *P. S* ἦλθε *R* ‖ [3] εἱστήκει *CD. TX. PUY. R. S* ‖ πρὸς] τὸν ἴδιον ἀδελφὸν εἰς *add S* ‖ ὥσπερ *om S* ‖ [4] δὲ] αὐτῷ *addS* ‖ [5] ἀδ. *om F: cf Z* ‖ εἴ] ἐὰν *S* ‖ τις] ἂν *add R* ‖ αἰτήσηται *S* ‖ σοι *F. U. R* ‖ [6] δεδώκεις *TX. PUY. R* δίδως *S* ‖ ἂν *om S* αὐτὸ *add D. S* ‖ διὸ] καὶ *add U* ‖ σοι *T. R* ‖ χάριταν *A. P* αἴτησιν *S om* ſ ‖ [7] ἣν - σοῦ] *scr* ὃ αἰτ. σε ἵνα πωλ. μοι? *cf praef* ‖ ἣν α. σε *om S* ſ: *del?* ‖ σε] σοι *A. TX* ‖ ἵ. π. μ. *om S* ‖ ποιήσῃς *A: cf 8* ‖ μοι *om Y. R* ‖ ὃ - σοῦ] πρᾶγμα ἓν *D* id in quo elaborasti ſ *om A. S* ‖ σοῦ] σοί *C* ‖ [8] ἀποκρ. *om S* ſ ‖ θέλεις *S* ‖ με π. σοι] αἰτῆσαι με *S* ποιῆσαί με *Thilo* ‖ με *om A* ‖ ποιῆσαι *A: cf 7* ‖ [9] ὁ δὲ ἔφη *om P* ‖ ὅρκῳ - παρ.] iura mihi ſ ‖ ὅρκον *A. X* ‖ με] μοι *X* ‖ ποίησον *A. X* πίστωσον *CD. T. R* πληροφόρησον *S: cf Γ* ‖ παρ. μοι *RS* οὐ παρακούσεις μοι *P* αὐτῷ *add R* ὃ αἰτοῦμαι *add S* ‖ [10] ἐν *A* ἐκ *F. R. S (recte ut uid) om CD* ‖ τοῖς ὑπάρχουσιν *A* ‖ μου *F: cf c 62 m* ‖ εἴ τι] ὃ *A: cf 122, 13; c 93 m; 99 m* ‖ ἂν *D. FTX. PU. R. S* ‖ αἰτήσῃς *CD. F. P(U)Y. R. (S): cf 5; 7; al*

[11–12] κἀκ. - κατ.] ὁ δὲ ἀκούσας χαρᾶς πλησθεὶς ἦλθεν καταφιλῶν *(B)Z* ‖ [12–13] ἀδ. οἶδα *B* ‖ [13] ἀδ. *om Z: cf F* ‖ εἴ - σε] ὅσα σοι ᾔτησ. *Z* ἐὰν αἰτισάμην *B* ‖ ἕως - σου *om H* ‖ [14] ἔδ. μοι καὶ *om BH: cf Δ* ‖ οὐ] μὴ *Z* ‖ με παρίδῃς *Z* ‖ παρῆλθες *H* ‖ μέ *om H* ‖ [14–15] τότε - πεῖσον *post* παρέλθω *(16) B* ‖ τότε - αὐτὸν] ὁ δὲ ἔφη μεθ' ὅρκου *H* ‖ [15] κ. ὤ. α.] ὁ δὲ εἶπεν αὐτῷ ἀδελφέ μου *B* ‖ *scr* αὐτῷ? ‖ ὅτι *om BZ: del?* ‖ [15–16] ἐάν - παρ. *om Z* ‖ [15] με α.] ἔστιν *B* ‖ [16] κ. ἔ.] καὶ πισθεὶς τότε εἶπεν *BZ* ‖ [16]–138,[15] ἀδ. τὸ π. *BZ*

δίδωμί σοι. Καὶ λέγει αὐτῷ· Τὸ παλάτιον ἐκεῖνο τὸ ἐν τοῖς
οὐρανοῖς ἔχεις πώλησόν μοι. Καὶ ὁ βασιλεὺς εἶπεν· Ἐμοὶ
παλάτιον ἐν τοῖς οὐρανοῖς πόθεν ὑπάρχει; Ὁ δὲ ἔφη· Ἐκεῖνο
ὃ οἰκοδόμησέν σοι ἐκεῖνος ὁ χριστιανὸς ὁ ὢν νῦν ἐν τῷ δεσμω-
τηρίῳ, ὃν ἤγαγέν σοι ὁ ἔμπορος ἀγοράσας παρὰ Ἰησοῦ τινος·
39 Th τὸν δοῦλον λέγω ἐκεῖνον τὸν Ἑβραῖον, ὃν ἐβούλου κολάσαι ὡς
ἐπίθεσίν τινα παρ' αὐτοῦ παθών, ἐφ' ὃν κἀγὼ λυπηθεὶς ἀπέ-
θανον καὶ ἀνέζησα νῦν.

24 Τότε ὁ βασιλεὺς εἰς ἐπίστασιν ἐλθὼν συνῆκεν περὶ
τῶν διαφερόντων αὐτῷ καὶ μελλόντων αἰωνίων ἀγαθῶν, καὶ
εἶπεν· Ἐκεῖνο τὸ παλάτιον πωλῆσαί σοι οὐ δύναμαι, εὔχομαι
δὲ εἰσελθεῖν εἰς αὐτὸ καὶ οἰκῆσαι καὶ καταξιωθῆναι τῶν
211 T οἰκητόρων αὐτοῦ· σὺ δὲ ἀληθῶς εἰ βούλει πρίασθαι τοιοῦτον
παλάτιον, ἰδοὺ ὁ ἄνθρωπος ζῇ καὶ κτίζει σοι ἐκείνου βέλτιον.

λάτιον ἀδελφὲ ὃ ἔχεις ἐν τοῖς οὐρανοῖς πώλησόν μοι. Καὶ εἶπεν αὐτῷ ὁ βασιλεύς· Ἐμοὶ παλάτιον ἐν τοῖς οὐρανοῖς πόθεν ὑπάρχει; Καὶ εἶπεν αὐτῷ· Ναὶ ἀδελφέ, ὃ ᾠκοδόμησέν σοι ἐν ἀληθείᾳ ὁ Θωμᾶς.

24 Τότε ὁ βασιλεὺς περιχαρὴς γενάμενος λέγει· Ἐκεῖνο τὸ παλάτιον πωλῆσαι οὐ δύναμαι· ἀόρατον γάρ ἐστιν· ἀλλ' εὔχομαι κἀγὼ ἐπιτυχεῖν αὐτοῦ. ἔχομεν δὲ τὸν οἰκοδόμον καὶ κτίζει

---

[1] δώσω A: cf 123, 1 ‖ καὶ] τότε CD. FT. PUY. R. S: cf Γ ‖ αὐτῷ om CD. X. PUY γὰδ add F ‖ ἐκ. om X: cf Γ ‖ τὸ] ὃ D. FTX. P. R recte: cf Γ ‖ [2] οὐρ.] ὃ add C ‖ καὶ ὁ] ὁ δὲ S ‖ λέγει S (ʃ) ‖ ἐμὸν CD. T. PY ‖ [3] π. ὑ.] quis dedit? ʃ ‖ ὃ δὲ ἔ. om UY ‖ [4] σοι ᾠκοδόμησεν S ‖ ᾠκοδόμησέν C. FTX. R: cf 128, 5 ‖ ὁ χρ. ἐκ. D. T. P. R. S ‖ ἐκ. om C ʃ ‖ [4–8] ὁ ὢν - νῦν om ʃ ‖ [5] σοι om S ἀββάνης add D. (R). S ‖ [5–8] ἀγ. - νῦν om S ‖ [5] ἀγ.] αὐτὸν add P ‖ τιν. ἰησ. D. P ‖ Ἰ. om C ‖ [6] ὃν] καὶ add P: cf c 117m ‖ κολ. ἐβ. P ‖ [9–10] εἰς - ἀγ. καὶ om ʃ ‖ [9] ε. ἐ. ἐ. om S ‖ ἐπιστασίαν A (cf 134, 3) ἔκστασιν X. P ‖ [10] τῶν - ἀγ.] τοῦ ἀποστόλου S ‖ καὶ prius om CD. X ‖ μελλ. om CD ‖ [11] σε A. R ‖ [12] δὲ] καὶ δέομαι add S (ʃ) (cf 139, 4) a deo add ʃ ‖ οἰκ.] accipere ʃ ‖ [13] αὐτοῦ ⟨γενέσθαι⟩? (ʃ?) cf 139, 6 ‖ ἀλ. (ʃ) om P. S ‖ πριάσασθαι R. S ‖ τοιοῦτο Thilo ‖ [14] ζῇ om CD ʃ: cf Γ ‖ καὶ om ʃ ‖ ἐκ.] meo ʃ

[15] μοι] αὐτὸ add BZ ‖ [15–16] καὶ - βασ.] ὁ δὲ εἶπεν B(H) ‖ [16] καμοὶ H καὶ ἐμοὶ B ‖ τοῖς om B ‖ ποῦ BH: cf Δ ‖ [17] κ. ε. α.] ὁ δὲ πάλιν H ‖ αὐτῷ om B ‖ [17–18] ναὶ - Θ. om Z ‖ ναὶ ἀδ. om B ‖ [17] ὅπερ οἰκοδόμησέν B ‖ ἐν ἀλ. om B ‖ [18] Θ.] ὁ χριστιανὸς ἐκεῖνος B (cf Δ et 136,15) ‖ [19] τότε - λ.] καὶ εἶπεν αὐτῶ ἀδελφὲ B al Zz ‖ [19–21] ἐκ. - ἐπιτ.] al H ‖ [19–20] τὸ π. om B ‖ [21] κ.] κἂν ἐγὼ B ‖ αὐτῶ BZ ‖ ἔστιν δὲ καὶ ὁ οικωδόμος H

Καὶ εὐθέως πέμψας ἐξήγαγεν ἐκ τοῦ δεσμωτηρίου τὸν ἀπό- 40 Th
στολον καὶ τὸν ἔμπορον τὸν ἐγκλεισθέντα σὺν αὐτῷ, λέγων·
Δέομαί σου ὡς ἄνθρωπος δεόμενος τοῦ διακόνου τοῦ θεοῦ 165 W
ἵνα εὔξῃ ὑπὲρ ἐμοῦ καὶ δεηθῇς ἐκείνου οὗ διάκονος ὑπάρχεις ἵνα μοι ἀφήσῃ καὶ παρίδῃ ἃ εἰς σὲ διεπραξάμην ἢ καὶ ἐνεθυμήθην διαπράξασθαι, καὶ ἄξιόν με γενέσθαι οἰκήτορα ἐκείνης τῆς οἰκήσεως ἧσπερ ἐγὼ μὲν οὐδὲν ἔκαμον, σὺ δέ μοι ἔκτισας μόνος καμών, συνεργούσης σοι τῆς χάριτος τοῦ θεοῦ σου, καὶ ἵνα γένωμαι ὑπηρέτης κἀγὼ καὶ δουλεύσω τῷ θεῷ τούτῳ ᾧ σὺ κηρύττεις. Καὶ ὁ ἀδελφὸς δὲ αὐτοῦ προσπεσὼν
τῷ ἀποστόλῳ ἔλεγεν· Δέομαί σου καὶ | ἱκετεύω ἔμπροσθεν τοῦ 19 B
θεοῦ σου ἵνα ἄξιος γένωμαι τῆς τούτου διακονίας καὶ ὑπηρεσίας, καὶ κληρωθῶ ἄξιος γενέσθαι τῶν ὀφθέντων μοι ὑπὸ τῶν ἀγγέλων αὐτοῦ.

σοι. Καὶ πέμψας ἐν πολλῇ σπουδῇ ἐξέβαλον τὸν Θωμᾶν. Καὶ λέγει αὐτῷ· Συγχώρησον δοῦλε τοῦ θεοῦ εἴ τι ἐν ἀγνοίᾳ ἐπράξαμεν εἰς σέ, καὶ ποίησον ἡμᾶς κοινωνοὺς γενέσθαι τῆς βασιλείας ἐκείνου οὗ κηρύσσεις·

---

[1] *ἀποστείλας P* ‖ *ἐκ - ἀπόστ.] αὐτὸν ἐκ τ. δ. P* ‖ *ἐκ τ. δ. om* ʃ: *cf Γ* ‖ [2] *ἔμπ. - αὐτῷ] συγκλεισθέντα μετ᾽ αὐτοῦ ἔμπ. P* ‖ *τ. ἐγκλ. om R. S* ‖ *μετ᾽ αὐτοῦ X (cf 146, 11) om S* ‖ *λέγ.] καὶ λέγει τῷ ἀποστόλῳ S* ‖ [3–4] *ὡς - ἐμοῦ] διάκονε τοῦ θεοῦ ὡς ἄνθρωπον πταίσαντα συγχωρήσῃς με P* ‖ [3] *τ. δ. om T. S* ‖ *τ. θ. om T* ‖ [4] *ἐκ.]* a deo ʃ ‖ *οὗ] καὶ ὡς εἶπον add P: cf 119, 12* ‖ *ὑπ.] οἶδας τυγχάνειν P: cf 128, 7; sed c 53 i; 64 e; 65 m; 66 i; m (ter); al P solus* ‖ [5] *ἀφήσει suspic Thilo ad c 40 e: cf c 167 i et 114, 3* ‖ [5–6] *ἢ - διαπρ. om D. S* ʃ: *del??* ‖ [5] *ἢ] εἰ Α om C. FTX. PUY. R* ‖ [6] *ἀξίωσον F: cf 138, 12* ‖ *με] ποίησον add X: cf Γ et 138, 12* ‖ *γεν.]* faciat ʃ *ποιήσῃ add D* ‖ *οἰκήτορα om S* ‖ [7–9] *ἧσπερ - θ. σου]* quod aedificasti mihi ʃ ‖ [7] *οὐδὲν ἐγ. μ. P* ‖ [7–10] *σὺ - κηρ.] om S* ‖ [9] *κ. δ. om* ʃ: *cf 149, 18* ‖ [10] *ὃν PUY* ‖ *ὁ - αὐτ.] ὁ τοῦ βασιλέως ἀδ. P* ‖ *δὲ om CD. F(TX). S* ‖ [11] *λέγει S* ‖ *σου om P* ‖ *καὶ]* ego quoque ʃ: *cf 141, 19* ‖ [11–12] *ἔ. τ. σοῦ θ. ἱκ. P* ‖ [12] *σου om CD. F(TX)* ‖ *τούτου] τοιαύτης S* ‖ *κ. ὑπ. om S* ʃ: *149, 18* ‖ [13] *ἄξ. γ. om S* ʃ ‖ *ὀφθ.] ὑποδειχθέντων coni Thilo: cf Mt 237, 3* ‖ [14] *αὐτοῦ om S* ʃ

[15] *ἐν π. σπ. om BZ: cf Δ* ‖ [15–16] *ἐξ. - λέγει] ἤγαγον τὸν θωμᾶν καὶ λέγουσιν H* ‖ [15] *ἐξέβαλεν B ἤγαγον H: scr ἐξήγαγεν? cf Δ* ‖ *Θ.] ἐκ τῆς φυλακῆς add Z: cf Δ* ʃ ‖ [16] *λέγουσιν H* ‖ *συγχ.] λέγοντες add H ἡμῖν add B μοι add Z* ‖ *δ. τ. θ. om BZ: cf Δ* ‖ *εἴ τι] ὅτι Z* ‖ [16–17] *ἐν - σέ] ἐπλημμελήσαμεν εἰς σὲ ἐν ἀγν. (BZ)* ‖ [17] *τ. βασ. om B* ‖ [17–18] *βασ. - κηρ.] αὐτοῦ βασ. Z*

25 Ὁ δὲ ἀπόστολος χαρᾶς ληφθεὶς εἶπεν· Ἐξομολογοῦμαί σοι κύριε Ἰησοῦ ὅτι ἀπεκάλυψάς σου τὴν ἀλήθειαν ἐν τοῖς ἀνθρώποις τούτοις· σὺ γὰρ εἶ μόνος θεὸς τῆς ἀληθείας, καὶ οὐχ ἕτερος· καὶ σὺ εἶ ὁ τὰ πάντα εἰδὼς τὰ τοῖς πολλοῖς
212 T ἄγνωστα· σὺ εἶ κύριε ὁ ἐν πᾶσι εὐσπλαγχνία καὶ φειδὼ ποιούμενος τοὺς ἀνθρώπους· οἱ γὰρ ἄνθρωποι διὰ τὴν πλάνην τὴν οὖσαν ἐν αὐτοῖς παρεῖδάν σε, σὺ δὲ οὐ παρεῖδες αὐτούς. καὶ νῦν αἰτουμένου μου καὶ ἱκετεύοντός σε δέξαι τὸν βασιλέα καὶ τὸν τούτου ἀδελφόν, καὶ κατάμειξον αὐτοὺς εἰς τὴν σὴν
41 Th ποίμνην, καθαρίσας αὐτοὺς τῷ σῷ λουτρῷ καὶ ἀλείψας αὐτοὺς τῷ σῷ ἐλαίῳ ἀπὸ τῆς περιεχούσης αὐτοὺς πλάνης· φύλαξον δὲ αὐτοὺς καὶ ἀπὸ τῶν λύκων, φέρων αὐτοὺς ἐν τοῖς σοῖς λειμῶσι· πότισον δὲ αὐτοὺς ἀπὸ τῆς ἀμβροσιώδους σου πηγῆς τῆς μὴ τεθολωμένης μήτε ληγούσης· δέονται γάρ σου καὶ ἱκετεύουσιν καὶ βούλονται ὑπηρέται καὶ διάκονοί σου γενέσθαι, καὶ ἕνεκεν τούτου εὐδοκοῦσιν καὶ διωχθῆναι ὑπὸ τῶν ἐχθρῶν

---

25. 26. 27 καὶ δὸς ἡμῖν τὸν ἀρραβῶνα τῆς κλήσεως αὐτοῦ. Καὶ ὁ ἀπόστολος κατηχήσας ἐβάπτισεν αὐτοὺς τῷ λουτρῷ τῆς

[1] cf Matth 11, 25

---

[1] *χ. λ. om* ſ ‖ *χαρᾷ CD. X. UY. R (scr χαρᾷ?) μεγάλης add P* ‖ *πλησθεὶς P. S* ‖ [2] *Ἰ.] χριστὲ add D. R. S* (ſ) ‖ [2-3] *ὅτι - γὰρ*] qui ſ ‖ [2] *ἀπεκάλυψά S* ‖ [3] *μόνος] ὁ add D. T. PUY. R* ‖ *τ. ἀλ. om S* ‖ [4] *οὐκ A. X* ‖ *τὰ π. om* ſ ‖ [4-7] *τὰ τ. - αὐτούς] καὶ οὐκ ἔστιν πλήν σου S* ‖ [4] *εἰδ.] οἶδας A* ‖ *τὰ] καὶ add P* ‖ *τοῖς π.*] homini ſ ‖ [5-6] *ὁ ἐν - ἀνθρώπους*] cuius misericordia est super hominibus quos tu uoluisti et fecisti ſ ‖ [5] *πᾶσιν C (recte) πάσῃ A. TX. PU(Y?)* ‖ [5-6] *τοῖς ἀνθρώποις ε. κ. φ. ποι. D* ‖ [5] *εὐσπλαγχνίαν CD. U recte* ‖ *καὶ om FX. P. R* ‖ [5-6] *τοῖς ἀνθρώποις φειδοποιούμενος P* ‖ *φ. π.] φιδοποιούμενος A (X. R) φειδόμενος F* ‖ [6] *περιποιούμενος UY ἐν add C* ‖ *τοῖς ἀνθρώποις C. T (recte?) τῶν ἀνθρώπων F* ‖ [6-7] *διὰ - αὐτοῖς om* ſ ‖ [7] *παρεῖδον CD. (FTX). PU(Y). R* ‖ [8] *κ. ν. - σε om* ſ ‖ [9] *σὴν om A* ‖ [10] *τ. σ. λ. om* ſ ‖ [11] *τ. σ. ἐ. om* ſ ‖ *ἐλέῳ T. Y om (X)* ‖ *αὐτοῖς A. R. S* ‖ *πλ.*] sorde ſ ‖ *post πλ. iterat κ. ἴ. - π. σου (141, 6 - 9) R* ‖ [11]–141,[9] *φύλ. - σου om S*

Δ = A. Φ (Φ = CD. FTX. PUY. R) [12] *κ. ἀ. τ. λ. om A* ‖ *φ.*] pasce ſ *scr νέμων??* ‖ *σοῦ (C?) P om A* ‖ [14] *μήτε θολουμενης (D) recte (et ipse conieceram): cf 157, 6* ‖ [15] *ὑπ. om CD* ‖ *σοι X om R: cf 146, 9; 150, 2; 152, 15; 155, 13; 15; c 68 e (bis); 131 e; 150 i; 159 e* ‖ [16] *καὶ alt om D. R*

[17] *καὶ - αὐτοῦ om BZ* ‖ [18] *καὶ ὁ] ὁ δὲ B* ‖ *κατ.] λαβῶν Z λέγει κἀγὼ ὑμῖν συγχαίρω κοινωνοὺς γενέσθαι αὐτοῦ τῆς βασιλείας καὶ λαβὼν B* ‖ *ἐβ. α.] α. ἐφώτισε H ἐφώτησεν B* ‖ *αὐτ.] δόσας αὐτοῖς add B* ‖ *τὸ λουτρὸν BZ*

σου καὶ διὰ σὲ ὑπ' αὐτῶν μισηθῆναι καὶ ὑβρισθῆναι καὶ ἀποθανεῖν, ὡς καὶ σὺ ὑπὲρ ἡμῶν ταῦτα πάντα ἔπαθες, ἵνα ἡμᾶς περιποιήσῃ, κύριος ὢν καὶ ἀληθῶς ποιμὴν ἀγαθός. σὺ δὲ δὸς αὐτοῖς ἵνα ἔχωσιν ἐν σοὶ μόνῳ τὴν παρρησίαν καὶ τὴν παρὰ σοῦ βοήθειάν τε καὶ ἐλπίδα τῆς σωτηρίας αὐτῶν, ἧς ἐκδέχονται παρὰ σοῦ μόνου, καὶ ἵνα βεβαιωθῶσιν εἰς τὰ σα μυστήρια, καὶ δέξονται τῶν σῶν χαρισμάτων καὶ δομάτων τὰ τέλεια ἀγαθά, καὶ ἀνθήσουσιν ἐν τῇ σῇ διακονίᾳ, καὶ τελεσφορήσουσιν ἐν τῷ πατρί σου.

26 *Πάνυ οὖν διατεθέντες ἐν τῷ ἀποστόλῳ ὅ τε βασιλεὺς Γουνδαφόρος καὶ ὁ τούτου ἀδελφὸς Γὰδ εἵποντο αὐτῷ μηδ' ὅλως ἀναχωροῦντες, καὶ αὐτοὶ ἐπαρκοῦντες τοῖς δεομένοις,* 166 W *πᾶσιν διδόντες καὶ ἀναπαύοντες πάντας· ἐδεήθησαν δὲ αὐτοῦ ἵνα καὶ τὴν σφραγῖδα τοῦ λόγου δέξωνται λοιπὸν καὶ αὐτοί,* 42 Th 213 T *λέγοντες αὐτῷ· Σχολαζουσῶν τῶν ψυχῶν ἡμῶν | καὶ προ-* 20 B *θύμων ἡμῶν οντων περὶ τὸν θεόν, δὸς ἡμῖν τὴν σφραγῖδα· ἠκούσαμεν γάρ σου λέγοντος ὅτι ὁ θεὸς ὃν κηρύσσεις διὰ τῆς αὐτοῦ σφραγῖδος ἐπιγινώσκει τὰ ἴδια πρόβατα. Ὁ δὲ ἀπόστολος ἔφη αὐτοῖς· Καὶ χαίρω καὶ δέομαι ὑμῶν λαβεῖν τὴν σφραγῖδα ταύτην, καὶ κοινωνῆσαί μοι εἰς τὴν εὐχαριστίαν*

χάριτος ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου

1 cf Matth 10, 22 ‖ 3 cf Io 10, 14 ‖ 18 cf Io 10, 3; 14

1–3 *κ. ὑβ. - ἀγ. om* ſ ‖ 1 *κ. ὑβ. om P* ‖ 3 *περιποιήσης A. P* ‖ *ἀληθινὸς T. P* ‖ *ἀγ.] καὶ φιλάνθρωπος P* ‖ 4 *scr σχῶσιν (cf 6)?? cf 151, 20; c 104 e; 137 e; 155, 13* ‖ 3–9 *σὺ - σου] aliquanto breuiora* ſ ‖ 7 *scr δέξωνται? cf 6; 8; 9; 114, 3* ‖ *χ. κ. δ.] δωρημάτων κ. χ. P* ‖ *κ. δ. om supra (140, 11) R* | *δογμάτων X δωμάτων U sup scr ρη Y δωρημάτων CD. R δωρεῶν F: cf c 53 e* ‖ 8 *τέλ] καὶ αἰώνια λέγω add P* ‖ *ἀγ.] σου add P* ‖ *ἀναθήσουσιν A ἀνθήσωσιν CD. T: cf 7* ‖ 8–9 *κ. ἐν τῷ σῷ τελεσφορήσουσι π. P* ‖ 9 *τελεσφορέσουσιν R τελεσφορήσωσιν CD. T supra (140, 11) R: cf 7*

Δ = A. Φ (Φ = CD. FTX. PUY. R. S) 10–11 *πάνυ - Γὰδ]* et laetabantur cum sacris carminibus et ſ ‖ 10 *γοῦν S* ‖ *ἐν om S* ‖ 10–11 *βασ. Γ.] γουνδιαφόρος ὁ βασ. S* ‖ 11 *γουνταφόρ R* ‖ *ὁ τ. ἀδ. om A* ‖ 11–12 *εἵποντο - αὐτοὶ om S* ‖ 11 *εἰπόντος R εἶπον A. X: cf 158, 15* ‖ 12 *ὅλ.] ἐξ αὐτοῦ add X* ‖ 13 *πᾶσιν om S* | *πάντας om A* ‖ *αὐτοῦ] τοῦ ἀποστόλου S* ‖ 14 *τ. λουτροῦ C. (X) (recte??? cf 140, 10; c 120 i; 132 i; Th cons A et Σ; Lipsius I p 332) om* ſ*: del??* ‖ 11–16 *λοιπ. - σφρ. om S* ſ ‖ 16 *ἡμῶν om P* ‖ 17–18 *ἠκ. - πρόβ. om S* ‖ 17 *ὃν] σὺ add R: cf 160, 1* ‖ *τῆς] τοιαύτης add P* ‖ 19 *καὶ prius]* ego quoque ſ *(cf 139, 11) om Φ: del?? scr κἀγὼ??* ‖ *ὑμᾶς R* ‖ 19–20 *λ. - καὶ om* ſ ‖ 20 *ταύτην om C. FX. PUY. R. S*

21 *εἰς τὸ (add al) ὄνομα H* ‖ *τοῦ om ter B*

ταύτην καὶ εὐλογίαν τοῦ κυρίου, καὶ τελειωθῆναι ἐν αὐτῇ· οὗτος γάρ ἐστιν κύριος καὶ θεὸς πάντων, Ἰησοῦς Χριστὸς ὃν κηρύσσω, καὶ αὐτὸς πατὴρ ἀληθείας, εἰς ὃν ὑμᾶς πιστεύειν ἐδίδαξα. Καὶ ἐκέλευσεν προσενεγκεῖν αὐτοὺς ἔλαιον, ἵνα διὰ τοῦ ἐλαίου δέξωνται τὴν σφραγῖδα. ἤνεγκαν οὖν τὸ ἔλαιον, καὶ λύχνους ἀνῆψαν πολλούς· νὺξ γὰρ ἦν·

27 *Καὶ ἀναστὰς ὁ ἀπόστολος ἐσφράγισεν αὐτούς· ἀπεκαλύφθη δὲ αὐτοῖς ὁ κύριος διὰ φωνῆς λέγων· Εἰρήνη ὑμῖν ἀδελφοί. Οἱ δὲ φωνῆς μόνον ἤκουσαν αὐτοῦ, τὸ δὲ εἶδος αὐτοῦ οὐκ εἶδον· οὐδέπω γὰρ ἦσαν δεξάμενοι τὸ ἐπισφράγισμα τῆς σφραγῖδος. λαβὼν δὲ ὁ ἀπόστολος τὸ ἔλαιον καὶ καταχέας ἐπὶ τῆς κεφαλῆς αὐτῶν καὶ ἀλείψας καὶ χρίσας αὐτοὺς ἤρξατο λέγειν· Ἐλθὲ τὸ ἅγιον ὄνομα τοῦ Χριστοῦ τὸ ὑπὲρ πᾶν ὄνομα· ἐλθὲ ἡ δύναμις τοῦ ὑψίστου καὶ ἡ εὐσπλαγχνία ἡ τελεία· ἐλθὲ τὸ χάρισμα τὸ ὕψιστον· ἐλθὲ ἡ μήτηρ ἡ*
43 Th *εὔσπλαγχνος· ἐλθὲ ἡ κοινωνία τοῦ ἄρρενος· ἐλθὲ ἡ τὰ μυστήρια ἀποκαλύπτουσα τὰ ἀπόκρυφα· ἐλθὲ ἡ μήτηρ τῶν ἑπτὰ οἴκων, ἵνα ἡ ἀνάπαυσίς σου εἰς τὸν ὄγδοον οἶκον γένηται.*
214 T *ἐλθὲ ὁ πρεσβύτερος τῶν πέντε μελῶν, νοὸς ἐννοίας φρονήσεως*

πνεύματος· καὶ ἀναβάντες ἐκ τοῦ ὕδατος ἐφάνη αὐτοῖς ὁ

[8] cf Io 20, 19; 21; 26 ‖ [9] cf Act 9, 7 ‖ [13] cf Phil 2, 9

[1–2] *κ. τελ. - Χρ. om* ſ ‖ [1] *ἐν α.] ἑαυτῷ P ‖ αὐτῷ CD. FTX. UY. R. S: recte??* ‖ [2–4] *οὗτος - ἐδίδ. om S* ‖ [3–4] *καὶ - ἐδ. om* ſ ‖ [4–5] *προσ. - τὸ ἔλ.] al* ſ ‖ [4] *προσενεχθῆναι S ‖ αὐτοῖς A. F (cf 116, 7) om S: del? cf c 140 m* ‖ [5] *λήψονται P: cf c 50 e; 51 e; al ‖ τὴν] ἐν χριστῷ add S ‖ τὸ om X: cf 4; 11* ‖ [6] *λυχνίας P ‖ πολλὰς (α ex ου) P* ‖ [7] *καὶ - αὐτούς] al* ſ ‖ *ὤφθη S* ‖ [9] *ἤκουον R ‖ αὐτοῦ om F. S* ‖ [10–11] *οὐδέπω - σφραγ. om S* ‖ *ἦσαν - σφ.]* baptizati erant ſ ‖ *ἐπ. τ. σφ.] χρίσμα C: cf 19; 12; 143, 3* ‖ [11] *ὁ δὲ ἀπ. λ. S ‖ τὸ om A: cf 4; 5 ‖ καὶ om S ‖ κατέχεεν S* ‖ [12] *κατὰ Φ ‖ ἀλ. κ. χρ. α. om* ſ ‖ *αὐτοῖς et add τῷ ἁγίῳ μύρῳ S* ‖ [14] *ἡ δ. τ. ὑ.]* potestas gratiae quae es ex superno ſ ‖ [14–143, 4] *haud pauca uar* ſ ‖ [14] *τοῦ] ἡ CD. FTX. PUY. S ‖ ὕψιστος C ὑψίστη D. FT. UY. S ὑψηλὴ P: cf 15* ‖ [14–15] *ἡ τελ. εὐσπ. (om alt ἡ) R* ‖ [15] *ἡ τελ. om S ‖ τὸ ὕψ. χ. (om alt τὸ) P ‖ τοῦ ὑψίστου Y τῶν ὑψίστων S: cf 14* ‖ [15–143, 1] *ἐλθὲ ἡ μ. - λογ. om S* ‖ [15–16] *ἐλθὲ ἡ μ. - εὔσπλ. om* ſ ‖ [16] *ab εὔσπλ. redit Q*

Δ = A. Φ (Φ = CD. FTX. PUY. QR. S) [16] *κ. τ. ἄ.]* particeps benedictionis ſ: *cf Burkitt J of theol studies I (1900) p 288 ‖ οἰκονομία A: cf c 50 i ‖ ἡ alt om CD* ‖ [18] *ἵνα - γέν.]* cuius requies erat in octaua domo ſ: *cf Lipsius I p 312 Anz Zur Frage n d Ursp d Gnost (1897) p 37 ‖ σοι CD* ‖ [19] *μελ.] αἰσθήσεων C: cf 10 - 11*

[20] *ἀναβ. - ὕδ.] ὅτε ἔλαβον τὴν χάριν H ‖ ἀν.] εὐθέως add B ‖ ἀπὸ B ‖ αὐτοῖς om H*

ἐνθυμήσεως λογισμοῦ, κοινώνησον μετὰ τούτων τῶν νεωτέρων· 167 W
ἐλθὲ τὸ ἅγιον πνεῦμα καὶ καθάρισον τοὺς νεφροὺς αὐτῶν καὶ τὴν καρδίαν, καὶ ἐπισφράγισον αὐτοὺς εἰς ὄνομα πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος. Καὶ σφραγισθέντων αὐτῶν ὤφθη αὐτοῖς νεανίας λαμπάδα ἀνημμένην κατέχων, ὡς καὶ τοὺς λύχνους αὐτοὺς τῇ τοῦ φωτὸς αὐτῆς προσβολῇ ἀμαυρωθῆναι. καὶ ἐξελθὼν ἀφανὴς αὐτοῖς ἐγένετο. εἶπεν δὲ ὁ ἀπόστολος πρὸς τὸν κύριον· Ἀχώρητον ἡμῖν κύριε τὸ φῶς σού ἐστιν, καὶ οὐ δυνάμεθα φέρειν αὐτό· μεῖζον γάρ ἐστιν τῆς ἡμετέρας ὄψεως. Αὔγους δὲ γεναμένου καὶ διαφαύσαντος κλάσας ἄρτον κοινωνοὺς αὐτοὺς κατέστησεν τῆς εὐχαριστίας τοῦ Χριστοῦ. ἔχαιρον δὲ καὶ ἠγαλλιῶντο· πολλοὶ δὲ καὶ |
ἕτεροι πιστεύοντες προσετίθεντο καὶ ἤρχοντο εἰς τὸ καταφύγιον τοῦ σωτῆρος. 21 B

28 Ὁ δὲ ἀπόστολος οὐκ ἐπαύετο κηρύσσων καὶ λέγων

σωτὴρ λέγων· ὥστε καὶ τὸν ἀπόστολον Θωμᾶν θαυμάσαι· καὶ φῶς μέγα ἔλαμψεν αὐτοῖς.

28 Καὶ παρήγγειλεν αὐτοῖς λέγων· Βλέπετε τὴν κλῆσιν

² cf psalm 25 (26), 2 ‖ ¹¹ cf Matth 26, 26 ‖ ¹² cf Matth 5, 12 ‖ ¹³ cf Act 5, 14

---

¹ *ἐνθ.] om A* ‖ *τ. τ. ν.] τῶν δούλων σου τούτων S* ‖ ² *αὐτ. τ. ν. Y. S* ‖ ⁴ *καὶ primum om X. P* ‖ ⁵ *νεανίσκος S* ‖ *ἀν.] ἅπτουσαν S καιομένην A* ‖ *ὃς A* ‖ ⁶ *αὐτοὺς] αὐτῶν D. T. R. S* ‖ *αὐτῆς] αὐτοὺς Q om R. S* ‖ ⁷ *ἐξελθόντων D* (ſ) *ἀπ' αὐτῶν add D* ‖ *αὐτοῖς* (ſ) *om D. T* ‖ ⁷⁻¹² *εἶπεν - ἠγαλλ. om S* ‖ ⁸ *τὸν om D. T* ‖ *ἀχώριστον FX. (R)* ‖ ⁹ *ἐστιν prius om A: del?* ‖ poteramus ſ ‖ *ἦν A* est ſ ‖ ¹⁰ *γενομένου CD. PY. Q om (X)* ‖ *διαφαύ|||αντος P σ in ras p* ‖ ¹¹ *κλ. ἄ. om A* ‖ *αὐτοὺς om P* ‖ ¹² *κυρίου Thilo* ‖ ¹³ *πιστεύσαντες CD* ‖ *προσετίθοντο CD. (T). R (cf 134, 5; 144, 7) om S* ‖ *καὶ om S* ‖ *προσήρχοντο S* ‖ ¹³⁻¹⁴ *εἰς - σωτ.] καὶ ἐβαπτίζοντο ὑπὸ τοῦ ἀποστόλου S in quo iam sequitur martyrium: cf c 155*

Δ = A. Φ (Φ = CD. FTX. PUY. QR) ¹⁵ *ἐπαύετο] περιερχόμενος τὰς πόλεις καὶ τὰς κώμας κηρύσσων καὶ διδάσκων ἕνα θεὸν καὶ βαπτίζων εἰς ὄνομα πατρὸς et q s add dein deficit T*

¹⁶ *λέγων om BH: λέγων ⟨Εἰρήνη ὑμῖν ἀδελφοί⟩? cf 142. 8* ‖ ¹⁶⁻¹⁷ *ὥστε - αὐτ.] καὶ φῶς περιέλαμψεν αὐτοὺς μέγα καὶ ὁ ἀπόστολος ἐθαύμασεν ἐν τῇ πίστει αὐτῶν H: scr κ. φ. μ. ἔλ. α. ὥστε κ. τ. ἀπ. Θ. θ.?* ‖ ¹⁶ *ὡς B* ‖ *καὶ om B* ‖ *Θ. om B* ‖ ¹⁷ *αὐτοῖς] ὑπὲρ τὰς ἀκτίνας τοῦ ἡλίου B* ‖ ¹⁸–145,²⁴ *παρ. - ἐξ.] στηρίξας αὐτοὺς ἐν τῇ πίστει (αὐτοῖς τὴν πίστιν B) τῇ ἑξῆς (τ. ἑ. om B) ἐπορεύθη (ἐξῆλθεν πορευθεὶς B) τὴν ὁδὸν αὐτοῦ BZ*

αὐτοῖς· Ἄνδρες καὶ γυναῖκες, παῖδες καὶ κόραι, νεανίσκοι καὶ παρθένοι, ἀκμαῖοι καὶ γηραλέοι, εἴτε δοῦλοι εἴτε ἐλεύθεροι, ἀπέχεσθε τῆς πορνείας καὶ τῆς πλεονεξίας καὶ τῆς ἐργασίας
44 Th τῆς γαστρός· ἐν γὰρ τούτοις τοῖς τρισὶν κεφαλαίοις γίνεται πᾶσα ἀνομία. ἡ γὰρ πορνεία πηροῖ τὸν νοῦν καὶ τοὺς τῆς
45 Th ψυχῆς ὀφθαλμοὺς σκοτίζει, καὶ ἐμπόδιον γίνεται τῆς τοῦ σώματος πολιτείας, εἰς ἀσθένειαν μετατιθεῖσα ὅλον τὸν ἄνθρωπον καὶ εἰς νόσον ἐμβάλλουσα ὅλον τὸ σῶμα. ἡ δὲ ἀπληστία εἰς φόβον καὶ αἰσχύνην καθίστησι τὴν ψυχήν, ἐντὸς τοῦ σώματος ὑπάρχουσα καὶ διαρπάζουσα τὰ ἀλλότρια καὶ ταύτην τὴν ὑποψίαν ἔχουσα, ἡ ἀποδιδοῦσα τὰ ἀλλότρια τοῖς δεσπόταις ᾐσχύνθη. ἡ δὲ ἐργασία τῆς κοιλίας εἰς φροντίδας καὶ μερίμνας καὶ λύπας ἐμβάλλει τὴν ψυχήν, τοῦτο μεριμνῶσα μὴ ἄρα ἐνδεὴς αὐτῶν γένηται καὶ τῶν πόρρωθεν τούτων
215 T 168 W ὄντων θεαθῇ. ἐπὰν οὖν ἀπαλλαγῆτε τούτων, γίνεσθε ἀφρόντιδες καὶ ἄλυποι καὶ ἄφοβοι, καὶ παραμένει ὑμῖν ἐκεῖνο τὸ λεχθὲν ὑπὸ τοῦ σωτῆρος· Μὴ μεριμνήσητε εἰς τὴν αὔριον, ἡ γὰρ αὔριον μεριμνήσει ἑαυτῆς. Μνημονεύσατε κἀκείνου τοῦ λόγου τοῦ προειρημένου· Ἐμβλέψατε εἰς τοὺς κόρακας καὶ

ἡμῶν ἀδελφοί, ὁποίῳ ἐστρατεύθητε βασιλεῖ. βιώσατε οὖν τὸ λοιπὸν ἐν ταπεινοφροσύνῃ, ἐν φιλοξενίᾳ, ἐν ἀγάπῃ· οὐ γὰρ ὁ πλοῦτος ὑμᾶς ἤ τι τῶν ἐν τῷ βίῳ σώσει. ἡ γὰρ κρίσις ἀνή-

[3] cf Thess 1, 4, 3; 6 ‖ [17] Matth 6, 34 ‖ [18] Luc 12, 24 Matth 6, 26

Δ = A. Φ (Φ = CD. FX. PUY. QR) [2] *οἵ τε δ. οἵ τε ἐλ. A om CD: cf 131, 8* ‖ [5] *πυροῖ A* ‖ *τοῖς A* ‖ [7] *πολ.]* graduum ſ: *scr πορείας??* ‖ *μετατεθεῖσα X. R μετατιθοῦσα A: cf 143, 13* ‖ [6–8] *ἐμπ. - σῶμα] breuiora* ſ ‖ [7–8] *ὅλον - ἐμβ. om CD* ‖ [9] *ἐντὸς* (ſ)] *ἐν τοῖς A* ‖ [10–12] *καὶ τ. - ᾐσχ. om C. F del Thilo Tischendorf* ‖ [11] *τὴν om A. D* ‖ *ἔχουσαν A* ‖ *ἡ] μὴ coni Thilo recte ut uid* (ſ) ‖ [12] *ᾐσχ. om A: scr αἰσχυνθῇ?* (ſ) *item Lipsius I p 239* ‖ [13] *κ. λ. om CD. X* ſ ‖ [13–15] *τοῦτο - θεαθῇ om C del Thilo Tischendorf* ‖ [13] *μεριμνοῦσα A. F μεριμνῶσαν X recte ut uid: cf Lipsius I p 239* ‖ [14] *ἐνδεεῖς A* ‖ *αὐτ. om R* ſ *del Lipsius* ‖ *τῶν om P* ‖ *τούτ.] αὐτοῦ τῶν A αὐτῆς D fort recte* (ſ) *αὐτοῦ coni Thilo Lipsius* ‖ [15] *θε.]* apprehendat ſ: *scr θίγῃ?? δεηθῇ coni Thilo Tischendorf θηρατὴν Lipsius* ‖ *ἐπ. - γίν.]* ex quo inde expediti estis, facti estis ſ ‖ *οὖν] δὲ P* ‖ *τούτ. ἀπαλλαγὴ P* ‖ *ἀπαλλαγῇ A* ‖ *τούτου A* ‖ [15–16] *γίνεται ἀφρόντις καὶ ἄλυπος ὁ ἄνθρωπος καὶ ἄφοβος P* ‖ [16] *ὑμ. om P* ‖ [18] *μέριμνα R τὰ add X: ex eu Matth* ‖ [19] *τ. πρ.]* quod uobis scriptum est ſ ‖ *εἰρημένου D εἰπόντος C*

[20] *scr ὑμῶν?*

46 Th ἀφίδετε εἰς τὰ πετεινὰ τοῦ οὐρανοῦ, ὅτι οὔτε σπείρει οὔτε θερίζει οὔτε συνάγει εἰς τὰς ἀποθήκας, καὶ ὁ θεὸς οἰκονομεῖ αὐτά· πόσῳ μᾶλλον ὑμᾶς ὀλιγόπιστοι; Ἀλλὰ προσδέξασθε τὴν τούτου παρουσίαν, καὶ εἰς αὐτὸν τὰς ἐλπίδας ἔχετε, καὶ πιστεύετε τῷ ὀνόματι αὐτοῦ· οὗτος γάρ ἐστιν ὁ κριτὴς ζώντων καὶ νεκρῶν, καὶ αὐτὸς ἀποδίδωσιν ἑνὶ ἑκάστῳ πρὸς τὰς πράξεις αὐτοῦ, καὶ ἐν τῇ ἐλεύσει αὐτοῦ καὶ ἐπιφανείᾳ τῇ ὑστέρᾳ οὐκ ἔχει τις λόγον ἀπολογίας, μέλλων παρ' αὐτοῦ κρίνεσθαι, ὡς μὴ ἀκούσας. οἱ γὰρ κήρυκες αὐτοῦ εἰς τὰ τέσσαρα κλίματα τῆς οἰκουμένης κηρύσσουσιν. μετάγνωτε οὖν καὶ πιστεύσατε τῇ ἐπαγγελίᾳ, καὶ δέξασθε ζυγὸν πρᾳότητος καὶ φορτίον ἐλαφρόν, ἵνα ζήσητε καὶ μὴ ἀποθάνητε. ταῦτα κτήσασθε, ταῦτα φυλάξατε· ἐξέλθετε ἀπὸ τοῦ | σκότους, ἵνα 22 B τὸ φῶς ὑμᾶς προσδέξηται· ἔλθετε πρὸς τὸν ὄντως ἀγαθόν, ἵνα παρ' αὐτοῦ τὴν χάριν δέξησθε, καὶ τὸ αὐτοῦ σημεῖον ἐγκαταθήσεσθε ταῖς ὑμετέραις ψυχαῖς.

29 Ταῦτα εἰπόντος αὐτοῦ τινὲς τῶν παρεστώτων εἶπον αὐτῷ· Καιρός ἐστιν τοῦ τὸν χρεώστην ἀπολαβεῖν τὸ χρέος. Ὁ δὲ εἶπεν αὐτοῖς· Ὁ μὲν κύριος τοῦ χρέους ἀεὶ τὸ περισσὸν

λεος τῷ μὴ πράξαντι ἔλεος ἐπὶ τῆς γῆς. φεύγετε οὖν τὴν ὁδὸν τοῦ σκότους καὶ ἀκάρπου, ἥτις ἐστὶν πορνεία, πλεονεξία, γαστριμαργία· ἐν γὰρ τοῖς τρισὶ κεφαλαίοις ὁ νόμος πληροῦται ὅλος.

29. 30 Καὶ εἰπὼν αὐτοῖς ἅπαντα τὸν λόγον τῆς ἀληθείας ἐξῆλθεν ἐν κυρίῳ.

[5] cf Act 10, 42 ‖ [6] cf Matth 16, 27 ‖ [11] cf Matth 11, 29; 30

[1] ἀφήδηται A ἀπίδετε C. R (recte? cf 154, 16) ἴδετε X. P om (D) ‖ σπείρουσιν X item q s: ex eu Matth ‖ [2] τὰς om CD. X. R: ex eu Matth ‖ [5] οὗτος] αὐτὸς CD. F ‖ ὁ om P. Q ‖ [6] ἑνὶ om P ‖ πρὸς] κατὰ X. Q: ex eu Matth ‖ [7] καὶ prius om C ʃ: del?? cf 8 ‖ [8] οὐκ] non enim ʃ: scr οὐ γὰρ?? cf 7 ‖ τις] οὐδεὶς CD. X. PUY. QR οὐδέ τις F ‖ αὐτῶ CD. FX. PUY. Q(R) ‖ [10] οὖν om A ‖ [11] πιστεύσητε A σπεύσατε U ‖ τὴν ἐπαγγελίαν A ‖ πραύτητος CD. F(?)X. UY. Q: cf c 58 e; 85 i; cet ‖ [12] ἀποθανεῖτε A. (U?): cf 14; 15; 114, 3 ‖ [13] φυλάξασθε Thilo ‖ ἐξέλθατε A. FX. Q: cf 14 ‖ [14] προσδέξετε A: cf 114, 3 ‖ [14–15] ἔλθ. - δέξ. om A ‖ [14] ἐξέλθατε F: cf 13 ‖ [16] ἐγκαταθήσησθε C. (Y. QR) ἐγκατάθησθε D: recte?? cf 15; 114, 3 ‖ [17] παρόντων CD. FX. PUY. R ‖ [18] τ. τ.] τοῦτον U(?) Thilo Tischendorf τοῦτον τὸν Lipsius I p 342

[21] κ. ἀκ.] corrupta? mutila? ‖ [21] κυρ.] ᾧ ἡ δόξα et q s add HZ

ἀπολαβεῖν βούλεται, ἡμεῖς δὲ τὸ δέον αὐτῷ δῶμεν. Καὶ εὐλο-
γήσας αὐτοὺς ἔλαβεν ἄρτον καὶ ἔλαιον καὶ λάχανον καὶ ἅλας,
216 T καὶ εὐλογήσας ἔδωκεν αὐτοῖς· αὐτὸς δὲ παρέμεινεν τῇ ἑαυτοῦ
169 W νηστείᾳ, ἔμελλεν γὰρ ἡ κυριακὴ ἐπιφέειν. τῆς δὲ νυκτὸς
47 Th ἐπιούσης καὶ καθεύδοντος αὐτοῦ ἐλθὼν ὁ κύριος ἔστη πρὸς
τῇ κεφαλῇ αὐτοῦ λέγων· Θωμᾶ, ἀναστὰς ὄρθρου, εὐλογήσας
πάντας μετὰ τὴν εὐχὴν καὶ διακονίαν ἄπελθε κατὰ τὴν ἀνα-
τολικὴν ὁδὸν μίλια δύο, καὶ ἐκεῖ δείξω ἐν σοὶ τὴν ἐμὴν δόξαν·
δι' ὃ γὰρ ἀπέρχει πολλοὶ πρόσφυγές μοι γενήσονται, καὶ
ἐλέγξεις τὴν φύσιν καὶ τὴν δύναμιν τοῦ ἐχθροῦ. Ἀναστὰς
δὲ ἀπὸ τοῦ ὕπνου ἔλεγεν τοῖς ἀδελφοῖς τοῖς οὖσιν μετ' αὐτοῦ·
Τέκνα καὶ ἀδελφοί, ὁ κύριος βούλεταί τί ποτε σήμερον δι' ἐμοῦ
διαπράξασθαι· ἀλλ' εὐξώμεθα καὶ δεηθῶμεν αὐτοῦ ἵνα μηδέν
τί ποτε ἐμπόδιον γένηται ἡμῖν πρὸς αὐτόν, ἀλλὰ ὡς πάντοτε
καὶ νῦν κατὰ τὸ αὐτοῦ βούλημα καὶ θέλημα γένηται δι' ἡμῶν.
48 Th Καὶ ταῦτα εἰπόντος αὐτοῦ ἐπέθηκεν αὐτοῖς τὰς χεῖρας αὐτοῦ
καὶ εὐλόγησεν αὐτούς· καὶ κλάσας ἄρτον τῆς εὐχαριστίας
ἔδωκεν αὐτοῖς εἰπών· Ἔσται ὑμῖν αὕτη ἡ εὐχαριστία εἰς
εὐσπλαγχνίαν καὶ ἔλεος, καὶ μὴ εἰς κρίσιν καὶ ἀμοιβήν. Καὶ
αὐτοὶ εἶπον Ἀμήν.

[18] cf Cor 1, 11, 29; 34

---

[1] *ἀπ. om A ‖ δὲ om Thilo ‖* [2–3] *αὐτοὺς - εὐλ. om A ‖* [2] *αὐτ. ἔλ. om* ʃ ‖ *ἐλαίαν uel ἐλαίας coni Lipsius I p 342 de* ʃ *dubitat Wright ‖ κ. λάχ. om D* ʃ ‖ *λάχανα Q ‖ κ. ἅλ. om* ʃ ‖ [3] *εὐλογ. om C* ʃ*: del?? cf 1 ‖ οὗτος A ‖* [3–4] *παρ. - ν.]* edit ʃ ‖ [3] *παρέμενεν F. PY. Q ‖* [4] *ἡ om X ‖ ἐπιφαίειν (A). U. R ἐπιφαίνειν CD. FX ‖* [5] *ποιούσης A ‖ καὶ om U ‖* [6] *ὄρθ.] καὶ add Φ ‖* [9] *δι' - ἀπ.] καὶ γὰρ ἐκεῖ P ‖ μου R om Q: cf 140, 15 ‖* [10] *ἀδυναμίαν X: cf AM 101, 10 ‖* [11] *σὺν αὐτῷ Φ: cf 134, 12; 139, 2; c 64 m; 56 m; al ‖* [12] *τί π. β. Φ* quod libebit ʃ ‖ [13] *διαπ.]* faciet ʃ ‖ *post δεηθ. deficit Q*

Δ = A. Φ (Φ = CD. FX. PUY. R) [13] *αὐτῷ A. P ‖* [14] *τί π.] τούτου ἕνεκεν P om CD. F. Y ‖ ποτε om A: del?? cf 12 ‖ ἡμ. om U ‖ γενήσεται P ‖ ἀλλ' CD. FX. PU. R ‖* [15] *κατὰ om* ʃ ‖ *κ. θέλ. om A. U* ʃ ‖ *γένοιτο A ‖ δι' ἡμ. om* ʃ*: del?? ‖ δὴ A ἐν X om R ‖ ὑμῖν A ἡμῖν X. R ‖* [16] *ἐπέθ.] ἐπ' add U: cf c 49 m ‖* [17] *ηὐλόγησεν R ‖ post αὐτούς uersus duo cum dimidio uacant dein f 237r τελείωσις (cf c 159 et Th cons) A*

Φ = CD. FX. PUY. R [17] *τῆς] καὶ R om U ‖ εὐχαριστήσας U. R ‖* [18] *μετέδωκεν C: cf c 50 e (bis); 158 e ‖ scr ἔστω* (ʃ?)??? *cf 100, 11; c 121 e; 158 e ‖* [19] *κ. ἀμ. κ. μὴ εἰς κρίμα D: cf Lipsius 1 p 338 ‖ κρίμα C ‖ κ. ἀμ. om C ‖ ἀμ.] κόλασιν X κατάκρισιν F ‖* [20] *εἶπαν Y εἴπασιν P τὸ add X. P: cf c 49 i; 158 e ‖ post ἀμὴν deficit C χάριτι et q s add dein deficit X*

Περὶ τοῦ δράκοντος πρᾶξις γʹ.

30 *Καὶ ἐξῆλθεν ὁ ἀπόστολος τοῦ ἀπελθεῖν ὅπου αὐτὸν ὁ κύριος προσέταξεν· καὶ ἐγγὺς γενόμενος τοῦ δευτέρου μιλίου καὶ ὀλίγον ἐκκλίνας τῆς ὁδοῦ εἶδεν πτῶμα νέου εὐμόρφου κείμενον, καὶ εἶπεν· Κύριε, μὴ διὰ τοῦτο ἐξήγαγές με ἐλθεῖν ἐνθάδε, ἵνα ἴδω τὸν πει|ρασμὸν τοῦτον; γενέσθω τοίνυν τὸ* 23 B *θέλημά σου ὡς βούλει. Καὶ ἤρξατο εὔχεσθαι καὶ λέγειν· Κύριε κριτὰ ζώντων καὶ νεκρῶν, ζώντων τῶν παρεστώτων καὶ νε-* 170 W *κρῶν τῶν κειμένων, καὶ δέσποτα πάντων καὶ πατήρ· πατὴρ δὲ οὐ τῶν ἐν σώμασιν οὐσῶν ψυχῶν ἀλλὰ τῶν ἐξελθουσῶν· τῶν γὰρ ἐν μιάσμασιν οὐσῶν ψυχῶν δεσπότης εἶ καὶ δικαστής· ἐλθὲ ἐν τῇ ὥρᾳ ταύτῃ ᾗ ἐπικαλοῦμαι, καὶ δεῖξόν σου τὴν* 217 T *δόξαν εἰς τοῦτον τὸν ἐνθάδε κατακείμενον. Καὶ στραφεὶς πρὸς τοὺς ἀκολουθοῦντας αὐτῷ εἶπεν· Τοῦτο τὸ πρᾶγμα οὐκ ἀργῶς ἐγένετο, ἀλλ' ὁ ἐχθρὸς ἐνήργησεν καὶ κατηργάσατο τοῦτο ἵνα ἐν αὐτῷ προσβάλῃ· καὶ ὁρᾶτε ὅτι οὐκ ἐχρήσατο ἄλλο εἶδος οὐδὲ ἐνήργησεν δι' ἄλλου ζῴου ἀλλ' ἢ διὰ τοῦ ὑπηκόου* 49 Th *αὐτοῦ.*

31 *Καὶ ταῦτα εἰπόντος αὐτοῦ δράκων μέγας ἀπὸ φωλεοῦ ἐξελθών, τὴν κεφαλὴν αὐτοῦ κατακρούων καὶ τὴν οὐρὰν κατατινάσσων ἐπὶ τὴν γῆν καὶ φωνῇ μεγάλῃ χρησάμενος πρὸς τὸν*

8 cf Act 10, 42

1–159,7 *περὶ - ἐκέλ. om R de F cf c 159 et praef*

D. PUY 1 *δρ.*] nigro *add* ʃ: *cf 19* ‖ *πρ. γʹ*] *καὶ τοῦ νεανίσκου D om Y* ‖ 2 *τ. ἀπιέναι UY* (*cf 3; 148, 4-5; al*) *om P* ‖ 2–3 *ὁ κ. αὐτῷ U* ‖ 2 *αὐτῷ Y* ‖ 3 *προσέτ. ἀπιέναι ὁ κ. P* ‖ *πρ.*] *ἀπελθεῖν add UY* ‖ *γεν. - μιλ.*] *τοῦ τόπου τ. δ. μιλ. γεν. P* ‖ 4 *τ. ὁδ. ὀλ. ἐκκλ. P* ‖ *εὔμορφον P* ‖ 5–6 *ἐνθ. ἐλθ. P* ‖ 6 *πειρ.* (ʃ)] miraculum ä ‖ 6–7 *τὸ θ. σου* (ä) *om* ʃ: *del??* ‖ 7 *ὡς β.*] quoniam misisti me ä ‖ *κ. λέγ. om P: cf 114, 4; c 156 i* ‖ 8 *καὶ νεκρ. ζώντ. om P* ‖ *ζώντ. τ. παρ. κ. ν. om D* ‖ *τῶν om UY* ‖ *παρ.*] stantium ʃ: *scr ἑστώτων??* ‖ 9 *πατὴρ prius*] *πάτερ Thilo* ‖ 9–11 *π. δὲ - δικ.*] *al* ʃ ‖ 10 *ψ.*] *μόνον add D* ‖ *ἀλλὰ*] *καὶ add D: cf c 66 e* ‖ 11 *τῶν γὰρ - οὐσῶν om P* ‖ 12 *ᾗ*] *ἧς Y ἐν ᾗ D om P* ‖ *ἐπικ. om P* ‖ *δόξασόν P* ostende ʃ ä ‖ 13 *ἐνθ. om P* ‖ *κείμενον PUY: cf 114, 9; c 53 e; 60 m; 89 m; 107, 4; 108, 4; 134, 1; 148, 13; 18; 149, 24; 160, 19; c 58 i; al* ‖ 13–14 *εἶπε π. τ. ἀ. α. D* ‖ 14 *τ. ἀ. α.*] *τὸν λαὸν P* ‖ 16 *ἐν α.*] *ἑαυτὸν PUY* ‖ *προσβάλλῃ PY προβάλλει U* ‖ 16–17 *ἄλλο - ἐνήργ. om P* ‖ 16 *scr ἄλλῳ εἴδει?? cf c 130 e; 169 m* ‖ 17 *ἄ. ζ.*] alienum ʃ: *scr ἀλλοτρίου??* ‖ *ἑτέρου P* ‖ *ἀλλὰ* (*om ἢ*) *D recte?? cf 103, 2* ‖ 19 *εἰπ. α.* (ʃ)] *εἰπ. τοῦ ἀποστόλου D τοῦ ἀποστόλου εἰπ. P ἰδοὺ add D* ‖ *μ.* (ä)] niger ʃ (*cf 1*): *scr μέλας?? cf 112, 5* ‖ *ἀπὸ*] *τοῦ D* ‖ 20 *ἐξῆλθεν PY* ‖ *κατακρ.*] quatiebat ʃ ‖ *κατατ.*] adfligebat ʃ ‖ 21 *μεγίστη PU* ‖ *χρώμενος D: cf c 44 e; 70 m; 155 e*

ἀπόστολον εἶπεν· Ἐρῶ ἔμπροσθέν σου διὰ ποίαν αἰτίαν ἐθανάτωσα τοῦτον, ἐπειδὴ εἰς τοῦτο παρεγένου, ἐλέγξαι μου τὰ ἔργα. Καί φησιν ὁ ἀπόστολος· Ναί, εἰπέ. Καὶ ὁ δράκων· Γυνή τίς ἐστιν ὡραία ἐν τῷ χωρίῳ τούτῳ ἄντικρυς· καὶ διερχομένης αὐτῆς δι' ἐμοῦ ἰδὼν αὐτὴν ἠράσθην αὐτῆς, καὶ ἀκολουθήσας αὐτῇ ἐπετήρουν· καὶ εὗρον τοῦτον τὸν νεανίαν καταφιλοῦντα αὐτήν, ὃς καὶ ἐκοινώνησεν αὐτῇ καὶ ἄλλα αἰσχρὰ διεπράξατο μετ' αὐτῆς· κἀμοὶ μὲν εὔκολα ἦν αὐτὰ ἐπὶ σοῦ
50 Th ἐκφᾶναι, οἶδα γάρ σε δίδυμον ὄντα τοῦ Χριστοῦ τὸν τὴν φύσιν ἡμῶν ἀεὶ καταργοῦντα· ταράξαι δὲ ταύτην μὴ βουληθεὶς
171 W αὐτῇ τῇ ὥρᾳ οὐκ ἐθανάτωσα αὐτόν, ἀλλ' ἐπιτηρησάμενος αὐτὸν ἑσπέρας διερχόμενον τύψας ἐθανάτωσα αὐτόν, καὶ μάλιστα κατατολμήσαντα αὐτὸν τῇ κυριακῇ ἡμέρᾳ τοῦτο διαπράξασθαι.

24 B Ὁ δὲ ἀπόστολος | ἐξήταζεν αὐτὸν λέγων· Εἰπέ μοι ποίας
32 σπορᾶς καὶ ποίου γένους ὑπάρχεις. 32 Καὶ εἶπεν αὐτῷ· Ἐγὼ ἑρπυστὴς ἑρπυστοῦ φύσεως καὶ βλαπτικὸς βλαπτικοῦ· υἱός εἰμι ἐκείνου τοῦ βλάψαντος καὶ πλήξαντος τοὺς τέσσαρας ἀδελφοὺς τοὺς ἑστῶτας· υἱός εἰμι ἐκείνου τοῦ καθεζομένου ἐπὶ θρόνου εἰς τὴν ὑπ' οὐρανόν, τοῦ τὰ ἴδια λαμβάνοντος

[20] cf Matth 18, 28?

---

[1] ἔμπρ. σου ἐξείπω *P* ‖ [2] αὐτὸν *D: cf 11* ‖ ἐπ. ε. τ.] ε. τ. γὰρ *P* ‖ [2–3] τὰ ἔ. μου *D* ‖ [3] καί φ. - δρ. (ä) *om* ſ ‖ λέγει *P* ‖ ναί *om P* ‖ εἰπέ] λέγε οἵῳ τοῦτον ἐθανάτωσας τρόπῳ *P* ‖ [4] erat ſ ä ‖ ὡρ. - ἄ.] ἐν τ. χ. τ. ὡρ. σφόδρα *D* ‖ ἐν - ἄ.] τούτου ἀντικρὺ τοῦ χωρίου *P* ‖ ⟨τῷ⟩ ἀντικρύ ⟨σου⟩?? (ſ): *cf 119, 6* ‖ [4–5] κ. δι. (ſ)] δι. δὲ *P* διιούσης (*cf 147, 2*) οὖν *UY* ‖ [5] α. δι' ἐ. (ſ)] ἐμοῦ ἕνεκεν α. *P* α. ποτὲ *D* ‖ ἰδ. α. *om P* ‖ [5–6] ἠρ. - ἐπ. καὶ *om P* ‖ [6] αὐτὴν *D* ‖ τ. ν. τοῦτ. *D* ‖ [7] ὅς] ὅς δὲ *UY* ὡς δὲ *P* ‖ αὐτῆς ἐκοιν. *P* ‖ ἄλλα] τινα *P* ‖ [8] μ. α. διεπ. *et add* μὴ φέρων τοῦτο ἐγὼ ἐθανάτωσα τοῦτον *P* ‖ κ. μὲν] mihi ſ ‖ εὔκολον *D* ‖ ἦν] sed non audeo ſ ‖ [8–9] ἐ. σ. ἐκφ. α. *D* ‖ [9] φράσαι *U* ‖ δίδ. γ. οἶδα εἶναί σε *P* ‖ σε] τὸν *add D* ‖ δίδ.] fluctum oceani ſ: *cf 156, 12 et Burkitt J of theol studies I (1900) p 288* ‖ [10] ἀεὶ *om UY* ‖ τὴν κόρην *P* ‖ βουλ.] οὐδὲ *add P* ‖ [11] οὐκ *om et add* ἐν ᾗ μετὰ τῆς κόρης τὴν ἁμαρτίαν δι' ἐπράττετο *P* ‖ τοῦτον *P: cf 1* ‖ [11–12] ἀλλ' - αὐτόν *om U* ‖ ἀλλὰ τῇ ἑσπέρᾳ τοῦτον διερχ. ἐπιτ. *P* ‖ [11] ἐπιτηρήσας *D* ‖ [12] τύψας (ſ) *om P* ‖ αὐτόν *om P: cf c 89 m* ‖ [13] τολμήσαντα *PUY: cf 147, 13; c 49 e* ‖ ἐν ἡμ. τοῦτο κυριακῆς (*om* τῇ) *P* ‖ [16] τυγχάνεις *P* ‖ κ. ε. α. *om P* ‖ [17] ἑ. ἑ.] τῆς ἑρπυστικῆς *D* τῆς *add U* ‖ φύσ.] filius ſ: *scr* υἱὸς??? *del*? (*cf 152, 10*) γέννημα *add D* ‖ βλαπτικὸς *om P* ‖ βλαπτικοῦ ⟨υἱός εἰμι⟩?? ‖ [17–19] υἱ. - ἑστ.] *al* ſ: *cf Lipsius I p 322. 1* ‖ [18] καταβλάψαντος *PUY: cf 147, 13; 151, 7; c 93 e; 106 i* ‖ [19–20] καθ. - οὐρ.] ἐ. θ. ἀπωλείας καθ. *D* ‖ *scr* ἐ. θ. καθ.? ‖ [20–149, 2] τ. τὰ - ζωνν. *om* ſ ‖ [20] τοῦ] ⟨υἱός εἰμι ἐκείνου⟩ τοῦ? *scr* καὶ?? ‖ λαβόντος *U: scr* λαμβάνειν?? (ä)

ἀπὸ τῶν δανειζομένων· υἱός εἰμι ἐκείνου τοῦ τὴν σφαῖραν 51 Th
ζωννύοντος· συγγενὴς δέ εἰμι ἐκείνου τοῦ ἔξωθεν τοῦ ὠκεανοῦ
ὄντος, οὗ ἡ οὐρὰ ἔγκειται τῷ ἰδίῳ στόματι· ἐγώ εἰμι ὁ διὰ
τοῦ φραγμοῦ εἰσελθὼν ἐν τῷ παραδείσῳ καὶ μετὰ Εὔας λα-
λήσας ὅσα ὁ πατήρ μου ἐνετείλατό μοι λαλῆσαι αὐτῇ· ἐγώ
εἰμι ὁ ἐξάψας καὶ πυρώσας Κάϊν ἵνα ἀποκτείνῃ τὸν ἴδιον
ἀδελφόν, καὶ δι' ἐμὲ ἄκανθαι καὶ τρίβολοι ἐφύησαν ἐν τῇ γῇ· 218 T
ἐγώ εἰμι ὁ τοὺς ἀγγέλους ἄνωθεν κάτω ῥίψας καὶ ἐν ταῖς 52 Th
ἐπιθυμίαις τῶν γυναικῶν αὐτοὺς καταδήσας, ἵνα γηγενεῖς
παῖδες ἐξ αὐτῶν γένωνται καὶ τὸ θέλημά μου ἐν αὐτοῖς δια-
πράξωμαι· ἐγώ εἰμι ὁ τὴν καρδίαν Φαραὼ σκληρύνας, ἵνα
τὰ τέκνα τοῦ Ἰσραὴλ φονεύσῃ καὶ ἐν ζυγῷ σκληρότητος κατα-
δουλώσηται αὐτούς· ἐγώ εἰμι ὁ τὸ πλῆθος ἐν τῇ ἐρήμῳ πλα-
νήσας, ὅτε τὸν μόσχον ἐποίησαν· ἐγώ εἰμι ὁ τὸν Ἡρώδην
πυρώσας καὶ τὸν Καϊάφαν ἐξάψας ἐν τῇ ψευδηγορίᾳ τοῦ
ψεύδους ἐπὶ Πιλάτου· τοῦτο γάρ ἐμοὶ ἔπρεπεν· ἐγώ εἰμι ὁ τὸν
Ἰούδαν ἐξάψας καὶ ἐξαγοράσας ἵνα τὸν Χριστὸν θανάτῳ 172 W
παραδῷ· ἐγώ εἰμι ὁ τὴν ἄβυσσον τοῦ ταρτάρου οἰκῶν καὶ
κατέχων, ὁ δὲ υἱὸς τοῦ θεοῦ ἄκοντά με ἠδίκησεν καὶ τοὺς
ἰδίους ἐξ ἐμοῦ ἐξελέξατο· συγγενής εἰμι ἐκείνου τοῦ μέλλοντος
ἀπὸ τῆς ἀνατολῆς ἔρχεσθαι, ᾧ καὶ ἐξουσία δίδοται ποιῆσαι
ὅπερ αὐτὸς βούλεται ἐπὶ τῆς γῆς.

33 Καὶ ταῦτα εἰπόντος τοῦ δράκοντος ἐκείνου παντὸς τοῦ ὄχλου κατακούοντος, ἐπάρας ὁ ἀπόστολος τὴν φωνὴν αὐτοῦ εἰς ὕψος εἶπεν· Παῦσαι λοιπὸν ἀναιδέστατε, καὶ αἰσχύνθητι

[1] ex eis qui ab eo mutuati sunt ä ‖ *δανειζόντων dubitanter coni Thilo conl 145, 18* ‖ [2] *ζωνν.] ἀποστάτου add D* ‖ [3–5] *οὗ - λ. α.* (ä)] *non nulla al* ſ ‖ *post ἐκ. iterat τοῦ καθεζ. - οὐρανόν (148, 19) U* ‖ [6] *κ. πυρ. om* ſ: *cf 15; 18* ‖ [6–7] *τ. ἴδ. ἀδ. ἀπ. P* ‖ [7] *ἐμὲ* (ſ ä)] *ἐμοῦ D* ‖ [9] *καταδήσας*] corrupi ſ: *cf Burkitt J of theol studies I (1900) p 284* ‖ [10] *γινωνται P* ‖ [12] *τ. Ἰ. om P* ‖ [12–13] *κατ. α.] τὸ τῶν ἑβραίων κατ. γένος P* ‖ [13–14] *ἐγώ - ἐποίησαν om P* ‖ [15] *πυρ.* (ä) *om* ſ: *cf 6* ‖ [15–16] *τοῦ ψ.*] contra iustum iudicem ſ *om* ä ‖ [16] *ἐπὶ Π.* (ä) *om P* ſ ‖ *τ. γ. ἐ. ἔ. om* ſ ä ‖ [17] *ἐξάψ. κ. om UY: cf 18* ‖ *κ. ἐξαγ. om P* ut pretium acciperet ſ et feci ä ‖ *θαν.* (ſ ä) *om D* ‖ [18] *παραδώσῃ P* ‖ [18–20] *τ. ἄβ. - ἐξελ*] *al* ſ *al* ä ‖ [18] *οἰκ. κ. om PUY: cf 6; 17; 109, 1; 12; 111, 7; 120, 4; 5; 121, 3; 123, 4; 127, 2; 139, 9; 12; al plurima* ‖ [20] *ἐξ ἐ. om U* ‖ [21] *δέδοται coni Thilo dubitanter* ‖ [22] *ὅπ. α.] εἰς ὃ καὶ P* ‖ [23–24] *aliquanto plura* ſ ‖ [23] *ταῦτα] αὐτοῦ add U* ‖ *ἐκ.* (ä) *om P* ‖ [24] *κατακ.] ταῦτα ἀκούοντος P: cf 147, 13; 152, 9* ‖ *τ. φ. ὁ ἀπ. PUY* ‖ [24–25] *α. (cf c 65 m) ε. ὕ. om PUY* ‖ [25] *εἰς] καὶ ἀτενίσας εἰς suspicatur Thilo sed refutat* ‖ [25–150, 2] *π. - γεν.] paulo plura et al* ſ *al* ä
[25] *λ.] τοῦ λοιποῦ P*

53 Th νεκρούμενος ὅλος· ἔφθασεν γάρ σου τὸ τέλος τῆς ἀπωλείας·
καὶ μὴ τόλμα λέγειν ἃ διεπράξω διὰ τῶν σοὶ ὑπηκόων γενο-
25 B μένων. κελεύω δέ σοι ἐν ὀνόματι τοῦ Ἰησοῦ ἐκείνου | τοῦ
μέχρι νῦν ἀγῶνα πρὸς ὑμᾶς ποιοῦντος διὰ τοὺς ἰδίους ἀνθρώ-
πους, ἵνα τὸν ἰόν σου ὃν ἔβαλες εἰς τὸν ἄνδρα τοῦτον ἐκμυ-
173 W ζήσῃς καὶ ἀνελκύσας λάβῃς ἐξ αὐτοῦ. Ὁ δὲ δράκων εἶπεν·
Οὔπω ὁ καιρὸς ἔφθασεν τοῦ τέλους ἡμῶν, καθὼς εἶπας· τί
με ἀναγκάζεις λαβεῖν ὃ εἰς τοῦτον κατέβαλον καὶ ἀποθανεῖν
πρὸ καιροῦ; καὶ γὰρ ὁ ἐμὸς πατὴρ ἐπὰν ἀνιμήσηται καὶ
ἐκμυζήσῃ ὃ ἐπέρριψεν τῇ κτίσει, τότε αὐτοῦ γίνεται τὸ τέλος.
Εἶπεν δὲ αὐτῷ ὁ ἀπόστολος· Δεῖξον οὖν ἤδη τὴν φύσιν τοῦ
πατρός σου. Καὶ προσελθὼν ὁ δράκων ἐπέθηκεν τὸ στόμα
ἐπὶ τὴν πληγὴν τοῦ νεανίσκου καὶ ἐξεμύζησεν τὴν χολὴν ἐξ
αὐτοῦ. καὶ κατὰ βραχὺ μὲν ἡ χροιὰ τοῦ νεανίσκου, ὥσπερ
πορφύρα οὖσα, ἐλευκαίνετο, ὁ δὲ δράκων ἐφυσᾶτο. ὅτε δὲ
πᾶσαν τὴν χολὴν εἰς ἑαυτὸν ἀνέσπασεν ὁ δράκων, ὁ νεώτερος
219 T ἀναπηδήσας ἔστη, καὶ δραμὼν πρὸς τοὺς πόδας τοῦ ἀποστόλου
ἔπεσεν. ὁ δὲ δράκων φυσηθεὶς ἐλάκησεν καὶ ἀπέθανεν, καὶ
ἐξεχύθη αὐτοῦ ὁ ἰὸς καὶ ἡ χολή· ἐν δὲ τῷ τόπῳ οὗ ὁ ἰὸς
αὐτοῦ ἐξεχύθη χάσμα ἐγένετο μέγα, καὶ κατεπόθη ὁ δράκων
ἐκεῖνος. εἶπεν δὲ ὁ ἀπόστολος τῷ βασιλεῖ καὶ τῷ ἀδελφῷ
αὐτοῦ· Βάλετε ἐργάτας καὶ ἀναπληρώσατε τὸν τόπον ἐκεῖνον,
καὶ θέτε θεμελίους καὶ οἴκους οἰκοδομήσατε ἐπάνω, ἵνα οἴκησις
γένηται τοῖς ξένοις.

34 Ὁ δὲ νεανίσκος ἔλεγεν τῷ ἀποστόλῳ μετὰ πολλῶν
54 Th δακρύων· Τί ἥμαρτον εἰς σέ; ἄνθρωπος γὰρ εἶ δύο μορφὰς

---

[1] ὅλως D ‖ [2] σοὶ ὑ. γ.] σῶν ὑ. D: cf 151, 18; 152, 15; c 64m ‖ [4] ἀνθρ.] αὐτοῦ δούλους P ‖ [5] ἐκμ. om U ‖ [6] καὶ - ἐξ α.] al ſ ‖ λάβ.] ἀνασηράσῃς PUY retineas ä: scr ἀνασειράσῃς (del ἀνελκ.)?? cf 8 ‖ ἀπ' UY ‖ [7] οὐδέπω UY om ä ‖ ἡμ. τ. τέλ. ἔφθ. D: cf 10; 156, 2-3 ‖ καθ.] σὺ add D ‖ εἶπες U ἔφης D: cf 127, 4; al ‖ [8–9] προ κ. με ἀπ. P πεποίηκα add U ‖ [10] ἐκμυζήσηται P: cf 5; 13 ‖ τῆς Y ταῖς PU ‖ κτίσεσιν (P)U(Y) in creaturam ſ ä ‖ τὸ τέλ. α. γενήσεται D: cf 7 ‖ [11] αὐτῷ om PY ‖ ἤδη] ἄρτι P ‖ [13] τῇ πληγῇ U ‖ χολ.] uenenum ſ ä καὶ τὸν ἰὸν add P: recte? cf 5; 16; 19 ‖ [14] scr ἡ μὲν? ‖ χρόα UY ‖ [15] οὖσα] οὕτως add P ‖ [16] χολ.] uenenum ſ ä: cf 13 ‖ [17] ἔστη] ἀνέστη PUY subsiluit ſ: cf c 54m ‖ [17–18] ἔπ. πρ. τ. π. τ. ἀπ. P et adorauit eum add ſ ‖ [18–19] κ. ἀπ. - χ. (ä)] secundum uocem Iudae ſ ‖ [19] ὁ ἰ. α. D: cf q s et 108, 11 ‖ [20] αὐτοῦ om P ‖ [20–21] κ. κ. - ἐκ. (ä) om ſ ‖ [22] β. ἐ. κ. om ſ ‖ λάβετε Thilo et Tischendorf (cf An 59, 16) adducite ä: scr Ἐκβάλετε?? cf eu Matth 9, 38 ‖ ἐκ. (ſ ä)] ἐν ᾧ ὁ δράκων κατεπόθη D ‖ [25–152, 11] ἔλεγεν - σωμ.] aliquanto plura et al ſ ‖ [26] τί om D ‖ ἡμ.] εἰς τὸν ὑπὸ σοῦ κηρυττόμενον θεὸν καὶ add D (non ä) ‖ σέ] ἀλλὰ δέομαί σου add D

ἔχων, καὶ ὅπου ἂν θέλῃς ἐκεῖ εὑρίσκῃ, καὶ ὑπ' οὐδενὸς ἐπέχῃ,
ὡς ἐγὼ ὁρῶ. ἐθεασάμην γὰρ τὸν ἄνδρα ἐκεῖνον, ὡς παρέστηκά
σοι, ὃς καὶ ἔλεγέν σοι· Πολλὰ ἔχω δεῖξαι διὰ σοῦ θαυμάσια, 175 W
καὶ ἔργα μεγάλα ἔχω διὰ σοῦ τελέσαι, δι' ὧν μισθὸν λήψῃ·
καὶ πολλοὺς ποιήσεις ζῆσαι, καὶ ἔσονται ἐν ἀναπαύσει ἐν φωτὶ
αἰωνίῳ ὡς τέκνα θεοῦ· σὺ οὖν ζωοποίησόν φησιν περὶ ἐμοῦ
σοι λέγων τοῦτον τὸν νεανίσκον καταβληθέντα ὑπὸ τοῦ ἐχθροῦ,
καὶ ἐν παντὶ καιρῷ ἔφορος αὐτοῦ γενοῦ. Καλῶς οὖν | ἥκεις 26 B
ἐνθάδε, καὶ πάλιν καλῶς πρὸς αὐτὸν ἀπελεύσῃ, καὶ αὐτοῖ
ὅλως μὴ ἀπολειπομένου σου. ἐγὼ δὲ ἐγενόμην ἄνευ φροντίδος
καὶ ὀνειδισμοῦ· καὶ ἐπέφαυσέν μοι ἀπὸ τῆς φροντίδος τῆς
νυκτερινῆς καὶ ἀνεπάην ἀπὸ τῆς ἐργασίας τῆς ἡμερινῆς· ἀπηλ-
λάγην δὲ καὶ ἀπὸ τοῦ παροξύναντός με ταῦτα πράττειν, ἥμαρ-
τον εἰς ἐκεῖνον τὸν τὰ ἐναντία διδάξαντά με· καὶ ἀπώλεσα
ἐκεῖνον τὸν τῆς νυκτὸς συγγενῆ τὸν ἀναγκάζοντά με ἁμαρ-
τάνειν ταῖς αὐτοῦ πράξεσιν, εὗρον δὲ ἐκεῖνον τὸν φεγγώδη
ὄντα μου συγγενῆ. ἀπώλεσα μὲν ἐκεῖνον τὸν σκοτίζοντα καὶ
ἀμαυροῦντα τοὺς ἑαυτοῦ ὑπηκόους, ἵνα μὴ γνῶσιν ἃ διαπράτ-
τονται, καὶ ἐν τοῖς ἔργοις αὐτῶν αἰσχυνθέντες ἀπόσχωνται 176 W
ἀπ' αὐτῶν, καὶ αἱ τούτων πράξεις τέλος σχῶσιν· εὗρον δὲ
ἐκεῖνον οὗ τὰ ἔργα φῶς ἐστιν καὶ αἱ πράξεις ἀλήθεια, ἃ
διαπραττόμενός τις οὐ μεταγινώσκει. ἀπηλλάγην δὲ καὶ

---

[1] ἄν] ἐὰν Y δἂν P: cf 103, 4; c 64 e; 93 m ‖ εὑρίσκαι P ‖ ἐπ.] ὁρᾶσαι P ‖ [2] ἐγώ] σε add P ‖ [2–3] scr ὅς παρέστηκέν σοι (ä)?? ‖ [4] καὶ - τελ. om U ‖ διὰ σ. ἔχω P ‖ ὧν] scr ἃ? ‖ [5] π. ζ.] ζωοποιῆσαι ἔχω P ‖ ἀναπ. (ä)] alto ſ ‖ ἐν alt (ſ)] καὶ D. UY ä ‖ [6–7] ζωοπ. - ἐχθ.] δῆλον ὅτι περιεμοῦ ζωοπ. τοῦτ. τ. νεαν. δεινῶς ὑ. τ. ἐχθ. καταβλαβέντα P ‖ [7] νεανίσκον ⟨τὸν⟩? ‖ καταβλαβέντα UY: cf c 79 i ‖ [8] καὶ - γ.] quia omni tempore dominum tuum contemplaris ſ ‖ γίνου UY ‖ ἥκες D: cf c 75 e ‖ [9] ἐνταῦθα P ‖ καὶ prius om D ‖ πάλ. - ἀπ.] multos ad eum adduxisti ſ ‖ [10] ἀπολιμπανομένου P ‖ [11] ὀν.] dolore ſ ‖ κ. ἐπ.] ἐπ. γάρ D ‖ [11–12] ἐπ. - ἡμ.] al ſ al ä ‖ [12] καὶ om P ‖ ἀνεπαύθην D om P: cf 105, 12; 152, 17 ‖ ἀπὸ - ἡμερ. om D. P ‖ [13–14] ἥμ. εἰς] intellexi ſ (om ä) ‖ [13] ἥμ.] μὲν add PUY: δὲ exspectes: cf 16; 20; 22; 152, 3 ‖ [14] μοι διδ. D: scr με διδ.? ‖ καὶ del? cf 17; 22 ‖ [15] τῆς - τὸν] per tenebras cognatas suas ſ ‖ ἐξαμαρτάνειν D ‖ [16–17] ἐκ. - συγγ.] al ſ ‖ [16] φεγγοειδῆ D ‖ [17] ⟨τὸν⟩ ὄντα?? cf 152, 4 ‖ μου σ. ὄ. P ‖ ἀ. μ.] ἀπωλέσαμεν D. PU (cf 14; 20) δὲ add D ‖ [18] αὐτοῦ PUY: cf 152, 5 al ‖ ἃ] εἰς ἡμᾶς κακὴν P ‖ [20] ἀπ' om D: cf c 58 i; 118, 12; 144, 3; c 134 e ‖ αἱ τ.] διατοῦτο αἱ P ‖ τούτ.] eius ſ ‖ γέλος U ‖ ἔχωσιν P: cf 141, 4 ‖ [21] οὗ - ἀλ.] al ſ ‖ ἀληθιναί P ‖ ἃ] εἰς ας P

ἀπ᾽ ἐκείνου οὗ τὸ ψεῦδος παράμονον, οὗ καὶ τὸ κάλυμμα 55 Th προηγεῖται σκότος, ὄπισθεν δὲ παρέπεται καὶ αἰσχύνη 220 T ἀναιδευομένη ἐν ἀπραγίᾳ· εὗρον δὲ τὸν καλά μοι φανεροῦντα εἰς τὸ λαβέσθαι με τούτων, τὸν τῆς ἀληθείας υἱόν, συγγενῆ ὄντα τῆς ὁμονοίας, ὃς τὴν ὁμίχλην ἀποσοβῶν τὴν ἑαυτοῦ κτίσιν φωτίζει καὶ τὰς πληγὰς θεραπεύων τοὺς ἐχθροὺς αὐτῆς καταστρέφει. ἀλλὰ δέομαί σου ἄνθρωπε τοῦ θεοῦ ποίησόν με πάλιν θεάσασθαι αὐτὸν καὶ ἰδεῖν τοῦτον τὸν νῦν ἀπόκρυφόν μοι γενόμενον, ἵνα καὶ τῆς φωνῆς αὐτοῦ ἀκούσω, ἧς τὸ θαῦμα ἐξειπεῖν οὐ δύναμαι· οὐκ ἔστιν γὰρ τῆς φύσεως τούτου τοῦ ὀργάνου τοῦ σωματικοῦ.

35 Ὁ δὲ ἀπόστολος ἀπεκρίθη αὐτῷ λέγων· Ἐὰν τούτων ἀπαλλαγῇς ὧν τὴν γνῶσιν ἐδέξω, ὥσπερ καὶ εἶπας, καὶ γνῷς τίς ἐστιν ὁ ταῦτα διαπραξάμενος ἐν σοί, καὶ μάθῃς, καὶ κατήκοος γενήσῃ ἐκείνου, οὗ νῦν διὰ τῆς ζεούσης σου ἀγάπης ἐπιζητεῖς, καὶ ὄψῃ αὐτὸν καὶ σὺν αὐτῷ ἔσῃ εἰς τὸν αἰῶνα, καὶ ἐν τῇ ἀναπαύσει αὐτοῦ ἀναπαήσῃ καὶ ἔσῃ ἐν τῇ χαρᾷ 27 B αὐτοῦ. ἐὰν δὲ ῥαθυμότερον διατεθῇς πρὸς αὐτὸν | καὶ πάλιν ἐπιστραφῇς πρὸς τὰς προτέρας σου πράξεις, καὶ ἐάσῃς τὸ κάλλος καὶ τὸ φαιδρὸν ἐκεῖνο πρόσωπον τὸ νῦν ὑποδειχθέν σοι, καὶ τὸ ἀπαύγασμα τοῦ φωτὸς αὐτοῦ, οὗ νῦν ἐπιθυμεῖς, διαλάθῃς, οὐ μόνον τῆς ζωῆς ταύτης στερίσκῃ ἀλλὰ καὶ τῆς

---

[1] *οὗ - οὗ om P* ‖ *οὗ τὸ ψ. παρ.*] quem fraus sustinet ſ ‖ *παραμένει D: cf 154, 3* ‖ *κ. τὸ κ.*] *scr κατακάλυμμα?* ‖ [2] *ὄπιθεν PUY: cf c 154m* ‖ [2–3] *καὶ - ἀπρ.*] pudor et illa audens in impudentia ſ ‖ [2] *καὶ om D: del?* ‖ [3] *δὲ*] *μοι add P* ‖ [3–6] *καλά - φωτ.*] *al* ſ: *cf Lipsius I p 327* ‖ [4] *με om P* ‖ *τοῦτον PUY* ‖ [5] *ἀποσ.*] *καὶ add PU* ‖ [6] *φωτίζων PUY: cf q s* ‖ *πληγ.*] *αὐτοῦ add PUY* ‖ *τοὺς*] *δὲ add PUY* ‖ *καταστρέφων PUY* ‖ [7] *ἄ.* (ä)] apostole ſ: *cf 155, 21* ‖ *τοῦ om U* ‖ [7–9] *ποί. - γεν.*] sere in me uerbum tuum uitae ſ ‖ [8] *αὐτ. om D: del?* ‖ *τοῦτ.*] *αὐτόν D* ‖ [9] *γεν.*] *μοι add P* | *κατακούσω UY: cf 149, 24* ‖ [9–11] *ἧς - σωμ.*] *al* ſ (*cf 150, 25*): *cf Lipsius I p 325* ‖ [12] *ἀπεκ. α. λ.* (ä)] *πρὸς αὐτὸν εἶπεν D* Iudas dicit ei ſ ‖ [13] *ἀπαλλ.* (ſ) *om D* ‖ *τ. γν. ὧν D* ‖ *ἐδ.*] *ἀποβάλῃς add D* ‖ *γνῷς om PUY* ‖ [14] *ἐστιν om D σοι add P* (*U? eras*) ‖ [15] *scr γένῃ?? cf 114, 3* ‖ *οὗ*] *ὃν PUY* quem ſ: *cf 130, 6; 139, 10; al* ‖ *σοι UY* ‖ [16] *ἐπιζ.*] *τὴν θέαν add D* ‖ *καὶ prius del?* (ſ) ‖ [17] *ἀναπαήσῃ*] *ἀναπαύσῃ D: cf 151, 12* ‖ [17–18] *εἰς τὴν χαρὰν α. ἔσῃ D* ‖ [18] *ἂν D* ‖ [19] *ἀποστραφεὶς P* ‖ *εἰς PUY* ‖ [19–22] *κ. ἐ. - διαλ.*] *al* (*corrupta*) ſ *al* ä ‖ [20] *ἐκείνου PU: recte?* ‖ *πρόσωπον om PUY; cf c 115m* ‖ [22] *διαλάθῃ σε Thilo recte ut uid: cf 154, 11* ‖ *ἀποστερήσῃ P: scr στερήσῃ* (*cf 153, 1; 2; 159, 4*)?? ‖ [22–153, 2] *ἀλλὰ - εὑρ.*] *al* ſ

μελλούσης, καὶ ἀπελεύσῃ πρὸς ἐκεῖνον ὃν ἔλεγες ἀπολωλεκέναι, 56 Th *καὶ οὐκέτι θεάσῃ ἐκεῖνον ὃν ἔλεγες εὑρηκέναι.*

36 *Καὶ ταῦτα εἰπόντος τοῦ ἀποστόλου ἤρχετο εἰς τὴν* 177 W *πόλιν κατέχων τὴν χεῖρα ἐκείνου τοῦ νέου καὶ λέγων αὐτῷ· Ταῦτα ἅπερ ἐθεάσω τέκνον ὀλίγα ἐστὶν ἀπὸ τῶν πολλῶν ὧν ὁ θεὸς ἔχει· οὐ γὰρ περὶ τούτων τῶν φαινομένων εὐαγγελίζεται ἡμῖν, ἀλλὰ μείζονα τούτων ἐπαγγέλλεται ἡμῖν· ἐφ' ὅσον δὲ ἐν σώματί ἐσμεν, οὐ δυνάμεθα λέξαι καὶ ἐκφᾶναι ἃ μέλλει ταῖς ψυχαῖς ἡμῶν διδόναι. ἐὰν εἴπωμεν ὅτι φῶς ἡμῖν παρέχει, τοῦτο τὸ ὁρώμενόν ἐστιν καὶ ἔχομεν αὐτό· ἐὰν δὲ καὶ πλοῦτον, ὃς ἔστιν καὶ φαίνεται ἐν τῷ κόσμῳ τούτῳ, καὶ ὀνομάζομεν αὐτὸν καὶ οὐ χρήζομεν αὐτοῦ, ἐπειδὴ εἴρηται ὅτι Δυσκόλως πλούσιος εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν· Εἰ δὲ καὶ ἀμπεχόνην ἐσθῆτος εἴπωμεν, ἣν οἱ τρυφῶντες ἐν τῷ βίῳ τούτῳ ἀμφιέννυνται, ὠνόμασται, καὶ εἴρηται ὅτι Οἱ τὰ μαλακὰ φοροῦντες ἐν τοῖς οἴκοις τῶν βασιλέων εἰσίν· Εἰ δὲ καὶ δεῖπνα πολυτελῆ, περὶ τούτων ἐντολὴν εἰλήφαμεν προσέχειν ἀπ' αὐτῶν,* 221 T *μὴ βαρηθῆναι ἐν κραιπάλῃ καὶ μέθῃ καὶ μερίμναις βιωτικαῖς, λέγων ἅ ἔστιν, καὶ εἴρηται· Μὴ μεριμνήσητε τῇ ψυχῇ ὑμῶν τί φάγητε ἢ τί πίητε, μηδὲ τῷ σώματι ὑμῶν τί ἐνδύσησθε, ὅτι ἡ ψυχὴ πλεῖόν ἐστι τῆς τροφῆς καὶ τὸ σῶμα τοῦ ἐνδύματος· Ἐὰν δὲ καὶ ἀνάπαυσιν τὴν πρόσκαιρον ταύτην εἴπωμεν, κρίσις καὶ ταύτης ὥρισται. ἀλλὰ λέγομεν περὶ τὸν ἄνω κόσμον,*

12 Matth 19, 23 ‖ 15 Matth 11, 8 ‖ 18 Luc 21, 34 ‖ 19 Matth 6, 25

---

1 ὃν] *οὗ P* ‖ *λέγεις U* ‖ *ἀπολελωκέναι PUY* ‖ 3 *τ. εἰπὼν ὁ ἀπόστολος PUY* Iudas ʃ ‖ 4 *τ. ν. ἐκ. P* ‖ 7 *ἡμῖν prius*] *ὑμῖν U* ‖ *ἀ. μ.*] *ἀλλ' ἄμεινα P* meliora ʃ: *scr ἀλλ' ἀμείνω (uel ἀμείνονα)? cf c 116 m* ‖ 8–9 *ἃ - διδ.*] quae omnes credentes deo accepturi sunt ʃ quae parauit animis credentium sibi ã ‖ 9 *διδ. ἡμ. P* ‖ *ἡμ. om UY: del?? cf* ʃ ã (*8 - 9*) ‖ 10 *τὸ om D* ʃ: *del??* ‖ *κ. ἔχ. α. om* ʃ: *del??* ‖ 11–12 *ὃς - ὀν. α.*] memoramus quod est in mundo ʃ ‖ 11 *ὃς om D. P: scr ὅ? cf* ʃ ‖ *τούτῳ om P* ‖ *καὶ om UY; del? cf* ʃ ‖ 12 *αὐτό UY τοῦτον P: del?* ‖ 12–13 *κ. οὐ - οὐρ. om* ʃ: *del?? cf 15 - 16; 18 - 21* ‖ 12 *κ. ο. χ. α. om D* ‖ *κ. ο. χ.*] *οὐ χρήζω δὲ εἰ θελήσω P* ‖ *ἐπ. ε.*] *ε. γὰρ P* ‖ 13 *εἰσελ. πλ. P* ‖ 15 *ὠν. κ. om D* ‖ *ὠν.*] *scr ὀνομάζομεν? cf 11* ‖ 15–16 *κ. εἴρ. - εἰσίν om* ʃ: *del?? cf 12 - 13* ‖ 15 *ὅτι om PU* ‖ 18–21 *μὴ βαρ. - ἐνδ. om* ʃ: *del?? cf 12 - 13* ‖ 18 *μὴ - βιωτ.*] *ἵνα μὴ ἐν κρ. κ. μέθῃ βαρυνόμενοι καὶ ταῖς τοῦ βίου συνωθούμενοι μερ. τῆς ἐκεῖ ἐκπέσομεν βασιλείας P* ‖ 19 *λέγ. - καὶ*] *καθὼς καὶ ἐν τῷ εὐαγγελίῳ D om P* ‖ *scr λέγομεν?? cf 11; 15* ‖ 19–21 *μὴ μ. - ἐνδύμ. om P* ‖ 23 *κ. ταύτ. ὥρ. κρ. P* ‖ *τῶν ἄ. κόσμων U τοῦ ἄ. κόσμου probabilius Thilo et Tischendorf* de nouo mundo (*post ἀγ. 154, 1*) ʃ

*περὶ θεοῦ καὶ ἀγγέλων, περὶ ἐγρηγόρων καὶ ἁγίων, περὶ τῆς
ἀμβροσιώδους τροφῆς καὶ τοῦ ποτοῦ τῆς ἀμπέλου τῆς ἀληθι-
νῆς, περὶ ἐνδυμάτων παραμόνων καὶ μὴ παλαιουμένων, περὶ*
57 Th *ὧν ὀφθαλμὸς οὐκ εἶδεν οὐδὲ οὖς ἤκουσεν, οὐδὲ ἐπὶ καρδίαν*
28 B *ἀνθρώπων ἁμαρτωλῶν ἀνέβη, | ἃ ὁ θεὸς ἡτοίμασεν τοῖς ἀγα-
πῶσιν αὐτόν. περὶ τούτων διαλεγόμεθα καὶ περὶ τούτων
εὐαγγελιζόμεθα. πίστευσον οὖν αὐτῷ καὶ σύ, ἵνα ζήσῃς, καὶ
εἰς αὐτὸν ἔχε τὴν πεποίθησιν, καὶ οὐ μὴ ἀποθάνῃς. οὐδὲ
γὰρ δώροις πείθεται ἵνα αὐτῷ προσενέγκῃς, οὐδὲ θυσιῶν*
178 W *ἐπιδέεται ἵνα αὐτῷ θύσῃς. ἀλλ' ἄπιδε πρὸς αὐτόν, καὶ οὐ
παραβλέψει σέ· καὶ πρὸς αὐτὸν ἐπίστρεψον καὶ οὐ καταλείψει
σε. ἡ γὰρ τούτου εὐπρέπεια καὶ τὸ κάλλος κατεπιθύμιόν σε
ποιήσει ἵνα αὐτὸν ἀγαπήσῃς· ἀλλὰ οὔτε συγχωρεῖ σοι ἀπο-
στραφῆναι σεαυτόν.*

37 *Καὶ ταῦτα εἰπόντος τοῦ ἀποστόλου τῷ νέῳ ἐκείνῳ
πολὺς ὄχλος προσετίθετο. ἀπιδὼν δὲ ὁ ἀπόστολος εἶδεν αὐτοὺς
ἐπαίροντας ἑαυτοὺς ἵνα αὐτὸν ἴδωσιν, καὶ εἰς ὑψηλοὺς τόπους
ἀνήρχοντο, καὶ εἶπεν πρὸς αὐτοὺς ὁ ἀπόστολος· Ἄνδρες οἱ
ἐλθόντες εἰς τὸ συνέδριον τοῦ Χριστοῦ καὶ θέλοντες εἰς τὸν
Ἰησοῦν πιστεῦσαι, ἀπὸ τούτου τύπον λάβετε, καὶ ἴδετε ὅτι ἐὰν
μὴ ὑψωθῆτε ἐμὲ τὸν μικρὸν θεάσασθαι οὐ δύνασθε, καὶ
ὅμοιον ὄντα με ὑμῶν κατοπτεῦσαι οὐ δύνασθε· εἰ οὖν ἐμὲ
τὸν ὑμῖν ὅμοιον ὄντα οὐ δύνασθε ἰδεῖν ἐὰν μὴ ἐπάρητε ἑαυτοὺς*

[4] cf Cor 1, 2, 9

---

[1] *π. ἐγ. κ. ἀγ.* (ϳ) *om D. P* ‖ *γρηγόρων U: ἐγρ.* <*πνευμάτων*>? (ϳ) ‖ [2] *κ. τ. π. - ἀλ. om D* ‖ *ἀμπ. τ. ἀλ.*] aquae uitalis ϳ ueri uini albi (*om τ. ποτ.*) ă ‖ [3] *παρ. κ.*] *τῶν P* ‖ *παραμενόντων D: cf 152, 1; 155, 4; c 61e; 66e; 124m* ‖ *παλ.*] *καὶ ἀφθάρτων bis add P* ‖ [4] *οὐδὲ prius*] *καὶ P* ‖ *οὖς P οὐκ add PY* ‖ *οὐδὲ alt*] *καὶ P* ‖ [5] *ἁμ.*] *οὐκ add PY* ‖ [5–6] *ἡτ. τ. ἀ. α.*] *τ. ἀ. α. παρεσκεύασεν P* ‖ [5] *παρεσκεύασεν U* ‖ [6–7] *περὶ - εὐαγγ.* (ϳ ă) *om D* ‖ [10] *δέεται D* ‖ *ἀλλὰ Y: cf 13* ‖ *ἔπειδε P* ‖ [11] *π. σέ*] *παραβλέψεις Thilo et Tischendorf: cf 152, 22* ‖ [11–12] *κ. πρ. - κατ. σε* (ϳ ă) *om D. U* ‖ [12–13] *κατ. σε π.*] *εἰς ἐπιθυμίαν ἐγερεῖ P* ‖ [13] *τοῦτον P* ‖ [13–14] *ἀλλὰ - σε. om P* ‖ [13] *ἀλλ' D: cf 10* ‖ *scr οὐδὲ?* ‖ *σ. σοι*] *συγχωροῖς Thilo συγχωρήσεις coni idem* ‖ [13–14] *σοι ἀ. σε.*] *scr ἀποστραφῆναί σε αὐτόν? σοι ἀ. ἑαυτόν? σοι ἀ. αὐτόν?* (ϳ) *cf 135, 11* ‖ [16–17] *ἀπιδ. - ἴδωσιν om P* ‖ [16] *ἀφειδὼν U: cf 157, 21 et 111, 7* ‖ [17–18] *ἀνήρχ. τόπ. P ἵνα τὸν ἀπόστολον βλέπωσιν καὶ ἀκούουσιν add P καὶ εἰς αὐτὸν ἀφεώρων add UY* ‖ [18] *ὁ δὲ ἀπ. ε. π. α. D* ‖ *πρ. α.*] *α. PY αὐτοῖς U: recte? cf 15; 148, 16; 150, 11; 21; 25; al* ‖ [20] *τούτου*] *τοῦ λοιποῦ P* ‖ *λάβ. τύπ. P* ‖ [22] *ὑμ. ὄντα* (*om με*) *P* ‖ *ὑμῖν UY: cf 23* ‖ [22]–155,[1] *εἰ - γῆς om* ϳ: *del??* ‖ [23] *τὸν*] *ὡς εἶπον add P: cf 119, 12* ‖ *ὅμ. ὑμῶν P: cf 22* ‖ *αὐτοὺς D: cf 155, 3*

ὀλίγον ἐκ τῆς γῆς, ἐκεῖνον τὸν ἐν ὕψει διατρίβοντα καὶ νῦν
ἐν βάθει εὑρισκόμενον πῶς δύνασθε ἰδεῖν εἰ μὴ πρότερον 58 Th
ἐπάρητε ἑαυτοὺς ἐκ τῆς προτέρας πολιτείας ὑμῶν καὶ τῶν
πράξεων τῶν ἀνωφελῶν καὶ τῶν ἐπιθυμιῶν τῶν μὴ παραμε-
νουσῶν καὶ τοῦ πλούτου τοῦ ἐνθάδε καταλιμπανομένου καὶ
τῆς κτήσεως τῆς ἐκ τῆς γῆς παλαιουμένης καὶ τῶν ἐνδυμάτων
τῶν φθειρομένων καὶ τοῦ κάλλους τοῦ γηρῶντος καὶ ἀφανι-
ζομένου, ἔτι δὲ καὶ τοῦ σώματος ὅλου ἐν ᾧ ταῦτα πάντα 222 T
ἀποτεταμίευται, καὶ παλαιούμενον κόνις γίνεται, ὑποστρέφον
εἰς τὴν ἑαυτοῦ φύσιν· πάντα γὰρ ταῦτα αὐτὸ τὸ σῶμα ὑπορθοῖ.
ἀλλὰ μᾶλλον πιστεύσατε εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν,
ὃν κηρύσσομεν ἡμεῖς, ἵνα ἡ ἐλπὶς ὑμῶν εἰς αὐτὸν ἔσται καὶ
ἐν αὐτῷ τὴν ζωὴν ἔχητε εἰς αἰῶνας αἰώνων, ἵνα αὐτὸς ὑμῖν
συνοδοιπόρος γένηται ἐν ταύτῃ τῇ χώρᾳ τῆς πλάνης, καὶ
λιμὴν ὑμῖν γένηται εἰς ταύτην τὴν | θορυβώδη θάλασσαν. 29 B
ἔσται δὲ ὑμῖν καὶ πηγὴ βρύουσα ἐν ταύτῃ τῇ χώρᾳ τῇ 179 W
διψαλέᾳ, καὶ σηκὸς πλήρης βρώσεως ἐν τῷ τῶν πεινώντων
τόπῳ, καὶ ἀνάπαυσις ταῖς ψυχαῖς ὑμῶν, ἰατρὸς δὲ καὶ τῶν
σωμάτων.

38 Τότε τὸ πλῆθος τῶν συναχθέντων ἀκοῦον ταῦτα ἐδάκρυεν καὶ ἔλεγεν τῷ ἀποστόλῳ· Ἄνθρωπε τοῦ θεοῦ, ὃν σὺ κηρύσσεις θεὸν ἡμεῖς οὐ τολμῶμεν λέγειν ὅτι αὐτοῦ ἐσμεν, ὅτι τὰ ἔργα ἡμῶν ἃ διεπραξάμεθα ἀλλότρια αὐτοῦ ἐστιν, μὴ ἀρέσκοντα αὐτῷ· εἰ δὲ σπλαγχνίζεται ἐφ' ἡμᾶς καὶ ἐλεεῖ ἡμᾶς καὶ ῥύεται παριδὼν τὰς προτέρας ἡμῶν πράξεις, καὶ ἀπὸ

---

[1] *νῦν om* ʃ ä: *del??* ‖ [3] *ἑαυτ. ἐπάρ. P* ‖ *scr ἐπαρεῖτε?? cf 105, 7; 153, 13* ‖ [4] *ἀνοφελήτων Y πονηρῶν ἐκείνων P* ‖ *ἐπιθ.*] uoluptatibus ʃ ‖ *μὴ π.* (ʃ)] *παρενοχλουσῶν D* ‖ [5] *καὶ - κατ. om* ä ‖ *τ. ἐ. κ. om* ʃ ‖ [6] *κτίσεως D. U* ‖ *ἐκ*] in ʃ: *scr ἐπὶ??* ‖ *τῆς (post ἐκ) om PUY: del?* ‖ *γῆς ⟨τῆς⟩??* ‖ [9] *καὶ*] *καὶ δ Thilo perperam* ‖ [9–10] *εἰς τ. ἑ. κτῆσιν ὑπ. P* ‖ [10] *πάντα - ὑπ. om P* ‖ *τ. γ. π.*] *D* ‖ *ἀνορθοῖ D* ‖ [11] *πιστ. om Thilo* et confidite *add* ʃ ‖ *τὸν om PUY: cf c 49i; 51m; 54i; cet* ‖ *κύρ.*] *ἄνθρωπον Thilo errore ductus* ‖ *ἡμῶν* (ʃ ä) *om PUY* ‖ [12] *ἡμ. κηρ.* (*P*) ‖ *ἡμ.* (ʃ ä)] *ὑμῖν D* ‖ [13] *ἔχοιτε Y: scr σχῆτε?? cf 141, 4* ‖ [13–14] *συν. ὑμ. D* ‖ [13] *ἡμῖν Thilo* ‖ [14] *χώρᾳ*] *καὶ ἀπαλλάξῃ ὑμᾶς add D* ‖ [15] *αὐτὴν P* ‖ [16] *del ταύτῃ?* ‖ [17] *δαψιλαῖα Y δαψηλῆ U* ‖ *σκοπὸς Y* corbis ʃ (*cf Noeldeke ap Lipsium II 2 p 424*): *scr οἶκος?? cf c 145e F* ‖ [18] *ἡμῶν D* ‖ [18]–156,[7] *ταῖς ψ. - πεποιηκότες om P*

D. UY [18] *⟨σωτὴρ⟩ τῶν?* (ʃ) ‖ [20–21] *τὸ - ἀπ.* (ä)] multitudines clamabant ʃ ‖ [20] *ἀκουόντων D* ‖ [21] *ἄ.*] apostole ʃ: *cf 152, 7* ‖ [22] *θ.*] *plura add* ʃ ‖ *ἡμεῖς om U* ‖ *οὐ*] *οὔτε Y* ‖ [25] *ῥύ.*] *ἡμᾶς add Y*

τῶν κακῶν ὧν διεπραξάμεθα ἐν πλάνῃ ὄντες ἐλεύθεροί ἡμᾶς,
59 Th καὶ οὐχ ὑπολογίζεται ἡμῖν οὐδὲ ὑπόμνησιν ἡμῶν ποιεῖται τῶν
προτέρων ἁμαρτημάτων, γινόμεθά αὐτοῦ θεράποντες, καὶ τὸ
θέλημα αὐτοῦ εἰς τέλος ἄξομεν. Ὁ δὲ ἀπόστολος αὐτοῖς ἀπεκρίνατο λέγων· Οὐ καταψηφίζεται ὑμῶν οὐδὲ λογίζεται ὑμῖν τὰς ἁμαρτίας ἃς ἐν πλάνῃ ὄντες διεπράξασθε, ἀλλὰ παραβλέπει ὑμῶν τὰ παραπτώματα ἃ κατὰ ἀγνωσίαν ἦτε πεποιηκότες.

Πρᾶξις δʹ περὶ τοῦ πώλου.

39 Τοῦ δὲ ἀποστόλου ἔτι ἑστῶτος ἐν τῇ λεωφόρῳ καὶ διαλεγομένου τῷ πλήθει πῶλος ὀνάδος ἦλθεν καὶ ἔστη ἔμ-
180 W προσθεν αὐτοῦ, καὶ ἀνοίξας τὸ στόμα αὐτοῦ εἶπεν· Ὁ δίδυμος τοῦ Χριστοῦ, ὁ ἀπόστολος τοῦ ὑψίστου καὶ συμμύστης τοῦ λόγου τοῦ Χριστοῦ τοῦ ἀποκρύφου, ὁ δεχόμενος αὐτοῦ τὰ ἀπόκρυφα λόγια, ὁ συνεργὸς τοῦ υἱοῦ τοῦ θεοῦ, ὃς ἐλεύθερος ὢν γέγονας δοῦλος καὶ πραθεὶς πολλοὺς εἰς ἐλευθερίαν εἰσήγαγες· ὁ συγγενὴς τοῦ μεγάλου γένους τοῦ τὸν ἐχθρὸν καταδικάσαντος καὶ τοὺς ἰδίους λυτρωσαμένου, ὁ πρόφασις τῆς ζωῆς πολλοῖς γενόμενος ἐν τῇ χώρᾳ τῶν Ἰνδῶν· ἦλθες γὰρ πρὸς τοὺς πλανωμένους ἀνθρώπους, καὶ διὰ τῆς σῆς ἐπιφανείας καὶ τῶν λόγων σου τῶν θεϊκῶν νῦν ἐπιστρέφονται πρὸς τὸν ἀποστείλαντά σε θεὸν τῆς ἀληθείας· ἀνελθὼν ἐπικαθέσθητί μοι καὶ ἀναπάηθι ἕως ἂν εἰς τὴν πόλιν εἰσέλθῃς. Καὶ ἀποκριθεὶς ὁ ἀπόστολος εἶπεν· Ὦ Ἰησοῦ Χριστὲ νοερὲ

[2–3] *ποι. τ. πρ. ἡμῶν D: cf 150, 7* ‖ [2] *<καθ'> ἡμῶν* (ʃ)?? ‖ [3] *πρώτων UY: cf 152, 19; 155, 3; 25; c 48 e; 58 i* ‖ *ἁμαρτιῶν UY* ‖ [4] *ἄξωμεν D. UY corr Thilo dubitanter (cf c 117 i): ἄγομεν malim* ‖ *ἀπεκρ. αὐτ. D* ‖ [5] *ὑμ. ο. λογ.* (ā?) *om D* ʃ: *cf 2; 149, 18* ‖ [6] *διεπραξάμεθα Y* ‖ [7] *ἄγνοιαν D: recte? cf c 59 e; 98 m*

PUY [9] *πρ. δʹ om Y* ‖ *τετάρτη U* ‖ [12] *αὐτοῦ] non pauca add* ʃ ‖ [13] *ὑψ.] χριστοῦ P* summi ʃ ā: *cf c 78 i* ‖ [13–14] *τ. λ. om U* ‖ [14] *Χρ.]* seruatoris ʃ dei ā: *scr θεοῦ?* ‖ [14–15] *αὐτοῦ et ὁ συν. om* ʃ: *cf Lipsius I p 328* ‖ [16] *πραθ.]* per oboedientiam tuam ʃ: *cf 129, 9* ‖ *ἤγαγες UY* ‖ [17–18] *τ. τὸν - λυτρ.] al* ʃ ‖ [17] *καταδίσαντος U καταδήσαντος Y: recte?* ligas ā ‖ [18] *ἰδ.] αὐτοῦ add U* ‖ *προστάτης P* causa ʃ ā: *cf 159, 19; c 136 i; 141 e* ‖ [19] *πολλ.* (ā) *om P* ʃ: *del?? cf c 136 i* ‖ *ἐν τῇ τ. Ἰ. γεν. χ. P: cf c 116 m; 117 e; 134 m* ‖ *ἐν om* ʃ ‖ *Ἰ.]* Candaces ā ‖ *ἦ. γ.]* qui uenisti inuitus ʃ ‖ [22] *τὸν - ἀλ.]* uitam ʃ ‖ *τῆς om UY: cf 140, 3* ‖ [23] *ἀναπέου P: scr ἀναπαύου?? cf c 46 i; 151, 12; 146, 4* ‖ *τ. π.* (ʃ ā)] *τὸν τόπον U* ‖ [24] *Χρ. om* ʃ ā: *del?* ‖ *νο.]* fili ʃ: *<υἱὲ> νο.?*

τῆς εὐσπλαγχνίας τῆς τελείας· ὢ ἡ ἡσυχία καὶ ἡ ἠρεμία, καὶ ἐν τοῖς ἀλόγοις ζῴοις νῦν λαλούμενε· ὢ ἀπόκρυφε ἀνάπαυσις καὶ διὰ τῆς ἐνεργείας φανερούμενε σωτὴρ ἡμῶν καὶ τροφεῦ, διαφυλάσσων ἡμᾶς | καὶ ἀναπαύων ἐν σώμασιν ἀλλοτρίοις· 30 B *ὁ σωτὴρ τῶν ἡμετέρων ψυχῶν· ἡ βρύσις ἡ γλυκεῖα καὶ ἄληκτος, ἡ πηγὴ ἡ εὐκατάστατος καὶ καθαρὰ καὶ μηδέποτε θολουμένη· ὁ ἐπαμύντωρ καὶ βοηθὸς ἐν ἀγῶνι τῶν ἰδίων δούλων, ὁ τὸν ἐχθρὸν ἀποστρέφων καὶ ἀποσοβῶν ἀφ' ἡμῶν, ὁ εἰς πολλοὺς ἀγῶνας ὑπὲρ ἡμῶν ἀγωνιζόμενος καὶ νικᾶν ποιῶν* 181 W *ἡμᾶς ἐν πᾶσι· ὁ ἀληθὴς ἀθλητὴς ἡμῶν καὶ ἀήττητος· ὁ στρατηλάτης ἡμῶν ὁ ἅγιος καὶ νικηφόρος· ὁ ἔνδοξος καὶ χαρὰν παρέχων τοῖς ἰδίοις τὴν μηδέποτε παρερχομένην, καὶ ἄνεσιν τὴν μηδ' ὅλως θλῖψιν ἔχουσαν· ὁ ἀγαθὸς ποιμὴν ὁ ἑαυτὸν ἐκδοὺς ὑπὲρ τῶν ἰδίων προβάτων καὶ τὸν λύκον νικήσας καὶ λυτρωσάμενος τοὺς ἰδίους ἄρνας καὶ εἰς νομὴν ἀγαθὴν ἀγαγών· δοξάζομεν καὶ ὑμνοῦμεν σὲ καὶ τὸν ἀόρατόν σου πατέρα καὶ τὸ ἅγιόν σου πνεῦμα καὶ τὴν μητέρα πασῶν κτίσεων.*

40 *Ταῦτα εἰπόντος τοῦ ἀποστόλου τὸ παρὸν πᾶν πλῆθος εἰς αὐτὸν ἀπέβλεπεν προσδοκῶν κατακοῦσαι τί ἀποκρίνεται τῷ πώλῳ. πολλὴν δὲ ὥραν σταθεὶς ὁ ἀπόστολος ἔκπληκτος ὥσπερ γεγονὼς καὶ εἰς τὸν οὐρανὸν ἀπιδὼν εἶπεν τῷ πώλῳ· Τίνος εἶ καὶ τίνος ὑπάρχεις; ἔκπληκτα γάρ εἰσι τὰ διὰ τοῦ*

13 Io 10, 11

---

1 *τῆς τελ. εὐ.* (*om alt τῆς*) *P* ‖ 2 *ζ.*] *τῶν ζώων Y* ‖ *λαλ.*] qui loqueris ſ qui das uim loquendi ä: *scr λαλῶν??* ‖ *ἀπόκρυφος P* ‖ *ἀν. om* ſ: *del? cf Lipsius I p 328* ‖ 3 *φανερούμενος P* ‖ 3–5 *σωτὴρ - ὁ*] nutritor et tutor noster, seruator corporum nostrorum et ſ: *cf Burkitt J of theol studies I* (*1900*) *p 285* ‖ 3 *ἡμ. σ. P* ‖ *scr τροφεύς???* ‖ 5 *ἄλ.* (ſ)] *ἄφραστος P* ‖ 6 *εὐκατάσταλτος Y* numquam deficiens ä *om* ſ ‖ *καὶ prius om* ſ ‖ *θελουμένη U* ‖ 7 *ἐπαμυνήτορ U om* ſ ‖ *καὶ om* ſ ‖ *ἰδ.*] *σῶν U* ‖ 8 *ἀποστρ. - ἡμ.* (ä)] profligens ante eos ſ ‖ 9 *πολλ. om* ſ ‖ 10 *ἡμ. ἀθλ. UY* ‖ *ἀήττ.*] inlaese ſ ‖ 11 *νικ.*] inuicte ſ ‖ *ἔνδ. καὶ*] *τὴν ἔνδοξον P om* ſ ‖ 12 *τὴν*] *καὶ P* ‖ 13 *μ. ὅλ.*] *μηδέποτε P* ‖ *θλ.* (ſ)] *δόλον P* ‖ *ἑαυτ.*] uitam suam ſ ‖ 15 *καὶ - ἀγαγ. om* ſ ‖ 16 *σὲ καὶ*] per te ſ ‖ 16–17 *κ. τὸ - πν. del??* ‖ 17 *κ. τ. μ.*] qui incubat ſ: *cf Burkitt l s* (*3 - 5*) *p 286* ‖ *π. κτ.* (ſ)] *πάσης τῆς κτίσεως P*: *cf 114, 9 ubi* creaturarum ſ ‖ 18 *π. π. πλ.*] *πλ. τῶν παρόντων UY* ‖ 19 *ἀκοῦσαι P*: *cf 147, 13; c 89 e; 102 i; 104 m; 136 i* ‖ 19–20 *τί - πώλῳ* (ſ ä)] *τι πρὸς τὸν πῶλον λέγοντος P* ‖ 20 *τὸν πῶλον Y* ‖ 21 *scr ὥσπερ ἔκπ. γεγ? cf c 63 e*: *cf tamen c 47 m*(?) *et uita Barlaam p 38 Boiss* (*Migne* LXXXXVI *p 897 D*) *ἔνθους ὥσπερ γενόμενος* (*item ed Zotenberg p 105*) ‖ *ἀφιδὼν P*(*U*): *cf 154, 16* ‖ 22 *τίνος*] quis ſ ä: *scr τίς?*

στόματός σου ἐκφανθέντα καὶ παράδοξα ἅτινα ἀπόκρυφα τοῖς πολλοῖς ὑπάρχει. Ὁ δὲ πῶλος ἀποκριθεὶς εἶπεν· Τῆς γενεᾶς εἰμι ἐκείνης τῆς ἐξυπηρετησαμένης τῷ Βαλαάμ, ἧς καὶ ὁ κύριός σου καὶ διδάσκαλός σου εἰς τὸν καθήκοντά μοι κατὰ γένος ἐκάθισεν. κἀγὼ νῦν ἀπεστάλην σὲ ἀναπαῦσαι καθεσθέντα ἐπάνω μου· καὶ λάβω πίστιν, καὶ προστεθῇ μοι ἡ μερὶς ἐκείνη ἣν νῦν μέλλω κτᾶσθαι διὰ τῆς σῆς ὑπηρεσίας ἧς ἐξυπηρετησάμην σοι· καὶ ὅταν σοι διακονήσω, ἐξ ἐμοῦ λαμβάνεται. Εἶπεν δὲ αὐτῷ ὁ ἀπόστολος· Δυνατός ἐστιν ἐκεῖνος ὁ τὴν δωρεάν σοι ταύτην χαρισάμενος ἵνα ἕως τέλους πληρωθῇ ἐν σοὶ καὶ τοῖς κατὰ γένος σοι διαφέρουσιν· τούτου γὰρ τοῦ μυστηρίου ἐγὼ ἀσθενὴς καὶ ἄτονος ὑπάρχω. Καὶ
182 W οὐκ ἐβούλετο ἐπικαθεσθῆναι αὐτῷ. ὁ δὲ πῶλος ἐδέετο καὶ ἱκέτευεν αὐτὸν ἵνα εὐλογηθῇ ὑπ' αὐτοῦ ἐπορκούμενος αὐτῷ. Τότε ἀνελθὼν ὁ ἀπόστολος ἐκαθέσθη. καὶ εἵποντο σὺν αὐτῷ οἳ μὲν προάγοντες αὐτὸν οἳ δὲ ἀκολουθοῦντες· ἔτρεχον δὲ πάντες βουλόμενοι ἰδεῖν τὸ πέρας καὶ πῶς τὸν πῶλον ἀπολύει. |

31 B 41 Ὅτε δὲ ἦλθεν ἐγγὺς τῶν πυλῶν τῆς πόλεως, κατῆλθεν ἀπ' αὐτοῦ λέγων· Ἄπελθε καὶ διαφυλάχθητι ὅπου ἦς. Εὐθέως δὲ ὁ πῶλος πεσὼν εἰς τὸ ἔδαφος παρὰ τοὺς πόδας τοῦ ἀποστόλου ἀπέθανεν. πάντες δὲ οἱ παρόντες ἠθύμησαν λέγοντες τῷ ἀποστόλῳ· Ζωοποίησον αὐτὸν καὶ ἀνέγειρον. Ὁ δὲ ἀπο-

[3] cf num 22, 21 ss

---

[1] σοῦ στ. *UY* ‖ ἐκφ.] λαληθέντα τὰ *P* ‖ παρ.] κἀμοί τε καὶ τῷ ὄχλῳ φανέντα *add P* ‖ ἅτινα] ἃ καὶ *P*: *cf c 117 m* ‖ [1–2] ἀπ. τ. π.] ἀπὸ πολλῶν ἀπ. *UY* (*cf 152, 8*) plura quam multa ſ ‖ [2] ὑπ.] τυγχάνειν εἰώθασι *P*: *cf 139, 4; 148, 16; c 80e* ‖ [3] *B.*] prophetae *add* ſ ‖ ἧς *om* ſ: *del??* ‖ [4] κ. δ. σ. *om* ſ ‖ σου *alt om UY*: *cf 114, 5* ‖ [5–6] κ. ἐπ. μ. *om* ſ ‖ [6] λ. π.] horum fides confirmetur ſ ‖ *post* πίστιν *redit V* (*cf 116, 9*)

PUVY [6] προστεθεῖ *VY* προστεθείη *P*: *cf 100, 3; cf tamen etiam c 129 i* ‖ [7] ν. μ. κτ. hodie accepi ſ ‖ [8–9] ἧς - λαμβ. *om P* ‖ [8] ἧς - σοι] ἃς ἐξυπηρετησάμενος *UY om* ſ: *del??* ‖ *scr* ἐξυπηρετήσομαι?? ‖ [8–9] ἐξ ἐ. λ.] λ. ἐξ ἐ. τὸ πνεῦμα *V* ‖ [9] α. ὁ ἀπ.] ὁ ἀπ. α. *Y* ὁ ἀπ. *U* ‖ [10] ἐκ. (ā)] deus ſ ‖ σοι τ.] ἐκείνην σοι *V* ‖ ἵν' *Y* ‖ [11] πλ.] ἐκεῖ *add V* ‖ γένους *V* ‖ [12] γὰρ] δὲ *V* ‖ [13] ἐπικαθῆσαι *P*: *scr* ἐπικαθίσαι?? *cf 5; 15* ‖ [13–14] ἱκ. κ. ἐδ. αὐτοῦ *V* ‖ [14] ἵνα] καθεσθῇ ἐπ' αὐτὸν καὶ *add V* ‖ ὑπ'] παρ' *V* ‖ ἐπαρκούμενος *coni Usener* uehendo ſ: *scr* ἐποχούμενος?? ἐποχουμένου?? ‖ αὐτόν *V* ‖ [15] ἐκ.] ἐπάνω αὐτοῦ *add V* ‖ εἵπ.] *prius o ex ε U* εἶπεν τοῖς *P*: *cf 141, 11; c 81e* ‖ [19] ὅπου] sicut ſ ‖ ἧς] ἦν τὸ πρότερον *V* ‖ [19–20] ὁ δὲ π. εὐθ. πεσ. *V* ‖ [21] π. δὲ] τότε π. *V* ‖ [22] κ. ἀν. *om* ſ: *cf 149, 18* ‖ ἔγειρον *V*: *cf 159, 1; 4*

κριθεὶς εἶπεν αὐτοῖς· Ἐγὼ μὲν ἠδυνάμην ἐγεῖραι αὐτὸν διὰ τοῦ ὀνόματος Ἰησοῦ Χριστοῦ· ἀλλὰ πάντως τοῦτο συμφέρει· ὁ γὰρ αὐτῷ δοὺς λόγον ἵνα λαλήσῃ ἠδύνατο αὐτὸν ποιῆσαι μηδὲ ἀποθανεῖν· οὐκ ἐγείρω δὲ αὐτὸν οὐχ ὡς μὴ δυνάμενος, ἀλλ' ὅτι τοῦτό ἐστιν τὸ συμβαλλόμενον αὐτῷ καὶ συμφέρον. Τοῖς δὲ παροῦσιν παρεκελεύσατο ὀρύξαι σκάμμα καὶ θάψαι αὐτοῦ τὸ σῶμα· καὶ ἐποίησαν ὡς ἐκέλευσεν.

Πρᾶξις ε' περὶ τοῦ δαίμονος τοῦ ἐνοικήσαντος εἰς τὴν γυναῖκα.

42 (39) Εἰσῆλθεν δὲ ὁ ἀπόστολος εἰς τὴν πόλιν τοῦ παντὸς ὄχλου ἀκολουθοῦντος αὐτῷ· ἐσκέπτετο δὲ ἀπελθεῖν 223 T πρὸς τοὺς γονεῖς τοῦ νεωτέρου ὃν ἐζωοποίησεν θανόντα ὑπὸ τοῦ δράκοντος· πάνυ γὰρ ἐδέοντο αὐτοῦ παραγενέσθαι πρὸς αὐτοὺς καὶ εἰσελθεῖν εἰς τὸν οἶκον αὐτῶν. γυνὴ δέ τις πάνυ ὡραία αἰφνιδίως φωνὴν ἀφῆκε μεγίστην λέγουσα·

Ἀπόστολε τοῦ νέου θεοῦ ὁ ἐλθὼν εἰς τὴν Ἰνδίαν, καὶ δοῦλε τοῦ ἁγίου ἐκείνου καὶ μόνου ἀγαθοῦ θεοῦ· διὰ σοῦ γὰρ οὗτος κηρύσσεται ὁ σωτὴρ τῶν ψυχῶν τῶν πρὸς αὐτὸν 183 W ἐρχομένων, καὶ διὰ σοῦ ἰατρεύεται τὰ σώματα τῶν ὑπὸ τοῦ ἐχθροῦ κολαζομένων, καὶ σὺ εἶ ὁ γεγονὼς πρόφασις τῆς ζωῆς πάντων τῶν ἐπ' αὐτὸν ἐπιστρεφόντων· κέλευσόν με ἀχθῆναι ἔμπροσθέν σου ἵνα σοι ἀφηγήσωμαι τὰ συμβάντα μοι καὶ τάχα ἐκ σοῦ γένηταί μοι ἐλπίς, καὶ οὗτοι δὲ οἱ παρεστῶτές 60 Th

---

[1] μὲν] ὦ ἀδελφοὶ *add V* non ideo eum non reuoco ad uitam quod non *add* ʃ: *cf 4* ‖ [1–2] διὰ - Χρ. *om* ʃ ‖ δ. τ. ὀν.] τῇ ἐπικλήσει τοῦ κυρίου ἡμῶν *P* ‖ [2] συμφ.] οὐ συμφ. *V* ‖ [4] μηδὲ] τοῦ μὴ *V* ‖ οὐκ - δυν. *om* ʃ: *cf 1* ‖ ἐγερῶ *P*: *cf c 54 i; 152, 22; al* ‖ [5] κ. σ. *om* ʃ: *cf 149, 18* ‖ [6] τότε παρεκ. τ. π. (*om* δὲ) *V* ‖ ποιῆσαι ὄρυγμα *P* ‖ [7] *scr* πτῶμα? *cf 147, 4,*

D. Π (Π = PRUVY) [8] πρ. *om D. VY* ‖ ε' *om D. RVY* ‖ τοῦ - γυν. (ʃ)] τῆς γυναικὸς καὶ τοῦ συγγενομένου αὐτῇ δαίμονος *P(R)U(V)Y* ‖ [9] εἰς τ. πόλ. ὁ ἀπ. *D*: *cf 124, 5* ‖ [12] αὐτοῦ] αὐτοὶ *P* ‖ [14] μεγ. ἀφεῖσα (ἀφιεῖσα *P*) ἔλεγεν *Π* ‖ [15] εἰς τ. ἰ. ἐ. *P* ‖ [16] ἁγ. *om U* ‖ ἐκ. - ἀγ.] ἀγ. ἐκ. κ. μ. *U* ἐκ. κ. ἀγ. μ. *V* ἐκ. κ. μ. *Y* ἐκ. κ. ἀγ. καὶ μ. *P om* ʃ ‖ [17] αὐτὸς *U* ὄντως *R om V* ‖ ψ. τ.] ψ. ἡμῶν τ. καὶ *P* ‖ [18] τῶν] τὰ *P* ‖ [18–19] ὑ. τ. ἐ.] ὑπ' αὐτοῦ *U* ‖ [19] κολαζόμενα *P* ‖ γεγ. *om P* ‖ προστάτης *P*: *cf 156, 18* ‖ τ. ζ. *om Thilo* ἡμῶν *add R* ‖ [20] πάντ. - ἐπιστρ..] totius gentis Indorum ʃ *dandi casum exspectaueris*: *cf 156, 18* ‖ ἐπ' α.] ὧδε *P* ‖ ἐπιστρεφομένων *V*: *cf 154, 11* ‖ [21] ὑφηγήσομαι *RU(Y)* διηγήσομαι *P(V)*: *cf c 55 i* ‖ καὶ] ὅπως *V*: *uerum?* (ʃ) ‖ [22] τ. *om V* ‖ ἐκ - ἐλπίς] ὡς ἔγωγε τοῦτο πιστεύω οὐ τῆς πρὸς σὲ ἐλπιζομένης ἀποτύχω ἐλπίδος *P* ‖ γενήσεται *UY(V)*: *cf 114, 3* ‖ καὶ ο. δὲ] ἀλλὰ καὶ ο. *P*

σοι εὐέλπιδες γένωνται μᾶλλον εἰς τὸν θεὸν ὃν κηρύσσεις. οὐ
μικρῶς γὰρ βασανίζομαι ὑπὸ τοῦ ἐναντίου ἤδη χρόνου πεντα-
32 B ετοῦς | ἐνεστῶτος. ὡς γυνὴ ἐκαθεζόμην ἐν ἡσυχίᾳ τὸ πρότε-
ρον, καὶ πανταχόθεν με εἰρήνη περιεῖχεν, καὶ οὐδενὸς
μέριμναν ἐποιούμην· οὐδὲ γὰρ ἄλλου τινὸς φροντίδα εἶχον.
43 43 (40) ἔτυχεν δὲ ἐν μιᾷ τῶν ἡμερῶν, ἐξιούσης μου ἀπὸ τοῦ
λουτροῦ ἀπήντησέν μοι ὡς ἄνθρωπός τις τεθορυβημένος καὶ
ἐντάραχος ὤν· ἡ δὲ τούτου φωνὴ καὶ ἀπόκρισις ἐδόκει μοι
εἶναι ἀμυδρὰ καὶ λεπτὴ πάνυ· καὶ εἶπεν στὰς ἄντικρύς μου·
Ἐγώ τε καὶ σὺ ἐν μιᾷ ἀγάπῃ ἐσόμεθα, καὶ κοινωνήσωμεν ἀλ-
λήλοις ὡς ἀνὴρ γυναικὶ συμμείγνυται. Κἀγὼ ἀπεκρινάμην
αὐτῷ λέγουσα· Τῷ ὁρμαστῷ μου οὐ συνεγενόμην, παραιτου-
μένη τοῦ μὴ γῆμαι, καὶ σοὶ ὡς ἐν μοιχείᾳ θέλοντί μοι κοινω-
νῆσαι πῶς ἐμαυτὴν ἐκδώσω; Καὶ εἰποῦσα ταῦτα διῆλθον· τῇ
δὲ παιδίσκῃ τῇ σὺν ἐμοὶ οὔσῃ εἶπον· Ἐθεάσω τὸν νέον καὶ
τὴν ἀναίδειαν αὐτοῦ, πῶς μὴ αἰδεσθεὶς παρρησίᾳ μοι διελέχθη;
Ἡ δὲ εἶπέν μοι· Ἐγὼ πρεσβύτην εἶδον ὁμιλήσαντά σοι. Γε-
νομένης δέ μου ἐν τῇ οἰκίᾳ καὶ δειπνησάσης ἡ ψυχή μου εἰς
61 Th ὑποψίαν τινὰ ὑπέβαλέν μοι, καὶ μάλιστα ὅτι δυσὶ μορφαῖς
224 T ὤφθη μοι· τοῦτο αὐτὸ κατὰ νοῦν ἔχουσα ὕπνωσα. ἐλθὼν

[1] σοι - κηρ] τὴν αὐτὴν συνεμοὶ ἔχωσιν ἐλπίδα εἰς τὸν σὸν ὃν κηρύττεις πιστεῦσαι θεόν P ‖ ὃν] σὺ add R: cf 141, 17 ‖ [1–3] οὐ - ἐνεστ.] πάνυ γὰρ ἐγὼ ἡ ἀθλία ἐν ἔτεσι πέντε ὑ. τ. ἐναντ. βασ. P ‖ [2] βασινίζομαι U ‖ [3] εστῶτος U ‖ ὡς γ.] τοῦ δὲ ἀποστόλου κελεύσαντος ἐλθεῖν πρὸς αὐτὸν καὶ ἐστάθη ἡ γυνὴ ἔμπροσθεν αὐτοῦ καὶ λέγει αὐτῷ ἐγὼ δοῦλε τοῦ ὄντως θεοῦ γ. ὑπάρχω καὶ V om ſ: del? cum βασ. (2) iungenda?? ante ἤδη (2) interpungit ä ‖ ὡς] ὡς ἅτε οὖσα P ‖ ἐν ἡσ. τὸ πρ. καθεζομένης μου P ‖ ἐν ἡσ. ἐκ. RUY ‖ [4] εἰρ μοι περιέχουσα P ‖ μηδ' ἑνὸς P ‖ [5] ἐπ.] ποιουμένης μου P ‖ οὐδὲ - εἶχον om P ‖ γὰρ om RV ‖ [6] δὲ om P ‖ [7] λ.] καὶ add RV ‖ ὡς] ὁ Y om P ſ ä: del?? ‖ τίς ἄνθρ. P ‖ τις om UY: cf c 97 i ‖ [8] ἀπ. κ. φ. P ‖ [9] ἀμ. κ. λ. εἶναι R ‖ ἀμ. εἶναι V ‖ εἶναι om PUY: del? cf c 92 e; 157 m ‖ εἶπεν om P ‖ στᾶσα R sta ä ‖ ἀντικρύ D. P: cf 119, 6 ‖ μου] λέγει add P ‖ [11] μίγνυται P ‖ [12–3] οὐ - γῆμαι] παραιτησάμην γῆμε με θέλων P ‖ [13] μὴ om RUVY ‖ σοὶ] δὲ add RUY ‖ θέλ. μ. κ. om P ‖ μοι om RUY ‖ [14] ἐμ. ἐκδ.] συνεισέλθω P ‖ διέβην Π (cf 148, 5; 12; c 59 m; 64 m) ἀπ' αὐτοῦ add D ‖ [15] τῇ σ. ἐ. ο. (ſ)] μου D | [16] πῶς om RUY ‖ οὐκ V om P ‖ αἰδεσθῆναι RUY ἐδέσθη V om P ἀλλὰ add RUY αὐτὸν add UY ‖ μοι] περὶ κακοῦ πράγματος add P ‖ διηλέχθη D διαλεχθῆναι RUVY ‖ [17] ὁμιλοῦντα U ‖ [18] εἰς om RUVY seclusit Thilo retinuit Tischendorf: del? ‖ [19] καθυπέβαλέν μέ τινα P ‖ ὑπέβαλλέν Y ‖ με duce Thilone Tischendorf ‖ [20]–161,[1] ἐ. οὖν] καὶ ἐ. D

ουν ἐν τῇ νυκτὶ ἐκείνῃ ἐκοινώνησέν μοι τῇ ῥυπαρᾷ μείξει αὐτοῦ. ἔβλεπον δὲ αὐτὸν καὶ ἡμέρας οὔσης, καὶ ἔφευγον ἀπ' αὐτοῦ· ἐν δὲ τῇ συγγενίδι αὐτοῦ νυκτὶ ἐρχόμενος παρεχρᾶτό (184 W) μοι. καὶ νῦν ὡς ὁρᾷς με πέντε ἔτη ἔχω ὑπ' αὐτοῦ ἐνοχλουμένη, καὶ οὐκ ἀπέστη ἀπ' ἐμοῦ. ἀλλ' ἐγὼ οἶδα καὶ πέπεισμαι ὅτι καὶ δαίμονες καὶ πνεύματα καὶ ἀλάστορες ὑποτάσσονταί σοι καὶ σύντρομοι γίνονται ἀπὸ τῆς εὐχῆς σου· εὖξαι οὖν ὑπὲρ ἐμοῦ καὶ ἀπέλασον ἀπ' ἐμοῦ τὸν διενοχλοῦντά μοι δαίμονα, γένωμαι κἀγὼ ἐλευθέρα, καὶ συναθροισθῶ εἰς τὴν ἀρχαιόγονόν μου φύσιν, καὶ δέξωμαι τὸ χάρισμα τὸ τοῖς (62 Th) συγγενεῦσί μου δεδωρημένον.

44 (41) Εἶπεν δὲ ὁ ἀπόστολος· Ὦ πονηρία ἀκατάσχετος· ὢ ἀναίδεια τοῦ ἐχθροῦ· ὢ ὁ βάσκανος ὁ μηδέποτε ἠρεμῶν· ὢ ὁ δυσειδὴς | ὁ τοὺς εὐειδεῖς ὑποτάσσων· ὢ ὁ πολύμορφος· (33 B) ὡς ἂν βουληθῇ φαίνεται, ἡ δὲ τούτου οὐσία μεταβληθῆναι οὐ δύναται· ὢ ἀπὸ τοῦ δολίου καὶ ἀπίστου· ὢ τὸ δένδρον τὸ πικρόν, οὗ οἱ καρποὶ αὐτοῦ ἐοίκασιν· ὢ ἀπὸ τοῦ διαβόλου τοῦ ὑπερμαχοῦντος τῶν ἀλλοτρίων· ὢ ἀπὸ τῆς πλάνης τῆς χρωμένης τῇ ἀναιδείᾳ· ὢ ἀπὸ τῆς πονηρίας τῆς ἑρπούσης ὡς ὄφις καὶ τούτου συγγενοῦς αὐτοῦ ὑπάρχοντος.

---

1 μοι] ἐν *add D: cf 168, 3; 178, 9* ‖ τὴν ῥυπαρὰν μίξιν *Π* ‖ 2 *del* αὐτοῦ? ‖ ἔφυγον *PR* ‖ 3 συγγ. - ἐρχ.] τῆς νυκτὸς αὐτοῦ ἐπιμιξία *P* ‖ συγγ.] συνήθει *D om* ſ ‖ 4–5 κ. νῦν - ἐμοῦ] ἐν ἔτεσι ὑπ' αὐτοῦ παρενοχλούμενος πέντε μὴ δυναμένη ἐξ αὐτοῦ ἀποστῆναι *P* ‖ 4 καὶ] ἰδοὺ *add V* ſ ‖ ἔχω *om RUVY: del?? cf c 150m* ‖ 5 ἐνοχλοῦμαι *RUVY: recte??* ‖ ἀλλ' ἐ. ο.] καὶ ο. *P* sed quoniam noui ſ ‖ 5–6 κ. πέπ. *om P* ‖ 6 κ. ἀλ. *om U* ‖ 7 ἀπὸ τ. σῆς εὐχ. σύντ. γίν. *P* oro te domine ut *add* ſ ‖ 8 οὖν] δέομαί σου καὶ *add V: cf* ſ ‖ ἐμοῦ *prius*] et a deo petas *add* ſ ‖ τὸν] οὕτως *add P* ‖ παρενοχλοῦντα *PV: cf 5* ‖ 9 μοι] νῦν *add UV* ‖ δαίμ.] καὶ *add PV (cf 185, 12)* ἵνα *add Thilo: cf 139, 9; 12* ‖ γενήσομαι *suspic Thilo* ‖ 9–10 καὶ - μου] εἰς τ. ἀρχ. συναθροίζων *P* ‖ 10 ἀρχαίγονον *R (scr* ἀρχέγονον??) ἀρχαίαν *V* ‖ 10–11 δέξ. - δεδ.] καὶ ἐν τῷ τῶν συγγενῶν καταξίωσόν με χαρίσματι *P* ‖ 11 γονεῦσι *U: scr* συγγενέσι?? *(cf c 142 e)* paenitentibus ſ patribus ä ‖ μου *om* ſ ‖ 12 δὲ] πρὸς αὐτὴν *add P* ‖ 13 ἀν. τ. ἐ.] inimice qui numquam quiescis ſ ‖ ὁ *prius om RU* ‖ 14 ὁ *prim*] τοῦ *V om R* ‖ δυσειδούς *V(R)* ὅτι *add V* ‖ ὁ *alt om PRUY non nulla add V* ‖ ὁ πολ.] καὶ σκολιὸς *add V* qui habes multas formas turpes ſ ‖ ὁ *extr om P* ‖ 15 ὡς] ὢ *RUVY* ὅτι ὢ *P: scr* ὅς? *(cf 220, 20)* ⟨καὶ⟩ ὡς (ſ)? ⟨ὅς⟩ ὡς? ‖ 15–16 ἡ - δύν.] color tuus niger numquam mutatur quia est natura tua ſ ‖ 16 ἀπὸ *om P: cf 18; 19* ‖ ἀπλήστου *D al* ſ ‖ 17 οὗ] οἱ *Y* ὢ *D* ὁ *V* καὶ *add D: recte?* ‖ αὐτῷ *Y recte ut uid* (ſ) ‖ ἐ.] θάνατος *add (?) P* ‖ 17–18 ὢ - ἀλλ. *om PV* ‖ 18–19 ὢ - ἀναιδ. *om P* ‖ 20 καὶ - ὑπ. *corrupta? certe mutila: al et plura* ſ ‖ τούτου] τοῦ τοῦ *P* τοῦ *R*

185 W *Καὶ ταῦτα εἰπόντος τοῦ ἀποστόλου ἐλθὼν ὁ δυσμενὴς*
ἔστη ἔμπροσθεν αὐτοῦ, μηδενὸς ὁρῶντος αὐτὸν εἰ μὴ τῆς
γυναικὸς καὶ τοῦ ἀποστόλου, καὶ φωνῇ μεγίστῃ χρησάμενος
45 *εἶπεν πάντων ἀκουόντων·* 45 (42) *Τί ἡμῖν καὶ σοὶ ἀπόστολε*
τοῦ ὑψίστου; τί ἡμῖν καὶ σοὶ δοῦλε Ἰησοῦ Χριστοῦ; τί ἡμῖν
63 Th *καὶ σοὶ σύμβουλε τοῦ ἁγίου υἱοῦ τοῦ θεοῦ; διὰ τί βούλει*
ἡμᾶς ἀπολέσαι τοῦ καιροῦ ἡμῶν μηδέπω ἐνεστῶτος; τίνος ἕνεκα
βούλει λαβεῖν ἡμῶν τὴν ἐξουσίαν; ἕως γὰρ τῆς νῦν ὥρας
εἴχομεν ἐλπίδα καὶ καιρὸν περιλειπόμενον. τί ἡμῖν καὶ σοί;
σὺ ἔχεις ἐξουσίαν ἐν τοῖς σοῖς, καὶ ἡμεῖς ἐν τοῖς ἡμετέροις.
τίνος ἕνεκα βούλει τυραννίδι καθ' ἡμῶν χρήσασθαι, καὶ μά-
λιστα αὐτὸς ἄλλους διδάσκων μὴ χρήσασθαι τυραννίδι; τίνος
ἕνεκα σὺ τῶν ἀλλοτρίων δέει ὡς τοῖς ἰδίοις μὴ ἀρκούμενος;
τίνος ἕνεκα ἐξομοιοῦσαι τῷ υἱῷ τοῦ θεοῦ τῷ ἀδικήσαντι ἡμᾶς;
ἔοικας γὰρ αὐτῷ πάνυ ὡς ἐξ αὐτοῦ ἀποκυηθείς. ἐνομίσαμεν
225 T *γὰρ κἀκεῖνον ὑπὸ ζυγὸν ποιῆσαι ὡς καὶ τοὺς λοιπούς· ὁ δὲ*
στραφεὶς ἔσχεν ἡμᾶς ὑποχειρίους. οὐ γὰρ ᾔδειμεν αὐτόν·
ἠπάτησεν δὲ ἡμᾶς τῇ μορφῇ αὐτοῦ τῇ δυσειδεστάτῃ καὶ τῇ
πενίᾳ αὐτοῦ καὶ τῇ ἐνδείᾳ· θεασάμενοι γὰρ αὐτὸν τοιοῦτον
ἐνομίσαμεν αὐτὸν σαρκοφόρον ἄνδρα εἶναι, μὴ εἰδότες ὅτι
αὐτός ἐστιν ὁ ζωοποιῶν τοὺς ἀνθρώπους. ἔδωκεν δὲ ἡμῖν
ἐξουσίαν ἐν τοῖς ἡμετέροις, καὶ ἐν ᾧ ἐσμεν χρόνῳ τὰ ἡμέτερα
168 W *μὴ ἐᾶσαι ἀλλ' ἐν αὐτοῖς ἀναστρέφεσθαι· σὺ δὲ βούλει ὑπὲρ*
τὸ δέον καὶ τὸ δεδομένον σοι κτήσασθαι καὶ ἡμᾶς κατα-
πονῆσαι.

46 (43) *Καὶ ταῦτα εἰπὼν ὁ δαίμων ἔκλαιεν λέγων· Ἀφίημι*

[4] cf Matth 8, 29

---

[2] *εἰ μὴ*] *ἢ P: cf 103, 2* ‖ [6] *τ. ἀγ.*] sacrorum mysteriorum ſ ‖ *υἱ. τ. θ.*] *θ. V πνεύματος D* dei ſ: *cf 14* ‖ [6–7] *ἡμῖν β. P* ‖ [7] *οὔπω τ. κ. ἡμ. φθάσαντος P* ‖ [8] *τὴν ἐξ. ἡμ. βούλαι λαβεῖν P* ‖ [9] *κ. κ. π.*] in ea ſ: *cf 11* ‖ *παραλειπόμενον P(R?)* ‖ [11] *ἕνεκεν P: recte?? cf 7; 13; 14; 225, 4; 140, 16; 224, 4* ‖ [11–13] *βούλει - ἕνεκα om P* ‖ [11] *τυρανίδα V τυραννία RUY: recte?? cf 12; 200, 13; 211, 25* ‖ *χρ.*] ante tempus nostrum *add* ſ: *cf 9* ‖ [12] *τυραννία μὴ χρ. U* ‖ *τυραννία RY: cf 11* ‖ *τίνος*] *οὖν add D* ‖ [13] *σὺ om UY* ‖ *ἐπαρκούμενος D: cf 194, 18; 195, 1* ‖ [14] *τ. υἱ. τ. θ.*] deo domino tuo (*cf 6*) *et add non nulla* ſ ‖ [16] *γὰρ om PR* ‖ *ὑ. ζ. π.*] *εἶναι U* ‖ *ὑπόζυγον coni Thilo probabiliter: cf 133, 1* ‖ *ὡς κ. τ. λ. om* ſ: *del??* ‖ *ὁ*] *ὅς Y ὡς PRU* ‖ [17] *οἴδαμεν P* ‖ [18] *δὲ*] *γὰρ P om U* ‖ *τῇ δ.*] *ᾗ περιεβέβλητο D* ‖ [20] *ἐνομ.*] *γὰρ add U* ‖ [23] *ἀλλ' - ἀν.*] et in nostris uersamur ſ ‖ *ἀλλὰ PY* ‖ [24] *τὸ δέον κ. om* ſ ‖ *κτήσ. om P* ‖ *κατεξουσιάσαι P*

σε τὴν καλλίστην μου σύζυγον, ἣν πρώην πολλῷ χρόνῳ εὗρον
καὶ ἀνεπάην· καταλιμπάνω σε τὴν βεβαίαν μου ἀδελφὴν τὴν
ἀγαπητὴν ἐν ᾗ ηὐδόκησα. τί | ποιήσω οὐκ οἶδα, ἢ τίνα ἐπι- 34 B
καλέσομαι ἵνα μοι ἐπακούσας ἐπαμύνῃ. οἶδα τί ποιήσω· ἀπε- 64 Th
λεύσομαι εἴς τινας τόπους ἔνθα ἡ φήμη τοῦ ἀνδρὸς τούτου
οὐκ ἠκούσθη, καὶ τάχα σε τὴν ἐμὴν ἀγαπητὴν ἀντονομάσω.
Καὶ ἐπάρας αὐτοῦ τὴν φωνὴν εἶπεν· Μένε ἐν εἰρήνῃ, τὸ κατα-
φύγιον λαβοῦσα εἰς τὸν μείζονά μου· ἐγὼ δὲ ἀπελεύσομαι καὶ
ζητήσω σου ὁμοίαν, καὶ ἐὰν μὴ εὕρω, πάλιν ἐπὶ σὲ ἐπιστρέφω·
οἶδα γὰρ ὅτι τούτου τοῦ ἀνδρὸς ἔγγιστα ὑπάρχουσα εἰς αὐτὸν
τὸ καταφύγιον ἔχεις, αὐτοῦ δὲ ἀποστάντος ἔσῃ ὁποία καὶ
ἧς πρὸ τοῦ αὐτὸν ἐπιφανῆναι, καὶ αὐτὸν μὲν ἐπιλήσῃ, ἐμοὶ
δὲ καιρὸς καὶ παρρησία γενήσεται· νῦν δὲ τὸ ὄνομα τοῦ σὲ
ῥυσαμένου φοβοῦμαι. Καὶ ταῦτα εἰπὼν ὁ δαίμων ἀφανὴς 187 W
ἐγένετο, μόνον δὲ ἀποστάντος αὐτοῦ πῦρ καὶ καπνὸς ὤφθη
ἐκεῖ· καὶ πάντες οἱ ἐκεῖσε παρεστῶτες ἔκπληκτοι γεγόνασιν.

47 (44) Ἰδὼν δὲ ὁ ἀπόστολος εἶπεν αὐτοῖς· Οὐδὲν ξένον οὐδὲ ἀλλότριον ἔδειξεν ὁ δαίμων ἐκεῖνος ἀλλὰ τὴν φύσιν αὐτοῦ, ἐν ᾗ καὶ κατακαυθήσεται· καὶ γὰρ τὸ πῦρ αὐτὸν καταναλώσει, καὶ ὁ τούτου καπνὸς διασκεδασθήσεται. Καὶ ἤρξατο λέγειν· Ἰησοῦ τὸ μυστήριον τὸ ἀπόκρυφον ὃ ἡμῖν

[8] cf Matth 3, 17

[1–2] ἣν - ἀν.] εἰς ἣν τὸ πρότερον εἰς ἱκανοὺς χρόνους ἀνεπεώμην P ‖ πρ. - ἀν.] πρὸ πολλοῦ εὑρὼν ἀνεπαύθην D ‖ [1] scr πρὸ πολλοῦ χρόνου?? (ʃ) ‖ πολλῶν χρόνων R ‖ [2] σοι R ‖ [2–3] τ. β. - ηὐδ.] sororem et dilectam in qua sperabam me mansurum ʃ ‖ τ. ἀγ. καὶ βεβ. μ. ἀδ. (om alt τὴν) D ‖ [3] ἐπικ.] ἀπορῶ add P ‖ [4] ἐπακ. μοι P ‖ μου U ‖ ὑπακούσας RUY ‖ οἶδα] δὲ add Π ‖ [5] ὅπου] Π: cf 220, 13; c 139i; 170m ‖ [6] σε - ἀντ.] tui dilecta mea uicariam reperiam ʃ: cf 9 ‖ [8] δὲ] καθὼς εἶπον add D: cf 169, 5; 119, 12 ‖ [9] ὁμ. σου ζητ. P ‖ ὁμ. σου V ‖ σοι Y om R ‖ πάλιν (ʃ) om PRUY: del?? cf 13 ‖ ἐπιστρέψω PR ‖ [11] α. δὲ ἀπ.] ego igitur hinc proficiscor ʃ ‖ ὁμοῖα et add καθὰ U ‖ καὶ om P: cf 227, 22 ‖ [12] πρὸ - ἐπ.] sed cum nox uenerit ʃ ‖ [13] δὲ] πάλιν add D ‖ κ. παρρ. om ʃ: cf 149, 18 ‖ γεν.] πάλιν add V: cf 9; 165, 14; 181, 7; (188, 11;) 190, 12; 18; 214, 16 et 170, 13; 173, 18; 190, 18; 193, 1; 211, 10 ‖ νῦν δὲ] εἰ καὶ κατὰ τὸ παρὸν P ‖ [13–14] τ. ῥυσ. σε U eius quem hic praedicat ʃ ‖ [13] σὲ] ἐξ ἐμοῦ add P ‖ [14–21] passim non nullae litterae abscisae P ‖ [14–15] καὶ - αὐτοῦ] et ubi daemon haec dixit tum quaesitus nec repertus est sed ʃ ‖ [15] μόν. - αὐτ.] ὡς δὲ μόν. ἀφανισθεὶς ἀπέστη D ‖ δὲ om R: del?? ‖ [16] οἱ om D ‖ ἐκεῖσε] ἐκεῖ P(??)RUY om V ‖ παρ. (ʃ)] παρόντες D. P (cf 145, 17; 170, 10; al) om RUY ‖ ἐγένοντο P ‖ [18] ο. ἀ. om ʃ: cf 149, 18 ‖ ἐκ. om VY ʃ ‖ [19] κατακαήσεται R καυθήσεται V: cf 147, 13 ‖ [21] ἤρξ.] εὔχεσθαι καὶ add V (cf 114, 4; 147, 7; 166, 7; 169, 15; 187, 21; c 156i) ὁ ἀπόστ.λος add P (ʃ) ‖ Ἰ.] χριστὲ add D. V ‖ ἡμῖν] mihi ʃ

ἀπεκαλύφθη, σὺ εἶ ὁ ἐκφάνας ἡμῖν μυστήρια πάμπολλα, ὁ
ἀφορίσας με κατ' ἰδίαν ἐκ τῶν ἑταίρων μου πάντων, καὶ
εἰπών μοι τρεῖς λόγους ἐν οἷς ἐγὼ ἐκπυροῦμαι, καὶ ἄλλοις
εἰπεῖν αὐτὰ οὐ δύναμαι· Ἰησοῦ ἄνθρωπε πεφονευμένε νεκρὲ
226 T 65 Th τεθαμμένε· Ἰησοῦ θεὲ ἐκ θεοῦ, σωτὴρ ὁ τοὺς νεκροὺς ζωο-
ποιῶν καὶ τοὺς νοσοῦντας ἰώμενος· Ἰησοῦ ὁ ἐπιδεόμενος
ὥσπερ καὶ σῴζων ὡς ἀνενδεής, ὁ τοὺς ἰχθύας θηρεύων εἰς
τὸ ἄριστον καὶ εἰς τὸ δεῖπνον, ὁ πάντας ἐν πλησμονῇ καθι-
στῶν ἐν μικρῷ ἄρτῳ· Ἰησοῦ ὁ ἐπαναπαυόμενος ἀπὸ τῆς ὁδοι-
πορίας τοῦ καμάτου ὡς ἄνθρωπος καὶ ἐπὶ τοῖς κύμασι περι-
48 πατῶν ὡς θεός· 48 (45) Ἰησοῦ ὕψιστε, φωνὴ ἀνατείλασα
ἀπὸ τῶν σπλάγχνων τῶν τελείων, πάντων σωτήρ, ἡ δεξιὰ τοῦ
φωτὸς ἡ καταστρέφουσα τὸν πονηρὸν ἐν τῇ ἰδίᾳ φύσει, καὶ
35 B πᾶσαν αὐτοῦ τὴν | φύσιν συναθροίζων εἰς ἕνα τόπον, ὁ
188 W πολύμορφος, ὁ μονογενὴς ὑπάρχων, ὁ πρωτότοκος πολλῶν
ἀδελφῶν, θεὲ ἐκ θεοῦ ὑψίστου, ὁ ἄνθρωπος ὁ καταφρονού-
μενος ἕως ἄρτι· Ἰησοῦ Χριστέ, ὁ μὴ παραβλέπων ἡμᾶς ἐν οἷς
σε ἐπικαλούμεθα, ὁ γενόμενος πρόφασις πάσῃ ζωῇ τῇ ἀνθρω-
πίνῃ, ὁ δι' ἡμᾶς κρινόμενος καὶ φυλακιζόμενος ἐν δεσμωτηρίῳ
καὶ λύων πάντας τοὺς ἐν δεσμῷ ὄντας, ὁ καλούμενος πλάνος
καὶ τοὺς ἰδίους λυτρούμενος ἀπὸ τῆς πλάνης· δέομαί σου ὑπὲρ

[5] cf Rom 4, 17 ‖ [7] cf Io 21. 6; 11; 12 ‖ [8] cf Matth 14, 15 ss Io 6, 5 ss ‖ [9] cf Io 4, 6 ‖ [10] cf Matth 14, 25 Io 6, 19 ‖ [15] cf Rom 8, 29 ‖ [20] cf Matth 27, 63

---

[1] ἡμῖν] mihi ſ ‖ [1–2] πάμπ. - πάντ.] plura quam omnibus sociis meis ſ ‖ [2] καθ' Π ‖ ἐκ *om* Π ‖ μου *om* U ‖ [3] τρ. *om* ſ: *cf Lipsius I p 327* ‖ [4] ταῦτα U ‖ [4–5] Ἰ. - τεθ. *om* V ‖ [5] τεθ. (ä) *om* ſ ‖ θεοῦ] καὶ *add* D ‖ [6] κ. τ. ν. ἰ. *om* ſ ‖ [6–9] Ἰ. - ἄρτῳ *om* P ‖ [6–8] Ἰ. - δεῖπνον *om* V ‖ [6–7] ὁ - ἀν.] pauper ſ ‖ [7] ὥσπερ] *scr* ὡς πένης? ‖ [8] ⟨Ἰησοῦ⟩ ὁ π.? (ſ) ‖ [11–15] Ἰ. - πολύμ. *om* V ‖ [11–12] φωνὴ - σωτ. *om* P ‖ [11] φ.] ἡ φ. ἡ R ‖ [12] δεξιὰ (ſ ä)] δόξα P ‖ [13] φωτ. (ä)] patris ſ: *cf Lipsius I p 327* ‖ ἐν - φ.] ad infimum finem ſ ‖ [14] φ.] possessiones ſ: *scr* κτῆσιν?? ‖ συναθροίζουσα D ‖ εἰς] τὸν *add* RUY ‖ τόπ. beatum locum coetus ſ ‖ [14–16] ὁ πολ. - ἀδ.] *al* ſ ‖ [14–15] ὁ πολύμ. *om* D ä: *cf Lipsius I p 325* ‖ [15] ὁ μ.] καὶ μ. P ‖ ὁ πρ.] ὁ καὶ πρ. V καὶ πρ. P πρ. RUY ‖ [16–17] θεὲ - ἄρτι *om* P ‖ [16] θεὲ - ἄνθρ. *om* V ‖ θ. ἐκ] fili ſ ‖ ὕψιστε R ‖ [17] ἕ. ἄ.] et humilis ſ: *cf Burkitt J of theol studies I (1900) p 285* ‖ Ἰ. *om* PV ‖ Χρ. *om* PV ſ: *del?* ‖ ὁ] καὶ PV ‖ ἡμ. *om* D ‖ [18] γινόμενος RV ‖ π. πρ. ζ. τ. ἀ. R ‖ πάσῃ UVY (ſ? *idem suspic Thilo*) πάσης P (*cf c 136 i*) τῇ *add* Y ‖ τῇ ἀ. ζ. D *idem defendit Thilo* ‖ ζωῆς ἀνθρωπίνης P ‖ *scr* ζωῆς (ſ ä)?? *cf 159, 19* ‖ τ. ἀ.] generi humano ſ ‖ [19–20] ὁ - ὄντας *om* ſ ‖ [20] τ. ἐν δ. ὄ. π. PRUY ‖ δεσμοῖς D: *cf 133, 1; c 130 e* ‖ [21] ἰδ.] αὐτοῦ δούλους P ‖ ἀ. τ. πλ. λυτρ. P

τῶν ἑστώτων καὶ πιστευόντων σοι τούτων· δέονται γαρ τῶν σῶν δωρημάτων τυχεῖν, εὐέλπιδες ὄντες εἰς τὴν σὴν βοήθειαν, τὸ καταφύγιόν σου κατέχοντες ἐν τῇ σῇ μεγαλωσύνῃ· τὰς ἀκροάσεις αὐτῶν ὑπέχουσιν ἀκοῦσαι παρ' ἡμῶν τοὺς λόγους τοὺς λαλουμένους αὐτοῖς. ἐλθέτω ἡ εἰρήνη σου καὶ σκηνωσάτω ἐν αὐτοῖς, καὶ ἀνακαινισάτω αὐτοὺς ἀπὸ τῶν προτέρων αὐτῶν πράξεων, καὶ ἀποδύσωνται τὸν παλαιὸν ἄνθρωπον σὺν ταῖς πράξεσιν αὐτοῦ, καὶ ἐνδύσωνται τὸν νέον τὸν νῦν ἐξ ἐμοῦ καταγγελλόμενον αὐτοῖς.

49 (46) *Καὶ ἐπιθεὶς αὐτοῖς τὰς χεῖρας εὐλόγησεν αὐτοὺς* 66 Th
εἰπών· Ἔσται ἐφ' ὑμᾶς ἡ χάρις τοῦ κυρίου ἡμῶν Ἰησοῦ εἰς τοὺς αἰῶνας. *Καὶ αὐτοὶ εἶπον·* Ἀμήν. Ἐδεήθη δὲ αὐτοῦ ἡ γυνὴ λέγουσα· Ἀπόστολε τοῦ ὑψίστου δός μοι τὴν σφραγῖδα, ἵνα μὴ ὑποστρέψῃ εἰς ἐμὲ πάλιν ὁ ἐχθρὸς ἐκεῖνος. Τότε ἐποίησεν αὐτὴν ἐγγὺς αὐτοῦ γενέσθαι, καὶ ἐπιθεὶς ἐπ' αὐτῇ τὰς χεῖρας αὐτοῦ ἐσφράγισεν αὐτὴν εἰς ὄνομα πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος. πολλοὶ δὲ καὶ ἄλλοι ἐσφραγίσθησαν μετ' αὐτῆς. ἐκέλευσεν δὲ ὁ ἀπόστολος τῷ διακόνῳ αὐτοῦ
παραθεῖναι τράπεζαν· παρέθηκαν δὲ συμψέλλιον ὃ εὗρον ἐκεῖ, 227 T 189 W

[7] cf Eph 4, 22 Col 3, 9; 10 ‖ [11] cf Rom 16, 20

---

[1] *παρεστώτων P: scr περιεστώτων??* (ἄ) qui stant ſ *καὶ δεομένων σου add D* ‖ *τούτ. κ. π. σοι D* ‖ [1–2] *καὶ γὰρ τ. σ. δέ. P: cf 215, 10* ‖ [2] *δωρ. et βοήθ. permutat* ſ ‖ *εὐ. ὄ. εἰς*] *καὶ P* ‖ [2–3] *εἰς - κατέχ. om R* ‖ [3] *τὸ - μεγ. om PV* ‖ *σου del?* (ſ) *cf 163, 7; 11; et 143, 13; 177, 8; 184, 17* ‖ [3–4] *τὰς - αὐτ.*] *καὶ δι' ἡμῶν τοὺς σοὺς* (*recte?* tuos ſ) *λόγους ἀκοῦσαι P* ‖ [4] *ἀκροασίας U* ‖ *π. ἡμ. post αὐτ.* (5) *ponend?* (ſ) ‖ *παρ'*] *δι' Π* ‖ [5] *σου ἡ εἰρ. D* ‖ *σου*] *αὐτοῖς add RUY* ‖ [5–6] *ἐν α. κ. σκ. P* fides tua *add* ſ ‖ [6] *κ. ἀν.* (ſ ἄ)] *ὅπως καθαρισθῶσιν D* ‖ *αὐτοὺς om D. P* ‖ [6–9] *ἀπὸ - αὐτοῖς om U* ‖ [6] *πρώτων RVY: cf 156, 3; 175, 5* ‖ [7] *καὶ* (ſ)] *ὅπως PVY om R* ‖ *τ. παλ. ἀπ. ἄ. P* ‖ *ἀπ.*] *αὐτῶν add V αὐτὸν add RY* ‖ [8] *πρ.*] *καὶ ταῖς ἐπιθυμίαις add P* ‖ [8–9] *νῦν - αὐτ.*] *καὶ δι' ἐμοῦ* (*cf 182, 16*) *αὐτ. κηρυττόμενον P* ‖ [10] *ηὐλόγησεν RUY* ‖ *αὐτοὺς om P* ‖ [11] *scr ἔστω* (ſ?)??? *cf 146, 18* ‖ *ἡ χ. ἐφ' ὑ. U* ‖ *ἡμ.* (ſ) *om PUVY: del??* ‖ *Ἰ. om* ſ *χριστοῦ add D. PR* ‖ [12] *κ. α. ε. om R* ſ: *del?? cf 146, 19* ‖ *εἶπαν U τὸ add P: cf 146, 20* ‖ [13] *τὴν*] *ἐν χριστῷ add RV: cf 229, 23; 231, 16* ‖ *σφ.*] domini mei *add* ſ ‖ [14] *πάλ. ε. ἐ. VY* ‖ *πάλιν* (ſ) *om R* ‖ [14–15] *τότε - γεν.*] abiit ad fontem qui erat proximus m ſ et sanctificauit illum *add* m: *cf Lipsius I p 333. 2; 334* ‖ [15–16] *ἐπιθ. - χ. α. om* ſ ‖ [15] *ἐπ. ἐπ'*] *ἐπέθηκεν Π: cf 10; 15* ‖ [16] *τὴν χεῖρα D: cf 10; 115, 11; 146, 16; et 185, 2; aliter 169, 14; 170, 18; c 154 e* ‖ *σφραγισάμενος RUV* (*cf 142, 7; 170, 11*) *καὶ εὐλόγησεν P* ‖ [19] *παρέθ. - ἐκεῖ*] *καὶ κυμψέλιον θέντες P* ‖ *scr παρέθηκεν?* (ſ) *cf 166, 1*

καὶ ἁπλώσας σινδόνα ἐπ' αὐτὸ ἐπέθηκεν ἄρτον τῆς εὐλογίας. καὶ παραστὰς ὁ ἀπόστολος εἶπεν· Ἰησοῦ ὁ καταξιώσας ἡμᾶς 36 B τῆς εὐχαριστίας τοῦ σώματός σου τοῦ ἁγίου καὶ | τοῦ αἵματος κοινωνῆσαι, ἰδοὺ τολμῶμεν προσέρχεσθαι τῇ σῇ εὐχαριστίᾳ καὶ ἐπικαλεῖσθαί σου τὸ ἅγιον ὄνομα· ἐλθὲ καὶ κοινώνησον ἡμῖν.

50 (47) *Καὶ ἤρξατο λέγειν· Ἐλθὲ τὰ σπλάγχνα τὰ τέλεια,* ἐλθὲ ἡ κοινωνία τοῦ ἄρρενος, ἐλθὲ ἡ ἐπισταμένη τὰ μυστήρια τοῦ ἐπιλέκτου, ἐλθὲ ἡ κοινωνοῦσα ἐν πᾶσι τοῖς ἄθλοις τοῦ γενναίου ἀθλητοῦ, ἐλθὲ ἡ ἡσυχία ἡ ἀποκαλύπτουσα τὰ μεγαλεῖα τοῦ παντὸς μεγέθους, ἐλθὲ ἡ τὰ ἀπόκρυφα ἐκφαίνουσα καὶ τὰ ἀπόρρητα φανερὰ καθιστῶσα, ἡ ἱερὰ περιστερὰ ἡ τοὺς διδύμους νεοσσοὺς γεννῶσα, ἐλθὲ ἡ ἀπόκρυφος μήτηρ, 67 Th 190 W ἐλθὲ ἡ φανερὰ ἐν ταῖς πράξεσιν αὐτῆς καὶ παρέχουσα χαρὰν καὶ ἀνάπαυσιν τοῖς συνημμένοις αὐτῇ· ἐλθὲ καὶ κοινώνησον ἡμῖν ἐν ταύτῃ τῇ εὐχαριστίᾳ ἣν ποιοῦμεν ἐπὶ τῷ ὀνόματί σου, καὶ τῇ ἀγάπῃ ᾗ συνήγμεθα ἐπὶ τῇ κλήσει σου. Καὶ εἰπὼν ταῦτα διεχάραξεν τῷ ἄρτῳ τὸν σταυρόν, καὶ κλάσας ἤρξατο διαδιδόναι. καὶ πρῶτον τῇ γυναικὶ ἔδωκεν εἰπών· Ἔσται σοι τοῦτο εἰς ἄφεσιν ἁμαρτιῶν καὶ αἰωνίων παραπτωμάτων· Καὶ

---

[1] *καὶ om P* ‖ *ἥπλωσαν P: cf 165, 19* ‖ *σινδόνην U σινδόνιον R(V)Y: cf 231, 6; c 158m* ‖ *ἐν U* ‖ *αὐτῷ RUVY καὶ add P* ‖ *ἐπέθηκαν P: cf 165, 19* ‖ [2] *εἶ.] κύριε add D* ‖ *Ἰ.] χριστὲ add D. V υἱὲ τοῦ θεοῦ add D* ‖ [3] *σου] μεταλαβεῖν add P* ‖ [3–4] *κοιν. τῷ (τιμίῳ add V) αἵματί σου RU(V)Y* ‖ [3] *τοῦ] τιμίου add D ἁγίου αὐτοῦ add P* ‖ [4–5] *ἰδοὺ - ὄν. om P* ‖ [4] *ἰδ.]* tibi confisi ʃ ‖ *κατατολμῶμεν D. P: recte? cf 148, 13; 150, 2; 155, 22; 217, 24; 147, 13* ‖ *προσεύχεσθαι RUY om D* accedere ʃ: *cf 167, 5; 217, 16* ‖ *τῆς εὐχαριστίας (om σῇ) D* ‖ [5] *ἐπικλήσεως D* ‖ *σου τὸ ὄν. τὸ ἅγ. RUY τοῦ ἁγίου σου ὀνόματος D* ‖ [5–6] *ἐλθὲ - ἡμ.] aliquanto plura* ʃ ‖ [5] *ἐλθὲ] νῦν add D οὖν add RUY καὶ εὐλόγησον add P* ‖ [7] *κ. ἤ. λ. om PV* ueni donum elati *add* ʃ ‖ [8] *ἡ κ. τ. ἄ.]* spiritus sancte ʃ: *cf 142, 16 et Lipsius I p 339; Burkitt J of theol studies I (1900) p 289* ‖ *ἐλθὲ alt et q s] non nulla al* ʃ: *cf Lipsius I p 312; 339* ‖ [9] *ἐπιλ.]* inter prophetas *add* ʃ ‖ [9–10] *ἐλθὲ - ἀθλ. om RV* ‖ [9] *ἡ κ. - τ. ἄ.]* pronuntiator per apostolos suos pugnarum ʃ. ‖ [10] *μυστήρια U* ʃ ‖ [12] *ἀπόρρ.]* dei *add* ʃ ‖ *καθ.] ποιοῦσα P* ‖ [12–15] *ἡ ἱ. - αὐτῇ] om V* ‖ [12–13] *ἡ ἱ. - γενν. om* ʃ ‖ [13] *μήτηρ]* uitae datrix ʃ: *cf Burkitt l s (8) p 286* ‖ [15] *αὐτῇ] non nulla add* ʃ ‖ [16] *ἐν - εὐχ.] ἐνταῦθα κατὰ τὴν εὐχαριστίαν P* ‖ *ἣν] ἣ Y: scr ᾗ?* ‖ *ἐπ' ὄν. (om τῷ) RUVY* ‖ *ὄν. σου] σῷ ὄν. P* ‖ [17] *καὶ - σου] al* ʃ ‖ *κλ. σου] σῇ κλ. P* ‖ [18] *τὸν ἄρτον σταυρῷ P* ‖ *τῷ] ἐν τῷ Usener recte ut uid: cf 127, 5; 7* ‖ *κλ. om* ʃ ‖ [19] *διδόναι RUVY (fort recte:* dare ʃ) *διδεῖν P* ‖ *ἔστω P: cf 146, 18* ‖ [20] *καὶ - παρ. om U* ‖ *καὶ prius] λύτρον add D* ‖ *ἁμ. - π.]* delictorum et peccatorum et aeternam resurrectionem ʃ *(unde emendandnm uid) ἐκλύτρωσιν add V* ‖ [20–167, 1] *καὶ - ἔδ.] ἔδ. δὲ P*

μετ᾽ αὐτὴν ἔδωκεν καὶ τοῖς ἄλλοις πᾶσιν τοῖς τὴν σφραγῖδα δεξαμένοις.

Πρᾶξις ς′ περὶ τοῦ νεανίσκου τοῦ φονεύσαντος τὴν κόρην.

51 (48) *Ἦν δέ τις νεανίσκος διαπραξάμενος πρᾶγμα ἀθέμιτον, προσελθὼν δὲ ἔλαβεν τῆς εὐχαριστίας τῷ ἰδίῳ στόματι, αἱ δὲ δύο χεῖρες αὐτοῦ ἐξηράνθησαν, ὡς μὴ δύνασθαι μηκέτι προσαγαγεῖν τῷ ἰδίῳ στόματι. οἱ δὲ παρόντες ἰδόντες αὐτὸν ἀνήγγειλαν τῷ ἀποστόλῳ τὸ συμβάν· καλέσας δὲ ὁ ἀπόστολος εἶπεν αὐτῷ· Λέξον μοι τέκνον καὶ μὴ αἰδεσθῇς, τί ὃ διεπράξω καὶ ὧδε ἦλθες· ἡ γὰρ εὐχαριστία τοῦ κυρίου*
ἤλεγξέν σε. τοῦτο γὰρ τὸ χάρισμα εἰς πολλοὺς διερχόμενον 191 W 228 T
μάλιστα μὲν τοὺς διὰ πίστεως καὶ ἀγάπης προσιόντας ἰᾶται, σὲ δὲ ἀπεξήρανεν, καὶ τὸ γενόμενον οὐ χωρὶς ἐνεργείας τινὸς
γέγονεν. Ὁ δὲ νέος ἐλεγχθεὶς ὑπὸ τῆς εὐχαρι|στίας τοῦ κυρίου 37 B
προσελθὼν προσέπεσεν τοῖς ποσὶν τοῦ ἀποστόλου καὶ ἐδέετο λέγων· Κακὸν πρᾶγμα πέπρακταί μοι· ἐνόμιζον γάρ τι καλὸν διαπράττεσθαι. γυναικός τινος ἤρων οἰκούσης ἔξω τῆς πόλεως
ἐν πανδοχείῳ, καὶ αὐτὴ δ᾽ ἐμὲ ἐφίλει. ἀκούσας δὲ ἐγὼ παρὰ 68 Th

---

[1] *μετὰ RU(V)Y* ‖ *ταύτην VY ταῦτα RU* ‖ *ἄλλ. om P* ‖ [2] *δεξ.*] cum ea *et eadem fere ac 146, 18 - 19 add* ſ ‖ [3]–178,[12] *om R*

D. Π (Π = PUVY) [3] *πρ. - κόρ. om V* ‖ *πρ. ς′ post κόρην P om D* ‖ *ἕκτη U* ‖ *τ. νε.* (ſ) *om PUY* ‖ *γυναῖκα PY* ‖ [4] *δέ*] *ἐκεῖ add V* (ſ?) ‖ *νε. τις Π* ‖ [5] *πρ. δὲ*] *καὶ προελθὼν V* uenit ſ *τῷ ἀποστόλῳ add D: cf 166, 4; 168, 1* ‖ *scr μετέλαβεν? καὶ αὐτὸς add V* et ipse *add* m *τὸν add P* ‖ *τ. εὐχ.*] eucharistiam ſ *ἄρτον add P τὸν ἄρτον add D τὸ δῶρον add V* et inlaturus erat *add* ſ ‖ [6] *αἱ - α.*] dextera eius m ‖ *αὐτοῦ*] *παραυτὰ add D* ‖ [6–7] *ὡς - πρ.*] nec uenerunt ſ ‖ [7] *μηκ.*] *ἔτι D om V τὶ add P* ‖ *scr προσάγειν? αὐτὰς add D. V* eam *add* m ‖ *παρ.*] *καὶ add UVY οὕτως add P* ‖ [8] *εἰδότες P* ‖ *ἀπήγγειλαν PUY* ‖ [8–9] *καλ. - ε. α.* (ſ)] *ὁ δὲ προσκαλεσάμενος αὐτὸν ε. D* ‖ [10] *τί ὃ*] *τινὶ ὃ D τί ὤν (l τι ὤν?) U ὅτι καὶ P τί ἐστιν ὃ V (recte??)* quid ſ quid sceleris m *τινα ὃ Thilo: scr τί ἄρα?? cf 206, 3* ‖ *καὶ om P* ‖ *ὧδε*] *πόθεν Thilo perperam* ‖ *ἐλθὼν P* ‖ [11] *χάρ.*] *τὸ add PUY* ‖ [12] *μάλ. om V* (ſ?) ‖ *τοὺς μὲν V* ‖ [13] *σὲ δὲ ἀπ. om P* ‖ [13–14] *καὶ - γέγ. om U* ‖ [13] *καὶ*] *ὥστε V om* ſ ‖ *γινόμενον P* ‖ *τιν. ἐν. P* ‖ *ἐν.*] causa ſ ‖ [14] *νεανίσκος V: cf 4; 168, 21; 169, 9; 170, 14* ‖ [15] *προσελθ. om U* ‖ *κ. ἐδ. om P* ‖ [16] *πρ. π. μ.*] *πέπρακα πρ. P πέπραχα (V)* ‖ [16–17] *ἐν. - διαπ. om* ſ: *del?? cf 169, 4* ‖ [16] *ἐνόμισα V νομίσας P* ‖ *γάρ om P* ‖ [17] *διαπραξάμενος P* ‖ *ἠρόμην V ἠράσθην D: cf 18* ‖ *ἔ. τ. π. om U* ‖ [18] *δέ με D ἐμὲ V με PUY* ‖ *ἐγὼ om Π: del?*

σοῦ καὶ πιστεύσας ὅτι θεὸν ζῶντα καταγγέλλεις προσῆλθον καὶ τὴν σφραγῖδα ἐδεξάμην παρὰ σοῦ σὺν τοῖς ἄλλοις· ἔλεγες δέ· Ὃς ἐὰν κοινωνήσῃ τῇ μιαρᾷ μείξει, μάλιστα καὶ ἐν μοιχείᾳ, οὗτος οὐχ ἕξει ζωὴν παρὰ τῷ θεῷ ᾧ κηρύσσω. Ἐπεὶ οὖν πάνυ αὐτὴν ἠγάπουν, ἐδεόμην αὐτῆς καὶ ἔπειθον ἵνα σύνοικός μοι γένηται ἐν ἁγνείᾳ καὶ πολιτείᾳ καθαρᾷ, ἣν σὺ αὐτὸς διδάσκεις· ἡ δὲ οὐκ ἐβούλετο. μὴ βουλομένης οὖν αὐτῆς λαβὼν ξίφος ἐθανάτωσα αὐτήν· οὐ γὰρ ἠδυνάμην αὐτὴν ὁρᾶν μετ᾽ ἄλλου μοιχευομένην.

52 (49) Ταῦτα ὁ ἀπόστολος ἀκούσας εἶπεν· Ὦ μανιώδης μεῖξις, πῶς εἰς ἀναισχυντίας χωρεῖς; ὦ ἐπιθυμία ἀκατάσχετε, πῶς τοῦτον ἐκίνησας ταῦτα ποιῆσαι; ὦ ἔργον ὄφεως, πῶς ἐν
192 W τοῖς σοῖς ὀργίζῃ; Ἐκέλευσεν δὲ ὁ ἀπόστολος ὕδωρ αὐτῷ προσενεχθῆναι ἐν λεκάνῃ. τοῦ δὲ ὕδατος προσενεχθέντος εἶπεν· Ἔλθετε τὰ ὕδατα ἀπὸ τῶν ὑδάτων τῶν ζώντων, τὰ ὄντα ἀπὸ τῶν ὄντων καὶ ἀποσταλέντα ἡμῖν· ἡ ἀνάπαυσις ἡ ἀπὸ τῆς ἀναπαύσεως ἀποσταλεῖσα ἡμῖν, ἡ δύναμις τῆς σωτηρίας ἡ ἀπὸ τῆς δυνάμεως ἐκείνης ἐρχομένη τῆς τὰ πάντα νικώσης καὶ ὑποτασσούσης τῷ ἰδίῳ θελήματι, ἐλθὲ καὶ σκήνωσον ἐν τοῖς ὕδασι τούτοις, ἵνα τὸ χάρισμα τοῦ ἁγίου πνεύματος τελείως ἐν αὐτοῖς τελειωθῇ. Καὶ εἶπεν τῷ νεωτέρῳ· Ἄπελθε, νίψαι σου τὰς χεῖρας ἐν τοῖς ὕδασι τούτοις. Καὶ νιψαμένου

---

[1] *κ. π. - ζ. κ.*] ueritatem quam loqueris et fidem dei quem nuntias et noram in ueritate te esse apostolum dei ſ ‖ [1–2] *πρ. κ.*] ego quoque ſ ‖ [3] *ὃς ἐ.* (ſ)] *ὅτι ἐ. τις P* ‖ *τῇ om D* (ſ?): *del?? cf 161, 1* ‖ *μάλ.*] *δὲ add V: cf 190, 5; c 154e* ‖ [4] *ἔχει V* ſ ‖ *ὃν Π* ‖ *κηρύσσεις* (*PU*)*V: cf 1* ‖ [5] *πάνυ om* ſ ‖ *ἠγάπων UV*(*Y*) ‖ *ἔπ.*] *παρεκάλουν P* ‖ *ἵνα om P* ‖ *σύνοικόν P* ‖ [6] *μου Π: cf 140, 15* ‖ *γενήσεται D* (*cf 114, 3*) *γενέσθαι P* ‖ *καθ.*] *non nulla add* ſ ‖ *ἣν σὺ α.*] *καθὰ καὶ σὺ P: cf c 154m* ‖ [7] *διδ.*] *ἡμᾶς add P* ‖ [8] *λ. ξ.*] cubui cum ea et ſ ‖ *α. ὁρ.*] *βλέπειν α. D* ‖ [9] *μετα U* ‖ aliis misceri ſ ‖ [10] *ὁ δὲ ἀπ. ἀκ. τ. V* ‖ *ἀκ. ὁ ἀπ. D* ‖ [10–13] *ὦ - ὀργ.*] *partim al et paulo plura* ſ ‖ [11] *ἀκατάσχετος P Thilo: recte??* ‖ [12] *ὦ ἔ. ὄ. πῶς τ. ἐ. τ. π. U* ‖ [12] *πῶς prius*] *ἡ P* ‖ *κινήσασα P ἐνίκησας D* ‖ *ὄφ.*] fraudis ſ ‖ [13] *ὕδατα V: cf 15* ‖ [14] *τ. δὲ - πρ.*] et attulerunt aquam ut super eam precaretur et laudauit et benedixit et ſ ‖ [15] *ἐλθέτω D om* ſ: *del??* ‖ *ὕδ.*] aqua quae data es ſ ‖ [15–16] *τὰ ὄ. - ἡμ.*] *al* ſ: *cf Lipsius I p 333* ‖ [16] *scr καὶ ἀπὸ τ. ὄ.?* ‖ *ἡ ἀν. om D:* gratia ſ ‖ [17] *τῆς om D* ‖ *ἡμ.*] *πηγὴ add D* ‖ [17–19] *ἡ δ. - θελ.*] *al* ſ ‖ [19] *σκ.*] *ἐνσκήνωσον P οἴκησον U: cf 165, 5; 203, 7* ‖ [20] *τούτ.*] *τοῖς σοῖς P* ‖ [20–21] *ἵνα - α. τελ.*] *al* ſ ‖ [20] *τὰ χαρίσματα U* ‖ [21] *αὐτῷ V* uobis ſ ‖ *εἰσειχισθῇ* (*l εἰσοικισθῇ*) *V τελειωθῷ Thilo* ‖ [22]–169,[1] *νιψ. α.*] *ἅμα τῷ νίψασθαι αὐτὸν P*

αὐτοῦ κατεστάθησαν, καὶ εἶπεν αὐτῷ ὁ ἀπόστολος· Πιστεύεις εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ὅτι πάντα δύναται ποῆσαι; Ὁ δὲ εἶπεν· Εἰ καὶ ἐλάχιστος τυγχάνω, πιστεύω. ἀλλὰ τοῦτο διεπραξάμην οἰόμενός τι καλὸν ποιεῖν· ἐδεόμην γὰρ αὐτῆς, ὥσπερ καὶ εἶπόν σοι, ἡ δὲ οὐκ ἠβουλήθη πεισθῆναί 229 T μοι ἵνα ἑαυτὴν φυλάξῃ ἁγνήν. | 69 Th

53 (50) Εἶπεν δὲ αὐτῷ ὁ ἀπόστολος· Δεῦρο ἀπέλθωμεν 38 B εἰς τὸ πανδοχεῖον ὅπου τοῦτο τὸ ἔργον διεπράξω, καὶ ἴδωμεν τὸ γεγονός. Προηγεῖτο δὲ ὁ νεώτερος τοῦ ἀποστόλου εἰς τὴν ὁδόν· γενόμενοι δὲ ἐν τῷ πανδοχείῳ εὗρον αὐτὴν κειμένην. ἰδὼν δὲ αὐτὴν ὁ ἀπόστολος ἠθύμησεν· κόρη γὰρ ἦν εὔμορφος. καὶ ἐκέλευσεν αὐτὴν ἐνεχθῆναι ἐν τῷ μέσῳ τοῦ ξενοδοχείου. ἐπιθέντες δὲ αὐτὴν εἰς κράββατον ἐξήνεγκαν καὶ ἔθηκαν εἰς 193 W τὸ μέσον τῆς αὐλῆς τοῦ πανδοχείου. ἐπέθηκεν δὲ αὐτῇ τὴν χεῖρα αὐτοῦ ὁ ἀπόστολος καὶ ἤρξατο λέγειν· Ἰησοῦ, ὃς πάντοτε φαίνῃ ἡμῖν, τοῦτο γὰρ βούλει, ἡμᾶς πάντοτε σὲ ἐπιζητεῖν, καὶ αὐτὸς ἡμῖν ἔδωκας ταύτην τὴν ἐξουσίαν τοῦ αἰτεῖσθαι καὶ λαμβάνειν, καὶ οὐ μόνον τοῦτο ἐπέτρεψας, ἀλλὰ καὶ τὸ εὔξασθαι ἡμᾶς ἐδίδαξας· ὁ οὐχ ὁρώμενος παρὰ τοῖς σωματικοῖς ὀφθαλμοῖς, τοῖς δὲ τῆς ψυχῆς ἡμῶν οὐδ' ὅλως ἀποκρυπτόμενος, καὶ τῇ μὲν ἰδέᾳ ἀπόκρυφος, τοῖς δὲ ἔργοις φανε-

[17] cf Matth 7, 8 ‖ [18] cf Matth 6, 9

---

[1] *κατεστ.*] *εὐθέως ἰάθησαν καὶ ἀπεκατεστάθησαν ὑγιὴς ὡς τὸ πρότερον V καὶ ἐγένετο ὑγιὴς add P* factae sunt ut erant ante quam exaruerant ſ ‖ [3] *εἰ - τ. om* ſ ‖ *τυγχ.*] *εἰμι P* ‖ *π. ἀ.*] non careo fide: immo quia credebam deo ſ ‖ [4] *τι*] *ποτε add P* ‖ *καλὸν om U* ‖ *ποιῶν P* ‖ [5] *καθάπερ P* ‖ *ἠβουλήθην P ἐβουλήθη V* ‖ [6] *ἁγν.*] propterea feci sic *add* ſ ‖ [7] *αὐτῷ om U* ‖ [8] *τοῦτο*] *καὶ P: cf 227, 22* ‖ [8–9] *καὶ - γεγ. om* ſ ‖ [9–10] *ε. τ. ὁ. om* ſ ‖ [10] *αὐτ.*] mulierem ſ ‖ *κειμ.*] mortuam ſ *νεκρὰν add P(V): cf 170, 9* ‖ [11] *εὔμ. om* ſ ‖ [12] *καὶ*] *πάνυ εἶτα V* ‖ *αὐτ.*] tolli et *add* ſ ‖ [13–14] *ἐπ. - πανδ.*] ubi attulerunt eam et posuerunt in lecto ſ ‖ [13] *ἐν κραββάτω D* ‖ *κράβαττον V* ‖ [13–14] *ἐν τῷ μέσῳ D* ‖ [14] *αὐτῇ om PUY* ‖ [14–15] *ὁ ἀπ. τ. χ. α. D* ‖ *τ. χ. α. in mg. U* ‖ [15] *αὐτ.*] *ἐπ' αὐτὴν add P* ‖ *ἤρξ.*] *εὔχεσθαι καὶ add V: cf 163, 21* ‖ *λέγ.*] *οὕτως add V: cf 171, 14; c 156 i; al* ‖ *Ἰ.*] *ἐπάκουσον ἡμῶν καὶ add Y* ‖ [15]–170,[8] *ὃς - ἵνα*] *om Y*

D. Π (Π = PUV) [15–16] *ὃς - ἐπιζ.*] *al* ſ ‖ [15] *ὡς D. PU ὁ V* ‖ [16] *φ.*] *ὁρᾶν οἶδας P (cf 139, 4) ἐπακούεις V* ‖ *ἡμῖν*] *ἡμᾶς P* ‖ *τοῦτο*] *ἐπιτοῦτο P* ‖ *ἐπιζ. β. ἡμ. (om π. σε) P* ‖ *πάντ. β. ἡμ. D* ‖ *πάντ. del?* ‖ [17] *αἰτ.*] *σε add Π* ‖ [18] *κ. λ. om* ſ ‖ *τὸ*] *τοῦ PU* ‖ [19] *ὁ om PU* ‖ *οὐ π. τ. σωμ. ἡμῶν (cf 20) ὁρ. P* ‖ *scr παρ' ⟨ἡμῶν⟩? (ſ)* ‖ [20] *ὀφθ.*] nostris *add* ſ ‖ *μηδ' P* ‖ *ἀπ.*] recedens ſ ‖ [21] *τ. δὲ ἔ.*] gratia tua et operum administratione ſ ‖ [21]–170,[1] *ἡμ. φαν. P*

ρούμενος ἡμῖν· καὶ ταῖς μὲν πράξεσί σου ταῖς πολλαῖς καθὼς χωροῦμεν ἐπεγνώκαμέν σε, αὐτὸς δὲ ἀμέτρως δέδωκας ἡμῖν τὰ δόματά σου εἰπών· Αἰτεῖτε καὶ δοθήσεται ὑμῖν, ζητεῖτε καὶ εὑρήσετε, κρούετε καὶ ἀνοιγήσεται ὑμῖν· Δεόμεθα οὖν ὑποψίαν ἔχοντες τῶν ἁμαρτημάτων ἡμῶν· αἰτοῦμεν δέ σε οὐ πλοῦτον, οὐ χρυσόν, οὐκ ἄργυρον, οὐ κτῆσιν, οὐκ ἄλλο τι τῶν ἀπὸ τῆς γῆς γινομένων καὶ πάλιν εἰς τὴν γῆν χωρούντων, ἀλλὰ τοῦτο δεόμεθά σου καὶ παρακαλοῦμεν, ἵνα ἐν τῷ ὀνόματί σου τῷ ἁγίῳ ἐγείρῃς ταύτην τὴν κειμένην ἐν τῇ σῇ δυνάμει εἰς δόξαν καὶ πίστιν τῶν παρεστώτων.

194 W 70 Th 54 (51) *Καὶ εἶπεν τῷ νεωτέρῳ σφραγίσας αὐτόν· Ἄπελθε*
καὶ λαβόμενος τῆς χειρὸς αὐτῆς εἰπὲ αὐτῇ· Ἐγὼ διὰ τῶν ἐμῶν χειρῶν σιδήρῳ σε ἐφόνευσα, καὶ ἐν ταῖς ἐμαῖς χερσὶν ἐπὶ τῇ πίστει Ἰησοῦ ἐγείρω σε. Προσελθὼν οὖν ὁ νέος πα-
39 B *ρέστη αὐτῇ λέγων· Ἐπίστευσα ἐπὶ σὲ | Χριστὲ Ἰησοῦ. Καὶ ἀπιδὼν εἰς Ἰούδαν Θωμᾶν τὸν ἀπόστολον εἶπεν αὐτῷ· Ἔπευξαί μοι ἵνα ὁ κύριός μου εἰς τὴν βοήθειάν μου ἔλθῃ, ὃν καὶ ἐπι-*
230 T *καλοῦμαι. Καὶ ἐπιθεὶς τὴν χεῖρα αὐτοῦ τῇ αὐτῆς χειρὶ εἶπεν·*

[3] Matth 7, 7

---

[1] *μὲν om* ʃ ‖ *σου om P* ‖ *πολλ.*] magnis *et add* tu quem ʃ ‖ [2] *ἐγνώκαμεν U* ‖ *σε om* ʃ ‖ [3] *δόγματα U δωρήματα PV: cf 141, 7* ‖ *εἰπ.*] tu qui dixisti ʃ ‖ [3–4] *ζ. κ. ε. om PU* ‖ [4] *εὑρήσητε V* ‖ *ὑμ. om P* ‖ *οὖν*] *ὡς add P* ‖ [5–8] *ὑποψ. - δ. σου*] *καὶ ἡμεῖς V* ‖ [5] *τ. ἁμ. ἡμ. ἔχ. P* ‖ *ἁμ.*] delictorum et peccatorum ʃ ‖ *ἡμ.*] ut spargas in nos gratiam per misericordiam tuam *add* ʃ ‖ *αἰτ. δέ*] *ὃ δὲ αἰτ. U om P* ‖ *σε om P* ‖ [6] *οὐ χρ.*] *αἰτούμεθα καὶ χρ. P* ‖ [7] *γιν.*] *ἐγειρομένων P* ‖ [8] *σοι δεόμεθα P* ‖ *παρακ.*] *τὴν ἄφατόν σου χρηστότητα καὶ εὐσπλαγχνίαν add V* benignitatem tuam *add* ʃ: *⟨τὴν χρηστότητά σου⟩?*

D. Π (Π = PUVY) [9] *ἐγερεῖς P: cf 114, 3* ‖ *τὴν*] *νεκρὰν add P* ‖ *κειμ.*] *τακακειμένην UVY (cf 147, 13)* mortuam m ante te *add* ʃ: *cf 169, 10* ‖ [9–10] *ἐν - δόξ.*] magnae tuae gloriae causa et laudis diuinitatis tuae ʃ ‖ [10] *δόξαν ⟨τῆς σῆς θεότητος⟩??* ‖ *πίστωσιν Y* confirmandae fidei ʃ ‖ *τῶν*] *σοι add P* ‖ [11] *καὶ*] *ταῦτα αὐτοῦ προσευξαμένου add D* ‖ *σφ. α.*] *paulo plura* ʃ ‖ *αὐτῷ UV* ‖ [12] *εἰπὲ (εἶπον U: cf 188, 22) α. λαβ. τ. χ. α. UY* ‖ *λαβ. τ. χ. α. om P* ‖ *ἐπιλαβόμενος V* ‖ [13] *πεφόνευκά σε P* ‖ *καὶ*] sed ʃ *πάλιν add D: cf 163, 13* ‖ [13–15] *ἐν - σε*] Iesus gratia sua suscitat te per fidem meam ʃ ‖ [14] *ἐπὶ*] *ἐν P* ‖ *πίστει*] *τοῦ add D. P κυρίου ἡμῶν add D* ‖ *Ἰ.*] *χριστοῦ add D. V* ‖ *ἐγερῶ PU ἐγειρῶ Y: cf 159, 4* ‖ *νεώτερος P(V): cf 167, 14* ‖ *scr ἐπέστη?* (ʃ) *cf 196, 13; 229, 7* ‖ [15] *αὐτῇ om P* ‖ [15–171,1] *Χρ. - Χρ. om V* ‖ [15] *ἰησ. χρ. Y* ‖ *Ἰ. om P* ‖ [15–16] *κ. ἀπ.*] *ἀπ. Y ἀπ. δὲ PU* ‖ [16] *Ἰ.*] *τὸν καὶ add P: cf 100, 4; 178, 14 et index* ‖ *εὖξαι P* ‖ [17] *μου prius om P* ‖ *μου alt*] *φθάσας add UY* ‖ *καὶ*] *νῦν add P*

Ἐλθὲ κύριε Ἰησοῦ Χριστέ· ταύτῃ μὲν παράσχου τὴν ζωήν, ἐμοὶ δὲ τῆς πίστεώς σου τὸν ἀρραβῶνα. Καὶ εὐθέως ἑλκύσαντος αὐτοῦ τὴν χεῖρα αὐτῆς ἀναπηδήσασα ἐκαθέσθη, ἀποβλέπουσα εἰς τὸν πολὺν ὄχλον τὸν παρεστῶτα· εἶδεν δὲ καὶ τὸν ἀπόστολον ἄντικρυς αὐτῆς ἑστῶτα, καὶ καταλιποῦσα τὸν κράββατον ἐκπηδήσασα πρὸς τοῖς ποσὶν αὐτοῦ ἔπεσεν καὶ τῶν ἐνδυμάτων αὐτοῦ ἥπτετο λέγουσα· Δέομαί σου κύριέ μου, ποῦ ἐστιν ἐκεῖνος ὁ ἄλλος ὁ συνὼν σοι, ὃς οὐκ ἐγκατέλιπέν με παραμεῖναι εἰς ἐκεῖνον τὸν χῶρον τὸν δεινὸν καὶ χαλεπόν, ἀλλὰ σοί με παρέδωκεν εἰπών· Σὺ ταύτην παράλαβε ἵνα τελειωθῇ καὶ μετὰ ταῦτα εἰς τὸν αὐτῆς χῶρον συναχθῇ;

55 (52) *Ὁ δὲ ἀπόστολός φησιν πρὸς αὐτήν· Ἐξήγησαι ἡμῖν ποῦ παρεγένου. Ἡ δὲ ἀπεκρίνατο· Σὺ ὁ σὺν ἐμοὶ ὤν,* 195 W 71 Th *ᾧ καὶ παρεδόθην, βούλει ἀκοῦσαι; Καὶ ἤρξατο λέγειν· Ἄνθρωπός τις παρέλαβέν με ἀπεχθὴς τῇ ἰδέᾳ, μέλας ὅλος, ἡ δὲ τούτου ἐσθὴς πάνυ ῥερυπωμένη· ἀπήγαγεν δέ με εἴς τινα τόπον ἐν ᾧ πολλὰ χάσματα ὑπῆρχεν, καὶ πολλὴ δυσωδία καὶ ἀποφορὰ ἐχθίστη ἐκεῖθεν ἀπεδίδετο, ἐποίει δέ με εἰς ἕκαστον χάσμα παρακύψαι, καὶ εἶδον ἐν τῷ χάσματι πῦρ φλεγόμενον, καὶ τροχοὶ πυρὸς ἐκεῖσε ἔτρεχον, ψυχαὶ δὲ ἐνεκρέμαντο ἐν τοῖς τροχοῖς ἐκείνοις, ἀλλήλαις προσρηγνύμεναι· βοὴ δὲ καὶ ὀλολυγμὸς πλεῖστος ὑπῆρχεν ἐκεῖ, οὐδεὶς δὲ ἦν ὁ λυτρούμενος. ἔλεγεν δέ μοι ὁ ἀνὴρ ἐκεῖνος· Αὗται αἱ ψυχαὶ ὁμόφυλοί σού*

---

[1] *ταύτῃ] καὶ ταύτῃ V καὶ ταύτην P* ‖ *παρέχων D* ‖ [2–3] *ἑλκ. α. εὐ. U* ‖ [3] *χεῖρα] αὐτοῦ καὶ κρατήσαντος τῆς add U* ‖ *αὐτῆς] χειρὸς add U* ‖ *ἀν. ἐκ.] ἀνέστη καὶ ἐκ. V* subsiluit et adstitit ſ: *cf 150, 17* ‖ [4] *τ. παρ. πολ. ὄ. (om alt τ.) V* ‖ [5] *ἀπ.] τοῦ χριστοῦ add V* domini nostri *add* ſ ‖ *ἄντικρυ D: cf 119, 6* ‖ *κατ. τ. κρ. om* ſ ‖ [6] *ἐκπ. om V* ‖ *προσέπεσε τ. ποσ. α. V* ‖ [6–7] *ἥ. τ. ἐνδ. α. V* ‖ [7] *ἁπτομένη ἔλεγεν P* ‖ [8] *ὁ ἄλλ. ἐκ. V* ‖ *ἄλλος ὁ] προβραχὺ P om U* ‖ *σοι] μετα σοῦ P* ‖ *ἐνεγκατέλιπέν UY* ‖ *με] τοῦ add V* ‖ [9] *χορὸν P* loco ſ: *cf 11; 174, 6; 109, 12* ‖ *τ. δ. κ. χ.]* quem uidi ſ ‖ [10] *με] μοι U* ‖ *τελ.]* in amore suo per fidem *add* ſ ‖ [11] *ταῦτα] εἰσέλθῃ add V* ‖ *αὐτ.]* meum ſ ‖ *χορὸν P* locum ſ: *cf 9* ‖ *συναφθῇ P om V* ‖ [12] *ἀπ.]* Iudas ſ *τοῦ χριστοῦ θωμᾶς add V* ‖ *ἔφη V εἶπεν P* dicit ſ: *scr λέγει?* ‖ *π. α.] αὐτῇ PUY* ‖ *διήγησαι V: cf 159, 21* ‖ [13] *παρεγ.]* et quid uideris *add* ſ ‖ [14] *παρεδόθη P: cf c 144e* ‖ *καὶ] ἣ δὲ V* ‖ *λέγ.] οὕτως add V: cf 169, 15* ‖ [15] *τις om U* ‖ *ἀπεχθὲς U ἀπὸχθὲς V(Y) τῇ χθὲς ἡμέρᾳ P* turpis ſ ‖ *ὅλως PV* ‖ [16] *με δὲ P* ‖ [17] *ὑπῆρχον V* ‖ [17–18] *κ. ἀπ. om U* ‖ [18] *ἀπεδίδοτο PUY* ‖ *εἰς] ἕνα add V: cf 100, 2* ‖ [19] *καὶ ε.] ε. δὲ PUY* ‖ *τῷ ⟨πρώτῳ⟩?* (ſ) ‖ *πῦρ]* tamquam ignem ſ ‖ [20–22] *ψ. - λυτρ. om* ſ ‖ [20] *ἐκρέμαντο VY* ‖ [21] *ἀλλήλοις P* ‖ [22] *ο. δὲ] καὶ ο. PV* ‖ [23]–172,[3] *αὗται - ἄλλῳ] al* ſ

εἰσιν, καὶ ἐν ἡμέραις ἀριθμοῦ παρεδόθησαν εἰς κόλασιν καὶ
ἔκτριψιν, καὶ τότε ἄλλαι εἰσάγονται ἀντ' αὐτῶν, ὁμοίως δὲ
πάλιν καὶ αὗται ἐν ἄλλῳ· αὗταί εἰσιν αἱ μεταλλάξασαι ἀνδρὸς
καὶ γυναικὸς τὴν συνουσίαν. Καὶ κατοπτεύσασα εἶδον βρέφη
40 B ἐπ' ἄλληλα σεσωρευμένα καὶ παλαίοντα ἀλλήλοις | ἐπικείμενα.
ὁ δὲ ἀποκριθεὶς εἶπέν μοι· Ταῦτά ἐστιν τὰ τούτων βρέφη,
καὶ διὰ τοῦτο ἐνθάδε ἐτέθησαν εἰς μαρτύριον αὐτῶν.

231 T 56 (53) Ἀπήγαγεν δέ με εἰς ἄλλο χάσμα, καὶ παρακύψασα
72 Th εἶδον βόρβορον καὶ σκώληκας ἀναβρύοντας, καὶ ψυχὰς ἐκεῖ
κυλιομένας, καὶ βρυγμὸν μέγαν ἐκεῖθεν ἐξ αὐτῶν ἀκουόμενον.
καὶ εἶπεν πρός με ὁ ἄνθρωπος ἐκεῖνος· Αὗται αἱ ψυχαὶ γυναικῶν εἰσιν αἱ καταλείψασαι τοὺς ἄνδρας αὐτῶν καὶ εἰς ἄλλους μοιχεύσασαι καὶ εἰς ταύτην τὴν βάσανον ἐνεχθεῖσαι. Ἄλλο μοι χάσμα ἔδειξεν, εἰς ὃ παρακύψασα εἶδον ψυχὰς τὰς μὲν κρεμαμένας διὰ τῆς γλώττης, τὰς δὲ διὰ τῶν πλοκάμων, τὰς δὲ διὰ τῶν χειρῶν, τὰς δὲ διὰ τῶν ποδῶν κατὰ κεφαλῆς, καὶ καπνὸν καὶ θεῖον καπνιζομένας· περὶ ὧν ἀπεκρίνατό μοι ὁ ἀνὴρ ἐκεῖνος ὁ σὺν ἐμοὶ ὤν· Αἱ μὲν ψυχαὶ αὗται αἱ κρεμασθεῖσαι διὰ τῆς γλώσσης διάβολοί εἰσιν, καὶ ψευδεῖς λόγους καὶ αἰσχροὺς φθεγγόμεναι, καὶ μὴ αἰδούμεναι· αἱ δὲ διὰ τῶν τριχῶν κρεμάμεναι ἄχρωμοί εἰσιν αἱ μηδ' ὅλως αἰδούμεναι

[1] ἐδόθησαν P ‖ [2] κ. τότε - αὐτῶν om PV ‖ ἀντι UY ‖ [2–3] ὁμ. - ἄλλῳ om Π: del?? (similia infra ʃ) ‖ [3] ἄλλῳ <τόπῳ>?? ‖ [3–4] αὗται - συν.] τῶν τὴν οὐσίαν τῶν ἀνδρῶν μεταλαξάντων P: cf 12 ‖ [3] αὗται] δέ add V ‖ [4] συν.] haud pauca add ʃ ‖ [4–7] καὶ κ. - αὐτῶν om ʃ ‖ [4] καὶ alt] ἔτει add V rursus add ʃ: scr Καὶ ἔτι?? cf 13 ‖ εἶδεν U ‖ [5] ἀλλήλοις] ἀλλήλα D (delend suspic Tischendorf) καὶ add D ‖ [6] μοι εἶπεν PU ‖ εἰσι D ‖ [8]–173,[11] ἀπ. - αὐτῇ] al ʃ ‖ [8] ἀπήνεγκε D: cf 173, 12; 174, 4; 5 ‖ [9] σκώληκα ἀναβρύοντα D ‖ [10] μέγα D ‖ ἐξ α. ἐκ. P ‖ ἐκ. om V ‖ [12] τῶν καταλειψάντων D (cf 109, 13) τῶν καταλειψασῶν Thilo: cf 3; 4 ‖ ἑαυτῶν UVY ‖ [13] μοιχευθεῖσαι D ‖ ἐν.] εἶτα πάλιν add V (ʃ??): uerum? cf 4 ‖ [13]–173,[19] ἄλλο - παραδίδ. om Y

D. Π (Π = PUV) [13–14] ἔδ. δέ μοι καὶ ἄ. χ. P ‖ [15] δ. τ. γλ. κρ. P ‖ [15–16] τὰς δὲ δ. τ. χ.] ἑτέρας διατῶν χειρῶν P om V ‖ [16] τὰς δὲ] ἄλλας P ‖ κ. κεφ.] ἐπικέφαλα PUV: cf 173, 6; An 61, 20; Ph 55, 2; 71, 1; cet (al 191, 1) ‖ [17] καπ. κ. θ.] θ. κ. πίσσαν V ‖ καπνὸν corruptum? ‖ μοι om P ‖ [17–18] ὁ - ὤν] ὁ σ. ἐ. λέγων ἀν. P ὁ ἀ. λέγων ὁ σ. ἐ. U ὁ ἀ. ὁ σ. ἐ. λέγων (cf 171, 13; 174, 2 et 156, 4; 160, 11) οὕτως ὅτι V: cf 160, 15; 171, 13; 210, 16 ‖ [18] ψ. - κρεμ.] κρεμ. αὗται ψ. P ‖ [19–20] κ. ψ. - φθ.] οἱ ψ. φθεγγόμενοι λ. κ. α. P ‖ [19] καὶ om V: del?? ‖ [20] κ. μὴ αἰδ. del? cf P ‖ μὴ] μηδ' ὅλως P: cf 21 ‖ αἰδούμενοι P: cf 21 et q s ‖ [20–21] αἱ δὲ - αἰδ. om D ‖ [21] κρ.] οἱ add P ‖ αἱ - αἰδ.] καὶ μὴ αἰσχυνόμενοι P: cf 20 ‖ αἱ] scr καὶ?

καὶ γυμνοκέφαλοι ἐν τῷ κόσμῳ περιάγουσαι· αἱ δὲ δια τῶν χειρῶν κρεμασθεῖσαι αὗταί εἰσιν αἱ τὰ ἀλλότρια ἀφελόμεναι καὶ κλέψασαι, καὶ μετρίοις μὴ ἐπιδοῦσαι μηδέποτε μηδέν, μηδὲ ἐπαρκήσασαι τοῖς τεθλιμμένοις, ἀλλὰ τοῦτο ἐποίουν τὰ πάντα λαμβάνειν θέλουσαι, καὶ μηδὲ ὅλως τῆς δίκης καὶ τῆς νομοθεσίας φροντίδα ποιησάμεναι· αἱ δὲ διὰ τῶν ποδῶν διάστροφοι κρεμάμεναι αὗταί εἰσιν αἱ κούφως μὲν καὶ προθύμως τρέχουσαι ὁδοῖς πονηραῖς καὶ πορείαις ἀτάκτοις, νοσοῦντας μὴ ἐπισκεπτόμεναι καὶ τοὺς ἐξιόντας τοῦ βίου μὴ προκομίζουσαι, καὶ διὰ τοῦτο μία καὶ ἑκάστη ψυχὴ ἀπολαμβάνει τὰ πεπραγμένα αὐτῇ.

57 (54) *Πάλιν ἀπαγαγών με ὑπέδειξέν μοι ἄντρον πάνυ* 196 W
σκοτεινόν, δυσωδίαν πολλὴν ἀποπνέον, πολλαὶ δὲ ψυχαὶ ἐκεῖθεν
παρέκυπτον βουλόμεναι τοῦ ἀέρος τι μεταλαμβάνειν, οἱ δὲ
τούτων φύλακες οὐκ εἴων αὐτὰς | παρακύπτειν. ὁ δὲ συνὼν 41 B
μοι εἶπε· Τοῦτό ἐστιν τὸ δεσμωτήριον τούτων τῶν ψυχῶν ὧν 73 Th
εἶδες· ἐπὰν γὰρ πληρώσωσι τὰς κολάσεις αὐτῶν ὧν μία ἑκάστη
ἔπραξεν, ὕστερον ἄλλαι αὐτὰς διαδέχονται· εἰσὶν δὲ καί
τινες τελείως καταναλισκόμεναι, καὶ εἰς ἄλλας κολάσεις παραδίδονται. Ἔλεγον δὲ τῷ ἀνδρὶ τῷ παραλαβόντι με ἐκεῖνοι οἱ
τὰς ψυχὰς φρουροῦντες τὰς οὔσας ἐν τῷ σκοτεινῷ ἄντρῳ· 232 T
Δὸς ἡμῖν αὐτήν, ἵνα εἰσαγάγωμεν αὐτὴν πρὸς τὰς ἄλλας, ἕως

---

[1] *γ.] γυμνοὶ τῇ κεφαλῇ P* ‖ *ἐν - περ.] περιόντες τῷ βίω P* ‖ *περιοῦσαι UV περιοῦσαι ex corr U* ‖ [2] *κρεμάμεναι οὗτοι P* ‖ *οἱ P* ‖ *ἀφελούμενοι P* ‖ [3] *κλέψαντες P* ‖ *μὴ] μὲν U om P* ‖ *ἐπ. - μηδὲν] μηδέποτε τί ἐπιδιδόναι P* ‖ [4] *ἐπαρκέσασαι V* ‖ [5] *θέλοντες P* ‖ *μηδ' UV* ‖ *ὅλως] πω P* ‖ [6] *ποιησάμενοι P ποιούμεναι U* ‖ *οἱ P* ‖ *διὰ] ἐκ P om U* ‖ *δίστροφοι U ἐπικέφαλα V (cf 172, 16) om D* ‖ [7] *κρεμάμενοι P κρεμασθεῖσαι D* ‖ *αὗτ. ε. om P* ‖ *οἱ P* ‖ [7–8] *τρέχοντες εἰς ὁδοὺς P* ‖ [8] *πονηροῖς D πονηρὰς P* ‖ *πορείας P πονηρίαις D* ‖ *ἀτάκτους P* ‖ *νοσ.] δὲ add PV: recte? cf 7* ‖ *ἐπισκεπτόμενοι P* ‖ [9] *προκομίζοντες P: cf 109, 13* ‖ [11] *αὐτῆς PU* ‖ [12]–174,[5] *πάλιν - δέξ. om V*

D. Π(Π=PU) [12] *με om D: cf 172,8; 174,5* ‖ [13] *ἀποπνέοντα P* ‖ [13–15] *πολλαὶ - παρακ. om* ʃ ‖ [13] *π. δὲ] καὶ π. P* ‖ *ἐκεῖσε P* ‖ [14] *ἀέρου P* ‖ *μεταλαβεῖν P* ‖ [15] *τούτων om Π* ‖ *ὁ δὲ] καὶ ὁ P* ‖ *σ. om* ʃ ‖ [16] *μοι ἄνθρωπος εἶπεν U εἶπεν μοι ἄνθρωπος P* despice et uide *add* ʃ ‖ *δεσποτήριον U* ‖ [16–17] *ὧν ε.]* de quibus tibi dixi ʃ ‖ [17] *γὰρ om* ʃ ‖ *αὐτῶν om Π* ‖ [17–18] *ὧν - ἔπ.]* cuiusque ʃ ‖ [17–18] *ἥμαρτεν μία καὶ ἑκ. Π: cf 10; 100, 2; 175, 4* ‖ [18] *ὕστ. om* ʃ *πάλιν add D: cf 163, 13* ‖ *διαδ. α. D: cf 174, 1; 2* ‖ *καὶ om Π* ‖ [19] *⟨εἰσὶν δὲ⟩ καὶ ⟨τινες⟩??* (ʃ) ‖ *παραδιδόμεναι U* (ʃ): *recte??*

D. Π (Π = PUY) [20] *δὲ] οὖν D om* ʃ: *del?* ‖ *τῷ παραλ. με ἀ. (om alt τῷ) P: cf 207, 10* ‖ [21] *ἐν τ. σκ. οὖσ. P* ‖ [22] *εἰσ. - ἄλλ.]* uinciamus eam in loco suo ʃ ‖ *αὐτὴν alt om D*

ὅτε καιρὸς ἐφίσταται εἰς κόλασιν αὐτὴν παραδοθῆναι. Ὁ δὲ ἀπεκρίνατο αὐτοῖς· Οὐ δίδωμι αὐτὴν ὑμῖν, ἐπειδὴ γὰρ φοβοῦμαι τὸν παραδόντα μοι αὐτήν· οὐ γὰρ ἐκελεύσθην ἐνθάδε αὐτὴν καταλεῖψαι· σὺν ἐμοὶ δὲ ἀνάγω αὐτήν, ἕως ἂν ἐντολὴν περὶ ταύτης δέξωμαι. Καὶ παραλαβών με ἀνήγαγέν με εἰς ἄλλον χῶρον, ἐν ᾧ ἦσαν ἄνθρωποι οἳ ἐβασανίζοντο πικρῶς. ὁ δέ σοι ὅμοιος λαβών μέ σοι παρέδωκεν, λέξας σοι ταῦτα· Παράλαβε ταύτην, ἐπειδὴ μία ἐστὶν τῶν θρεμμάτων τῶν πλανηθέντων. Καὶ ληφθεῖσα ὑπὸ σοῦ νῦν ἔμπροσθέν σού
197 W εἰμι. δέομαί σου οὖν καὶ ἱκετεύω ἵνα μὴ ἀπέλθω εἰς ἐκείνους τοὺς τόπους τοὺς κολαστηρίους οὓς εἶδον.

58 (55) Ὁ δὲ ἀπόστολος εἶπεν· Ἠκούσατε ἃ διηγήσατο ἡ γυνὴ αὕτη· οὐκ εἰσὶν δὲ μόνον αὗται αἱ κολάσεις, ἀλλὰ καὶ ἄλλαι χείρονες τούτων· καὶ ὑμεῖς δὲ ἐὰν μὴ ἐπιστραφῆτε ἐπὶ τὸν θεὸν τοῦτον ὃν κηρύσσω, καὶ ἀπόσχησθε ἀπὸ τῶν προτέρων ἔργων ὑμῶν καὶ τῶν πράξεων ὧν διεπράξασθε
74 Th χωρὶς γνώσεως, εἰς ταύτας τὰς κολάσεις τὸ τέλος ὑμῶν ἕξετε. πιστεύσατε οὖν εἰς Χριστὸν Ἰησοῦν, καὶ ἀφίησιν ὑμῖν τὰ πρὸ τούτου πεπραγμένα ἁμαρτήματα, καὶ καθαρίσει ὑμᾶς ἀπὸ

[18] cf Io 1, 1, 9

---

[1] *παρ. α. D: cf 173, 18* ‖ *ὃ δὲ*] is qui ducebat me ʃ ‖ [2] *ὑμ. α. D: cf 173, 18* ‖ *ἐπ.* (ʃ) *om Π: cf 8* ‖ *φ. γ. Π* ‖ *del γὰρ? cf 8; 123, 4* ‖ [3] *με P* ‖ *οὐ γ.*] nec ʃ ‖ *ἐνταῦθα P* ‖ [4] *ἀναγάγω U ἀναφέρω D: cf 172, 8; 173, 22* ‖ [5] *αὐτῆς P*

D. Π (Π = PUVY) [5] *με alt om PUY: del? cf 7* ‖ [6] *χορὸν P* (*cf 171, 11*) ‖ *οἳ ἐβ. π. om* ʃ ‖ [7] *παραδέδωκε D* ‖ *ταῦτα σοι λ. P* ‖ [8] *ἐ. μ.*] *ἐπιδημία γάρ P: cf 2; c 170m* ‖ *τ. θρ. ἐστὶ D* ‖ [8–9] *τ. πλαν. θρ.* (*om alt τῶν*) *P* ‖ [10] *οὖν om PUY* ‖ *ἱκ.*] ut ego quoque per te credam et per preces tuas gratiam adipiscar et *add* ʃ ‖ *εἰσέλθω VY* ‖ [11] *τ. κολ. τόπ.* (*om alt τοὺς*) *Π: cf 173, 20* ‖ [12] *ἀπ.*] Iudas Thomas ʃ *τοῦ χριστοῦ θωμᾶς add V πρὸς τοῖς παρεστῶσιν ὄχλοις add D* ‖ *λέγει P* (*recte?* dicit ʃ) *αὐτοῖς add UY* (ʃ) *τῷ ὄχλῳ add P πρὸς πᾶν τὸ πλῆθος τοῦ λαοῦ add V* ‖ *ἠκ.*] *κατηκούσατε PUY* (*cf 147, 13*) *πάντως ἠκ. V ἀδελφοί add D* pueri mei *add* ʃ ‖ [13] *ταύτῃ UY ὄντως τέκνα add V: cf* ʃ ‖ [13–14] *οὐκ - τούτων om Y* ‖ [13] *μόναι PUV* ‖ *αἱ κολ. αὗται P* ‖ [14] *ἕτεραι P: cf 172, 15; 195, 4; c 150m* ‖ *χείρονα P* multo peiores ʃ ‖ [15] *τ. θ. τ.*] ueritatem hanc ʃ ‖ *ἀπόσχεσθε D ἀπέχεσθε V* ‖ [16] *πρώτων UY: cf 156, 3; 175, 5* ‖ *κ. τ. πρ. om P τῶν ἀτόπων add V* ‖ *ὧν δ.*] quae non prosunt uobis *et add* et a cogitationibus ʃ ‖ *διεπράξατε P* ‖ [17] *ἕξ.*] *γενήσεται P* ‖ [18] *Χρ. Ἰ.*] *κύριον ἰησ. V τὸν κύριον ἡμῶν ἰησ. χρ. D* ‖ *del Χρ.? cf 175, 19; 176, 16; 186, 3; 6; al* ‖ [18–19] *πρὸ τ.*] *πρὶν ὑμῶν P* ‖ [19] *ἁμ. om P* ʃ: *del? cf 173, 10; 156, 3*

πασῶν τῶν ἐπιθυμήσεων ὑμῶν τῶν σωματικῶν τῶν ἐν τῇ γῇ μενουσῶν, καὶ ἰάσεται ὑμᾶς ἀπὸ τῶν σφαλμάτων τῶν παρεπομένων καὶ σὺν ὑμῖν ἀπιόντων καὶ | πρὸ ὑμῶν εὑρισκομένων. 42 B
εἷς ἕκαστος οὖν ὑμῶν ἀποδύσασθε τὸν παλαιὸν ἄνθρωπον καὶ ἐνδύσασθε τὸν νέον, τὴν δὲ πρώτην ὑμῶν ἀναστροφὴν καὶ πολιτείαν καταλείψατε· καὶ οἱ κλέπτοντες μηκέτι κλεπτέτωσαν, ἀλλὰ κάμνοντες καὶ ἐργαζόμενοι ζήτωσαν· οἱ δὲ μοιχοὶ μηκέτι πορνευέτωσαν, ἵνα μὴ ἐκδότους ἑαυτοὺς τῇ αἰωνίᾳ κολάσει παραδώσωσιν· ἡ γὰρ μοιχεία παρὰ τῷ θεῷ πάνυ χαλεπόν ἐστιν παρὰ τὰ ἄλλα κακά. ἀπόθεσθε δὲ καὶ τὴν πλεονεξίαν καὶ τὸ ψεῦδος καὶ τὴν μέθην καὶ τὴν διαβολὴν καὶ κακὸν ἀντὶ κακοῦ μὴ ἀποδίδετε. ταῦτα γὰρ πάντα ξένα εἰσὶν τῷ θεῷ τῷ ὑπ' ἐμοῦ κηρυσσομένῳ καὶ ἀλλότρια· ἀλλὰ καὶ μᾶλλον ἐν τῇ πίστει πολιτεύσασθε καὶ τῇ πρᾳότητι καὶ 233 T
τῇ ἁγιωσύνῃ καὶ τῇ ἐλπίδι, ἐν ᾗ ὁ θεὸς χαίρει, ὅπως γένησθε 198 W
αὐτοῦ οἰκεῖοι, προσδεξάμενοι παρ' αὐτοῦ τὰ χαρίσματα ἃ ὀλίγοι καὶ ἔνιοι δέχονται.

59 (56) *Πᾶς* οὖν ὁ λαὸς ἐπίστευσεν, καὶ τὰς ἑαυτῶν ψυχὰς πειθηνίους παρέσχον τῷ θεῷ τῷ ζῶντι καὶ τῷ Χριστῷ Ἰησοῦ, εὐωχούμενοι ἐν τοῖς ἔργοις αὐτοῦ τοῖς εὐλογημένοις

[4] cf Col 3, 9; 10 Eph. 4, 22 ‖ [6] cf Eph 4, 28 ‖ [10] cf Eph 4, 25 Col 3, 8

---

[1] *πάντων P: cf 109, 13* ‖ *ἐπιθυμιῶν D. P: scr ἐνθυμήσεων?* cogitationibus terrestribus ſ ‖ *ὑμ.] καὶ add P* ‖ *σωμ.] ἐνθυμήσεων add P* ‖ [2–15] *τ. παρ. - χαίρει om Y*

D. Π (Π = PUV) [2] *τῶν alt*] nisi uos eorum paeniteat coram deo *add* ſ ‖ [4] *εἷς om D: cf 173, 17* ‖ *οὖν] δὲ D* ‖ *ἀποδυσάσθω D* ‖ [5] *ἐνδυσάσθω D* ‖ *scr προτέραν (sic ep ad Eph)? cf 174, 16; 227, 18; 177. 4* ‖ [7] *ζῆτε κ. ἐργ. P* ‖ *μοιχεύοντες PV* ‖ [8] *πορν.] μοιχοὶ ἔστωσαν P* (ſ) neu permittant se uoluptati praesenti *add* ſ ‖ [9] *παραδώσουσιν U* ‖ *π. τ. θ. om P* ‖ [10] *χαλεπή PU(V)* ‖ *ἐ.] κακὸν add D* ‖ [12] *καὶ] τὸ add D* ‖ *μὴ om D* ‖ *ἀπ.* (ſ)] *ἀνταποδιδόναι D ἀποδῶτε U* ‖ [13] *ἐστὶν U* ‖ *ἀλλ.]* impura ſ ‖ [14] *κ. μ. om* ſ ‖ *καὶ prim om Π: del?* ‖ *πίστει]* humilitate ſ ‖ *πολιτεύεσθε P(V)* ‖ *κ. τῇ] ἐν P* ‖ *πρ.]* temperantia ſ ‖ [15] *τῇ ἐλπ. κ. τῇ ἁγ. U δικαιοσύνῃ καὶ ἁγιωσύνῃ (ἁγ. in rasura) P* ‖ *ἐν - χ.]* in deum ſ *om P*

D. Π (Π = PUVY) [15–17] *ὅπ. - δέχ.] ἵνα οἰκ. τοῦ παρ' ἐμοῦ κηρυττομένου θεοῦ γέν. καὶ τῶν αὐτοῦ χαρισμάτων καταξιωθῆτε P* ‖ [16] *οἰκ.]* serui ſ ‖ [17] *ὀλ. κ. om* ſ: *cf 149, 18* ‖ [18] *καὶ om P* ‖ [18–19] *τ. ἑ. ψ.]* se ſ ‖ [19] *παρέχοντες P* ‖ [19–20] *ζ. - Ἰ.] ὑπὸ τοῦ ἀποστόλου κηρυττομένῳ θωμᾶ P* ‖ *ἰησ. χρ. V: cf 174, 18* ‖ [20]–176,[1] *εὐωχ. - ἁγ.] ἐν τ. ἔ. τοῦ θεοῦ εὐωχ. κ. τ. ἁγ. α. πορευόμενοι διακ. P* ‖ *αὐτ. - ὑψ.] scr τοῦ ὑψ. τοῖς εὐλ.* (ſ)

τοῦ ὑψίστου καὶ τῇ διακονίᾳ αὐτοῦ τῇ ἁγίᾳ. ἐκόμιζον δὲ χρήματα πολλὰ εἰς διακονίαν τῶν χηρῶν· εἶχεν γὰρ ἐν ταῖς πόλεσιν συνηθροισμένας, καὶ πάσας αὐτὰς διὰ τῶν ἰδίων διακόνων ἀπέστελλεν τὰ ἐπιτήδεια, τά τε ἐνδύματα καὶ τὰ πρὸς τὴν τροφήν. αὐτὸς δὲ οὐκ ἐπαύετο κηρύσσων καὶ λέγων αὐτοῖς καὶ ὑποδεικνύων ὅτι οὗτός ἐστιν Ἰησοῦς ὁ Χριστὸς περὶ οὗ
75 Th αἱ γραφαὶ ἐκήρυξαν, ὃς ἐλθὼν σταυροῦται καὶ ἐγείρεται διὰ τριῶν ἡμερῶν ἐκ νεκρῶν. ὑπεδείκνυεν δὲ αὐτοῖς δεύτερον σαφηνίζων ἀπὸ τῶν προφητῶν ἀρξάμενος τὰ περὶ τοῦ Χριστοῦ, ὅτι ἔδει αὐτὸν ἐλθεῖν καὶ ἐν αὐτῷ τελεσθῆναι πάντα τὰ προ-
43 B λεχθέντα περὶ αὐτοῦ. | διέδραμεν δὲ ἡ τούτου φήμη εἰς πάσας τὰς πόλεις καὶ χώρας, καὶ πάντες οἱ ἔχοντες νοσοῦντας ἢ ὀχλουμένους ὑπὸ πνευμάτων ἀκαθάρτων προσέφερον, οὓς δὲ
199 W καὶ ἐν τῇ ὁδῷ ἐτίθουν ἐν ᾗ ἔμελλεν διελθεῖν, καὶ πάντας ἐν τῇ δυνάμει τοῦ κυρίου ἐθεράπευεν. τότε εἶπον πάντες ὁμοθυμαδὸν οἱ δι' αὐτοῦ ἰαθέντες μιᾷ φωνῇ· Δόξα σοι Ἰησοῦ τῷ τὴν θεραπείαν ἐξ ἴσου παρασχόντι διὰ τοῦ σοῦ δούλου

[6] cf act 18, 28 ‖ [9] cf Luc 24, 27 ‖ [12] cf Luc 6, 17 act 5, 15

---

[1] *τ. ὑψ.* (ſ) *om D. PV* ‖ *ἁγ.] ἐν χριστῷ ἰησοῦ et q s dein deficit Y D. Π (Π = PUV)* [1] *δὲ*] quisque eorum *add* ſ ‖ [2] *χηρ.] καὶ πτωχῶν add P* ‖ [3] *συν.* (ſ)] *συνηθροισμένον πλῆθος πτωχῶν καὶ χηρῶν P(V)* ‖ *πάσαις αὐταῖς U (recte ut uid)* quibus omnibus ſ ‖ *πάντας PV: cf 109, 13* ‖ *αὐτ. om PV* ‖ [4] *ἀπέστειλεν U* ‖ [4–5] *τά τε - τρ.*] ad alimentum et uestimentum ſ ‖ [4] *τε om U* ‖ *ἐνδ.] λέγω add P* ‖ *τὰ πρὸς om D* ‖ [5] *τὴν om P* ‖ *αὐτοῖς] τὸν λόγον τοῦ θεοῦ add P* ‖ [6] *Ἰ.* (ſ) *om PU (del?) ἀληθῶς add U* ‖ [6–7] *περὶ - ἐλθὼν om P* ‖ [7] *ἐκήρ.] haud pauca add* ſ ‖ *ὃς ἐ.*] et uenit ſ ‖ *ὃς] ὡς Thilo: recte??* ‖ [7–8] *στ. - νεκρ.] ὁ σταυρωθεὶς καὶ ταφεὶς καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστὰς καὶ ἐκ δεξιῶν τοῦ αὐτοῦ πατρὸς καθεζόμενος P* ‖ [8] *ἐκ ν. om UV* ſ: *del?* ‖ [8–9] *ὑπ. - Χρ.] ἀλλὰ καὶ ἀπὸ τ. πρ. τὰ π. χρ. αὐτοῖς ἀνεδίδασκεν P* ‖ [8] *δεύτ. om* ſ ‖ [9] *ἀρξ. ἀ. τ. πρ D* ‖ *ἀπὸ*] Mose usque ad finem *add* ſ: *cf eu Luc* ‖ *ἀρξ. - Χρ. om* ſ ‖ *τὰ π.] ἕως UV αὐτοῦ add U* ‖ *Χρ.] καὶ add D* ‖ [10] *δεῖ V* ‖ *π. τὰ] τὰ π. τὰ καὶ P* ‖ *προλ.] ὑμῖν add D unde προλ. ἡμῖν Thilo* ‖ [11] *περὶ] πάθη P* ‖ *φ.*] inter homines *add* ſ ‖ [11–12] *π. τ. om* ſ ‖ [12] *π. κ. χ.*] ciuitates m ‖ *νοσ.] ἀσθενεῖς P* ‖ [13] *ἀκ. om* ſ aut lunaticum aut debilem *add* ſ ‖ *πρ. - δὲ*] quosdam adferebant in lectis ſ ‖ *πρ.] καὶ ἐθεράπευεν αὐτοὺς add P καὶ ἐθεραπεύοντο add D: cf 15* ‖ *τοὺς V ἄλλους P* ‖ [14] *καὶ prius om P* ‖ *ἤμελλεν V* ‖ *διέρχεσθαι P διιέναι UV: cf 148, 5* ‖ [14–15] *ἐν τῇ - κυρ. om P* ‖ [15] *τ. κυρ.*] Iesu domini sui ſ *ἰησοῦ add V* ‖ *ἰᾶτο P non nulla add* ſ ‖ [16] *ἰαθ.] λέγοντες add UV* ‖ *μ. φ. om P* ‖ *σοι δ. D* ‖ *Ἰ.] χριστὲ ἰ. P κύριε ἰ. χριστέ V* Christe *add* ſ ‖ [17] *τῷ] ὁ P* ‖ *παρασχὼν P τοῖς πᾶσιν add V: ⟨πᾶσι⟩ παρασχόντι?* ‖ *δούλου σου D*

καὶ ἀποστόλου Θωμᾶ. καὶ ὑγιαίνοντες καὶ χαίροντες δεόμεθά σου γενέσθαι τῆς σῆς ἀγέλης καὶ ἐναριθμηθῆναι εἰς τὰ σὰ πρόβατα· δέξαι οὖν ἡμᾶς κύριε καὶ μὴ λογίσῃ ἡμῶν τὰ παραπτώματα ἡμῶν καὶ τὰ πρῶτα σφάλματα ἃ διεπραξάμεθα ἐν ἀγνοίᾳ ὄντες.

60 (57) *Ὁ δὲ ἀπόστολος εἶπεν· Δόξα τῷ μονογενεῖ τῷ ἀπο τοῦ πατρός, δόξα τῷ πρωτοτόκῳ τῶν πολλῶν ἀδελφῶν, δόξα σοι τῷ ἐπαμύντορι καὶ βοηθῷ τῶν εἰς τὸ καταφύγιόν σου ἐρχομένων· ὁ ἄυπνος καὶ τοὺς ἐν ὕπνῳ διεγείρων, ὁ ζῶν καὶ ζωοποιῶν τοὺς ἐν τῷ θανάτῳ κατακειμένους· θεὲ Ἰησοῦ Χριστέ, τοῦ θεοῦ τοῦ ζῶντος υἱέ, ὁ λυτρωτὴς καὶ βοηθός, ἡ καταφυγὴ καὶ ἀνάπαυσις πάντων τῶν καμνόντων ἐν τῇ σῇ ἐργασίᾳ, ἴασιν δὲ παρέχων ἐκείνοις τοῖς διὰ τὸ σὸν ὄνομα* 234 T
ὑποφέρουσιν τὸ βάρος τῆς ἡμέρας καὶ τὸν καύσωνα· εὐχαριστοῦμεν τοῖς παρὰ σοῦ χαρίσμασιν δοθεῖσιν ἡμῖν καὶ τῇ 76 Th
παρὰ σοῦ βοηθείᾳ χαρισθεῖσιν ἡμῖν καὶ τῇ οἰκονομίᾳ σου τῇ ἐλθούσῃ ἀπὸ σοῦ εἰς ἡμᾶς.

61 (58) *τέλεσον οὖν εἰς ἡμᾶς ταῦτα ἕως τέλους, ἵνα* 200 W
ἔχωμεν παρρησίαν τὴν ἐν σοί· ἔπιδε εἰς ἡμᾶς, ὅτι διὰ σὲ κατελείψαμεν τοὺς οἴκους ἡμῶν καὶ τὰ γονικὰ ἡμῶν, καὶ διὰ σὲ ξένοι γεγόναμεν ἡδέως καὶ ἑκόντες· ἔπιδε ἐφ' ἡμᾶς κύριε,

[6] cf Io 1, 14 ‖ [7] cf Rom 8, 29 ‖ [14] cf Matth 20, 12 ‖ [20] cf Matth 19, 27

[1–3] *δεόμ. - πρόβ.*] *τῇ σῇ παρακαλοῦμεν καὶ ἡμᾶς συναριθμηθῆναι ποίμνῃ καὶ τοῖς σοῖς μετόχους προβάτοις γενέσθαι P* ‖ [3] *οὖν om P* ‖ *μὴ λογ.*] *πάριδε P* ‖ *ἡμῖν U recte ut uid:* aduersus nos ſ ‖ [4] *ἡμῶν* (ſ) *om D. P* ‖ *πρ.*] *cf 175, 5* ‖ *καὶ - σφ. om P* ‖ [4–5] *ἃ - ὄντες*] *ἃ καὶ ἐν ἀ. καὶ γνώσει διεπρ. P* ‖ [6] *ὁ δὲ ἀπ.*] *τότε ὁ ἀπ. V* tum, ubi Iudas Thomas uidit eos, sustulit uocem suam et ſ ‖ *ἀπ.*] *χαρᾶς πολλῆς πλησθεὶς add V* ‖ [6–7] *μον. - ἀδ.*] *al* ſ ‖ [7] *πατρ.*] *εἰς ἡμᾶς ὧδε ἐλθόντι add P* ‖ [8–9] *κατ. σου*] *σὸν κατ. P* ‖ [9] *ὁ ἄ.*] gloria tibi uigili ab omni aeternitate ſ ‖ *ἐν ὕ.*] homines ſ ‖ [10] *τοὺς - κατ. om* ſ ‖ [10–11] *Ἰ. Χρ. om* ſ ‖ [11] *υἱὲ τ. ζ. θ.* (*om alt τοῦ*) *Π: cf 207, 10* ‖ *τ. ζ. om* ſ ‖ [13] *ἴ.*] quietem ſ ‖ *τοῖς post ὄν. V om U* ‖ [14] *ὑπ.*] qui sustinuerunt ſ (*βαστάσασι eu Matth*) *post καύσ. P* ‖ *τ. ἡμ. om V* totius *add* ſ ‖ *κ. τ. κ.*] meridie (*uel* aestu) ſ ‖ *καύσ.*] *παγετὸν τῆς νυκτός D* (*cf genesis 31, 40; Ierem 43, 30*) *διὰ τὸ σὸν ὄνομα add U* ‖ [15] *π. σοῦ*] *παρ' αὐτοῦ U* ‖ [15–16] *καὶ - ἡμῖν om PV* ‖ [16] *χ. ἡμ.*] infirmitatis nostrae ſ ‖ *scr χαρισθείσῃ?* ‖ [16–17] *τῇ ἐ. - ἡμ.*] paupertatis nostrae ſ ‖ [18–19] *τέλεσον - σοί om P* ‖ [18] *εἰς om U* ‖ *ταῦτα*] gratiam et misericordiam tuam ſ ‖ [18–19] *ἵ. ἔ.*] et da nobis ſ ‖ [19] *σοί*] respice domine te solum nos amare *add* ſ ‖ *εἰς*] *scr ἐφ': cf 21 et q s* ‖ *ἡμᾶς ⟨κύριε⟩* (ſ)? *cf 21 et q s* ‖ [20] *κατελείπομεν P: cf 178, 1; 3; 8* ‖ *καὶ - ἡμ.*] et domos gentilium nostrorum ſ *om D* ‖ *τὰ γ.*] *πᾶν γένος P* ‖ [21] *ἑκόντως V*

ὅτι τὴν ἰδίαν κτῆσιν κατελείψαμεν διὰ σέ, ἵνα σὲ τὴν ἀναφαίρετον κτῆσιν κτησώμεθα· ἔπιδε ἐφ' ἡμᾶς κύριε, ὅτι τοὺς διαφέροντας ἡμῖν κατὰ γένος καταλείψαμεν, ἵνα τῇ σῇ συγγενείᾳ καταμιγῶμεν· ἔπιδε ἐφ' ἡμᾶς κύριε τοὺς καταλείψαντας 44 B τοὺς πατέ|ρας ἑαυτῶν καὶ τὰς μητέρας καὶ τοὺς τροφέας, ἵνα τὸν σὸν πατέρα θεασώμεθα καὶ κορεσθῶμεν τῆς αὐτοῦ τροφῆς τῆς θεϊκῆς· ἔπιδε ἐφ' ἡμᾶς κύριε, διὰ σὲ γὰρ τὰς συζύγους ἡμῶν τὰς σωματικὰς κατελείψαμεν καὶ τοὺς καρποὺς ἡμῶν τοὺς ἐπιγείους, ἵνα κοινωνήσωμεν ἐκείνῃ τῇ κοινωνίᾳ τῇ παραμόνῳ καὶ ἀληθινῇ, καὶ καρποὺς ἀληθινοὺς ἀποκυήσωμεν, ὧν ἡ φύσις ἄνωθεν ὑπάρχει, ὧν οὐδεὶς ἀφελέσθαι ἐξ ἡμῶν δύναται, οἷς παραμένομεν καὶ αὐτοὶ ἡμῖν παραμένουσιν.

Πρᾶξις ζ' περὶ τοῦ στρατηλάτου.

62 Τοῦ δὲ ἀποστόλου Ἰούδα Θωμᾶ καταγγέλλοντος ἐν πάσῃ τῇ Ἰνδίᾳ τὸν λόγον τοῦ θεοῦ στρατηλάτης τις τοῦ βασιλέως Μισδαίου ἦλθεν πρὸς αὐτόν, καὶ ἔλεγεν αὐτῷ· 201 W Ἀκήκοα περὶ σοῦ ὅτι μισθὸν παρά τινος οὐ λαμβάνεις, ἀλλ' ὅπερ καὶ ἔχεις τοῖς δεομένοις παρέχεις· εἰ γὰρ μισθοὺς ἐλάμβανες, ἀπέστειλα ἂν χρῆμα ἱκανόν, καὶ αὐτὸς ἐνθάδε οὐ παρεγενόμην· ὁ γὰρ βασιλεὺς ἐκτὸς ἐμοῦ οὐδὲν διαπράττεται· πολλὰ γὰρ ὑπάρχοντά μοί εἰσιν καὶ πλούσιός εἰμι, εἷς τῶν

---

[1] *κατελείπαμεν P: cf 8* ‖ *διὰ σέ om P* ‖ *σὲ] σου P* ‖ [2] *κτῆσιν]* uitae *add* ſ ‖ [2–7] *ἔπιδε - θεϊκῆς om P* ‖ [6] *πατ.]* summum (*uel* elatum?) *add* ſ ‖ [7] *διὰ γάρ σε V ὅτι διὰ σὲ P: recte?? cf 1; 2; 177, 19* ‖ [8] *κατελείπαμεν P: cf 1; 177, 20* ‖ [8–9] *ἐπιγ. ὡς αὔτως (cf 203, 11; 214, 2-3; 216, 14-15; 230, 15) καρπ. ἡμ. (om alt τοὺς) P: cf 7-8; 207, 10* ‖ [9–10] *κοιν. - ἀλ.] al* ſ ‖ [9] *κοινωνήσοιμεν V: cf 10* ‖ [10] *ἀληθινῇ] ἀληθῆ P* ‖ *ἀληθινοὺς]* caelestes ſ ‖ *ἀποκυήσοιμεν V: cf 9* ‖ [10–11] *ὧν ἡ φ.]* qui ſ: *cf 11* ‖ [11] *ὃν U ὧ V: scr οὓς??* quos ſ ‖ [11–12] *ἀφ. - δ.] δ. ἀφ. ἐξ ἡμ. τὴν ἀπόλαυσιν D: recte (cf 10-11 ὧν ἡ φ.)??* ‖ [11] *ἀφ' ἡμ. ἀφελ. P* ‖ [12] *post παραμένουσιν deficit D*

PRUV [13] *π. τ. στ. πρ. ζ' P om V* ‖ *ζ'] ἑβδόμη U ἑτέρα R* ‖ [14] *Ἰ. om V τοῦ καὶ add P: cf 170, 16* ‖ [15] *τ. λ. τ. θ. om RU* (ſ?)*: del? cf 165, 9; 168, 1; cet* ‖ [16] *μισδέου R μισγδαίου V om* ſ ‖ *κ. ἔλ.* (ſ)*] λέγων P* ‖ *λέγει V* ‖ *αὐτῷ om P δοῦλε τοῦ ὄντως θεοῦ add V plura add* ſ (m) ‖ [18] *ἀλλὰ καὶ ἅπερ V* ‖ *scr ὅ τι?? cf c 139 i* ‖ *καὶ om R: del?? cf 227, 22* ‖ [19] *χρήματα ἱκανὰ V: recte? cf c 124 e; 130 m; 151 e* ‖ *οὐ] μὴ add P* ‖ [20] *παρ' ἐγενάμην R παραγέγονα P* ‖ *ὁ γ.] καὶ γ. ὁ P: cf 215, 10* ‖ [21] *γὰρ] δὲ καὶ V* ‖ *εἰσὶ τὰ ὑπ. μου P: cf 137, 10; 227, 11; c 147 m* ‖ *εἰμι] σφόδρα εἰμὶ P εἰμὶ σφόδρα V εἰμι, ⟨καὶ εἰμι⟩?* (ſ) ‖ [21]–179,[1] *εἷς τ. πλ.] εἰς τὸν πλοῦτον τὸν R om PV* uir magnus ſ

πλουτούντων ἐν τῇ Ἰνδίᾳ· καὶ οὐδ' ὅλως ἠδίκησά ποτέ τινα· τὸ δὲ ἐναντίον μοι συνέβη· γαμετὴν ἔχω, καὶ ἔσχον ἐξ αὐτῆς θυγατέρα, καὶ πάνυ διάκειμαι πρὸς αὐτήν, ὡς καὶ ἡ φύσις ἀπαιτεῖ, ἄλλης δὲ γυναικὸς οὐ πεπείραμαι. ἔτυχεν δὲ γάμον γενέσθαι ἐν τῇ ἡμετέρᾳ πόλει, καὶ πάνυ μοι προσφιλεῖς ἦσαν οἱ τὸν γάμον ποιοῦντες· εἰσελθόντες οὖν ἠξίουν με καλοῦντες αὐτὴν καὶ τὴν θυγατέρα αὐτῆς. ἐπεὶ οὖν πάνυ μοι φίλοι ἦσαν, οὐκ ἠδυνήθην παραιτήσασθαι· ἀπέστειλα οὖν αὐτὴν καίπερ μὴ βουλομένην ἀπελθεῖν, πολλοὺς δὲ καὶ οἰκέτας συναπέστειλα αὐταῖς. ἀπῄεσαν οὖν κόσμον πολὺν κεκοσμημέναι αὐτὴ καὶ ἡ | θυγάτηρ αὐτῆς· 45 B

63 ἑσπέρας δὲ γενομένης καὶ καιροῦ ἐστάντος ἀναλῦσαι ἀπὸ τῶν γάμων λαμπάδας καὶ δᾷδας ἔπεμψα εἰς ἀπάντησιν αὐτῶν· κἀγὼ ἐν τῇ ὁδῷ εἱστήκειν κατοπτεύων πότε ἔλθῃ καὶ θεάσομαι αὐτὴν σὺν τῇ θυγατρί μου. καὶ ἑστὼς φωνὴν ὀλολυγμοῦ ἤκουον· Οὐαὶ αὐτῇ ἐκ παντὸς στόματος ἠκούετο· οἱ δὲ δοῦλοι τὴν ἐσθῆτα ἔχοντες περιερρηγμένην ἤρχοντο πρός με ἀναγγέλλοντες τὰ γενόμενα. Εἴδομέν φησιν ἄνθρωπόν τινα καὶ παῖδα σὺν αὐτῷ· καὶ ὁ μὲν ἄνθρωπος ἐπέβαλεν αὐτοῦ τὴν χεῖρα ἐπὶ τὴν γυναῖκά σου καὶ

[1] ἐν τ. Ἰ. *om PV* per omnem Indiam ſ ‖ καὶ *om P* ‖ ὅλ.] δὲ *add P* ‖ π. τ. ἠδ. *P* ‖ [2] τὸ - σ.] καὶ τόδε σ. μοι τὸ ἐν. *V* ‖ τὸ - ἐν.] ἐν. δὲ τι *P* ‖ τὸ] *scr* τοῦτο? (ſ) ‖ [3] θυγατέραν *V* ‖ ὡς] ὃ *RU* ‖ [4] ἀπήτη *U* praecipit ſ: *cf 209, 9* ‖ πεπ.] ποτὲ *add V* ‖ [5] ὑπῆρχον *P: cf 8* ‖ [6] ἠξ. με] ᾔτουν *P: cf 115, 13; 137, 6; 205, 1; al* ‖ [6–7] καλ. - θ. α.] conuiuium parauerunt ei et filiae eius ſ ‖ καλ. α.] τὴν ἐμὴν στῆλαι γυναῖκα *P* ‖ [7] α. θυγ. *P: cf 11* ‖ μοι] ὡς εἶπον *add P: cf 119, 12* ‖ [7–8] ἐτύγχανον φ. *P: cf 5* ‖ [8] παρ. τούτους οὐκ ἠδυνάμην *P* ‖ ἠδυνήθησαν *V* ‖ ἀπ.] ἑκατέρας *P: cf c 129 i* ‖ [8–9] αὐτ. - ἀπ.] ἀπ. ἔπεισα *P* ‖ [8] αὐταῖς *R* ‖ [9] καίπ. (ſ) *om RU* ‖ οὐ *RU* ‖ βουλευομέναις *R* ‖ συν.] ἀπέστειλα σὺν *P: cf 114, 1* ‖ [10] αὐτοῖς *V: scr* αὐτῇ? (ſ) ‖ ἀπῆλθον *R* ‖ [11] αὐτὴ] ἥ τε ἐμὴ γαμετὴ *P* ‖ ταύτης θ. *P: cf 7* ‖ [12] καὶ] τοῦ *add P* ‖ ἐνστάντος *UV* (*recte??*) ἐκστάντος *R: scr* ἐπιστάντος? *cf 119, 4; 174, 1* ‖ ἀν.] αὐτὰς *add P* ‖ [13] ἐκ *P: cf 180, 21* ‖ [14] ἑστήκην *R* ἱστάμην *V* ‖ [15] ἔ. - μου] τὴν ἐμὴν γαμετὴν (*cf 11*) ἅμα τῇ θυγ. μου θε. *P* ‖ θε.] ἀσπάσομαι *U* et acciperem *add* ſ ‖ ἑστ.] εὐθέως *P* dum sto ibi ſ ἐπὶ ὥραν ἱκανὴν *add V* ‖ [16] ὠλολύζουσαν *P* et uocem fletus *add* ſ ‖ οὐ. α. *om P iterat* ſ ‖ ⟨καὶ⟩ Οὐαὶ? (ſ) ‖ αὐτὴν *RV* καὶ *add RU(V)* ‖ π.] δὲ *add P* ‖ στ.] οὕτως *add P* ταῦτά μοι *add RUV* ‖ [18] ἤ. - γεν.] ἥκασιν το συμβᾶν ἀπαγγέλλοντες *P: cf 180, 5; 167, 8* ‖ γεν.] ὅτι *add V* ‖ φ. ἴδωμεν *V* ‖ *scr* φασιν?? *cf Io 153, 26; al* ‖ [19] τινα *om R* ‖ κ. π. σ. α.] et alter puer erat cum eo qui erat similis ei ſ: *cf 180, 17* ‖ [20] τ. χ. αὐτοῦ *V: cf 150, 19* ‖ τὰς χεῖρας *P* ‖ γυναῖκαν *V*

ὁ παῖς ἐπὶ τὴν θυγατέρα σου, αἳ δὲ ἔφυγον ἀπ' αὐτῶν· ἡμεῖς
202 W δὲ τοῖς ξίφεσιν ἐτρώσαμεν αὐτούς· τὰ δὲ ξίφη ἡμῶν εἰς
γῆν ἔπεσον. καὶ αὐτῇ τῇ ὥρᾳ κατέπεσον αὐταὶ ταῖς ὀδοῦσι
τρίζουσαι καὶ τὰς κεφαλὰς εἰς γῆν κρούουσαι· καὶ ταῦτα
εἰδότες ἤλθομεν ἀναγγεῖλαί σοι. Ταῦτα δὲ παρὰ τῶν δούλων
ἀκούσας ἐγὼ τὴν ἐσθῆτα περιέρρηξα, καὶ τὰς χεῖρας ἐπὶ τὴν
ὄψιν ἐπάταξα, καὶ ὥσπερ ἐμμανὴς γενόμενος ἔτρεχον τὴν ὁδόν·
καὶ ἀπελθὼν εὗρον αὐτὰς ἐρριμμένας ἐν τῇ ἀγορᾷ· καὶ λαβὼν
αὐτὰς ἤγαγον εἰς τὴν οἰκίαν μου, καὶ μετὰ πολλὴν ὥραν
ἔνηψαν, καὶ κατασταθεῖσαι ἐκαθέσθησαν.

64 ἠρξάμην οὖν ἐξετάζειν τὴν γυναῖκά μου· Τί ἐστιν τὸ
συμβάν σοι; Ἡ δέ μοι ἔφη· Οὐκ ἔγνως ἃ διεπράξω ἐν ἐμοί;
ἐδεόμην γάρ σου μὴ ἀπιέναι εἰς τὸν γάμον, ἐπειδὴ ἀνωμάλως
εἶχον τῷ σώματί μου· καὶ ἀπιοῦσα κατὰ τὴν ὁδόν, ἐγγὺς
γενομένη τοῦ ἀγωγοῦ ἐν ᾧ τὸ ὕδωρ ἔρρεεν, ἔβλεπον ἄνδρα
46 B μέλανα ἑστῶτα ἀντικρύς μου, τῇ κεφαλῇ αὐτοῦ ὑπο|γρυλίζοντά
με, καὶ παῖδα ὅμοιον αὐτοῦ παρεστῶτα. καὶ εἶπον τῇ θυγατρί μου· Ἄπιδε εἰς τοὺς ἄνδρας τούτους τοὺς δύο τοὺς δυσειδεῖς, ὧν οἱ ὀδόντες αὐτῶν ὥσπερ γάλα, τὰ δὲ χείλη αὐτῶν
ὡς ἀσβόλη. Καὶ καταλείψασαι αὐτοὺς πρὸς τὸν ἀγωγὸν
ἀπήλθομεν. δύσεως δὲ γενομένης καὶ ἀπὸ τῶν γάμων ἀνα-

---

[1] θυγατέραν RV ‖ σου om V ‖ ἔφ.] cum horrore add ſ ‖ [3] ἔπεσαν U (cf q s) ἔπεσεν R ‖ κατέπεσαν U καὶ add V ‖ αὗται P mulieres ſ ‖ τοῖς UV recte: cf 19; 107, 8 ‖ [4] εἰς] τὴν add P: cf 2-3 ‖ [4–5] καὶ τ. ε.] τ. οὖν ε. R αὐτὰ οὖν τ. ε. U ἡμεῖς δὲ τ. ε. V ‖ [5] εἰδ.] θεασάμενοι V om RU ſ: scr ἰδόντες? del? cf 167, 8 ‖ ἀπαγγεῖλαι R: cf 179, 18 ‖ [6] διέρρηξα P: cf 179, 17 ‖ ταῖς χερσὶν (om ἐπὶ) P: cf 211, 8; c 137e; cf etiam 132, 1 ‖ [7] γεν. om RU ſ: del? cf 157, 21; Aa 39, 6; al ‖ scr περιέτρεχον?? (ſ) ‖ τ. ὁδ. om PRU in platea ſ: del?? ⟨εἰς⟩ (uel ⟨κατὰ⟩ cf 14; 185, 18) τὴν ὁδόν? ‖ [9] ἤγ. post μου P ‖ ἡμέραν V ‖ [10] ἀνένηψαν U ad sese redierunt ſ ‖ κ. κ. ἐκ.] et refeci (et) assidere iussi ſ ‖ κατ.] καὶ εἰς ἑαυτὰς γενάμεναι add P ‖ [11–12] ἐξ. - σοι] πρὸς τ. γυν. μ. τὸ συμβ. ἐξ. P ‖ [11] γυναῖκαν RV ‖ [12] ἣ - ἔφη] καὶ φησίν P ‖ μοι (ſ) om V ‖ οἶδας P ‖ [13] ἐδ. - γάμ.] οὐκ ἐπὶ τὸ μὴ ἀπ. ἡμᾶς παρεκάλουν σοι P ‖ ἀπελθεῖν V: cf 14 ‖ [13–14] ἐπ. - μου] ἀν. γὰρ ἐπὶ τῷ ἀπιέναι εἶχον ἐκεῖ P ‖ [14] καὶ] ὅμως οὖν P ‖ κ. τ. ὁδ.] καὶ P ‖ ἐγγ.] δὲ add RU: cf 181, 1 ‖ [15] τ. ἀγ. γεναμένων ἡμῶν P ‖ εἶδον P ‖ [16] μέλαινα P μέλαν RV ‖ ἄντικρυ ἡμῶν P: cf 119, 6 ‖ [16–17] αὐτ. με ὑπ. κεφ. P ‖ [17] μοι R ‖ καὶ prius] alterum add ſ: cf 179, 19 ‖ παῖδα] αὐτοῦ add RU ‖ [17–18] ε. τ. θ. μ.] πρὸς τὴν ἡμῶν θυγατέρα ε. P ‖ [18] ἴδε P ‖ τ. δύο τούτ. ἄ. τ. (om tertio τοὺς) P: cf 207, 10 ‖ δυσ.] et filia mea dixit mihi: Vidi puerum add ſ ‖ [19] cuius ſ ‖ αὐτῶν alt om RUV eius ſ: del? ‖ [20] carbones ſ ‖ καταλειπόντες P: cf 109, 13; 181, 1-2 ‖ [21] ἡλίου δὲ δύνοντος P ‖ [21–181,1] ἀν. δι. ἡμ.] ἡμ. ἐπανιόντων P

λύσασαι, διερχομένων ἡμῶν σὺν τοῖς νεανίσκοις, ἔγγιστα γενομένων τοῦ ἀγωγοῦ, ἡ θυγάτηρ μου πρότερον εἶδεν αὐτούς· καὶ διαλαθοῦσα προσέφυγέν μοι· καὶ μετὰ ταύτην κἀγὼ αὐτοὺς ἐθεασάμην ἐρχομένους κατέναντι ἡμῶν, καὶ ἐφύγαμεν ἀπ' αὐτῶν· οἱ δὲ παῖδες οἱ ὄντες μεθ' ἡμῶν κρούσαντες ἡμᾶς κατέβαλον ἐμέ τε καὶ τὴν θυγατέρα μου. Καὶ ταῦτα αὐτῆς διηγησαμένης 203 W *μοι ἐπῆλθον αὐταῖς πάλιν οἱ δαίμονες καὶ κατέβαλον αὐτάς· καὶ ἀπ' ἐκείνης τῆς ὥρας προελθεῖν οὐ δύνανται ἔξω, ἐγκεκλεισμέναι οὖσαι ἐν ἑνὶ οἴκῳ ἢ δευτέρῳ. καὶ διὰ ταύτας πολλὰ ἐγὼ πάσχω καὶ ἀνιῶμαι· καταβάλλουσιν γὰρ αὐτὰς ὅπου ἐὰν εὕρωσιν καὶ ἀπογυμνοῦσιν. δέομαί σου καὶ ἱκετεύω ἔμπροσθεν τοῦ θεοῦ, βοήθησον καὶ ἐλέησόν με. τρία γὰρ ἔτη εἰσὶν ἀφ' οὗ τράπεζα ἐν τῇ οἰκίᾳ μου οὐκ ἐτέθη καὶ ἡ γυνή μου καὶ ἡ θυγάτηρ μου εἰς τράπεζαν οὐκ ἐκάθισαν· καὶ μάλιστα διὰ τὴν θυγατέρα μου τὴν ἀθλίαν, ἣ οὐδ' ὅλως τι ἀγαθὸν εἶδεν ἐν τῷ κόσμῳ τούτῳ.*

65 *Ταῦτα ἀκούσας ὁ ἀπόστολος παρὰ τοῦ στρατηλάτου*

---

[1] *ἡμ.] ἦμεν add RV* ‖ *σ. τ. ν.] μετὰ τῶν συνόντιων νεανίσκων ἡμῶν P* ‖ *ἔ.] ἔ. δὲ UV (cf 180, 14) καὶ ἔ. P* ‖ [1–2] *τ. ἀγ. γενόμενοι P* ‖ [1] *γ. om R* ‖ [2] *μου] ἡμῶν P* ‖ *πρώτη RU: cf 3* ‖ [3] *διελθοῦσα R θορυβηθεῖσα V* ‖ *κ. μ. τ.] εἶθ' οὕτως P* post eam ſ ‖ *ἐγὼ RUV* ego quoque ſ ‖ [4] *ἐρχ. κ. ἡ.] πρὸς ἡμᾶς ἐ. P* ‖ *ἔναντι U* ‖ *ἐφύγομεν RV φυγάδαι γεγόναμεν P: scr ἔφυγον? (ſ)* ‖ [5] *ἀπ'] ἐξ P* ‖ *οἱ δὲ μ. ἡ. ὄ. π. (om alt οἱ) P* ‖ *δὲ del? (ſ)* ‖ *ἡμῶν· <οἳ δὲ>? (ſ?)* ‖ [5–6] *κρ. - μου]* et mulcarunt me et filiam meam et abiecerunt nos ſ ‖ [5] *ἡμᾶς om P* ‖ [5–6] *ἐ. τε κ. τ. σὴν θ. κατ. P* ‖ [6] *κατέβαλλον R: cf 7* ‖ *θυγατέραν RV* ‖ *μου] ἔρριψαν add RUV* ‖ [7] *ἐπελθόντες P* ‖ *αὐτὰς U om P πάλιν om PRU: del? cf ſ et 163, 13* ‖ *οἱ δ. om ſ* ‖ *καὶ om P* ‖ *κατέβαλλον R (cf 6)* iterum *add ſ* ‖ [8] *οὐ δ. ἔ.] ἔ. τῆς οἰκίας οὐ δ. P non nulla add ſ* ‖ *δύναται RV* ‖ *ἔξω] ἀλλ' add R* ‖ [9] *ἐγκ. - δευτ. om P* inclusae sunt a me in conclaui intra alterum (conclaue) ſ ‖ [9–10] *καὶ - ἀν.]* propter risum qui per eas factus sum ſ: *cf 225, 7* ‖ [9] *διὰ τ.] τούτου ἕνεκεν P* ‖ [10] *π. ἐ. π] πάσχω ἐπὶ πολλὺ ἐ. V* ‖ *π. ἐ. om RU* ‖ *πάσχω κ. om P* ‖ *ἀν.] καὶ τῇ λύπῃ λίαν καταβαπτίζομαι add P (cf 15) πάνυ add V* ‖ [10–11] *κατ. - εὕρ.] καὶ γὰρ (cf 215, 10) ὅπου δ' ἂν (cf 151, 1) εὕρ. α. καταβάλλωσιν P* ‖ [11] *κ. ἀπ.] ἀπογυμνοῦντες RU* ‖ *δ.] δ. οὖν U recte ut uid (ſ) καὶ δ. P* ‖ *σε U om P καὶ παρακαλῶ add P: cf 170, 8; 177, 1* ‖ [11–12] *ἱ. ἔ.] ἔ. ἱ. σε P* ‖ [12] *ἔ. τ. θ. om ſ* ‖ *βοήθ.] με add U* ‖ [13] *εἰσὶν om RU: del??* ‖ [14] *μου prius om RU* ‖ [15] *κ. μάλ. (ſ)] περισσοτέρως δὲ οἶδα (cf 139, 4) τῇ λύπῃ καταβαπτίζεσθαι P: cf 10* ‖ *τ. ἀ. μ. θυγ. (om alt τὴν) P: cf 207, 10* ‖ [15–16] *ἣ - τούτῳ] οὐδέπω γὰρ κατὰ τὸν ὧδε (cf 192, 6) ἔφθασεν κόσμον χαρῆναι P* quae nullam uoluptatem cepit ſ ‖ [16] *εἶδεν τι ἀγ. R* ‖ [17] *παρὰ] ἀπὸ RUV: cf 227, 3; 122, 6; 180, 5; c 130i; 137e*

πάνυ ἐλυπήθη περὶ αὐτοῦ· εἶπεν δὲ προς αὐτόν· Πιστεύεις
ὅτι θεραπεύει αὐτὰς ὁ Ἰησοῦς; Ὁ δὲ στρατηλάτης Ναί |
47 B *φησιν· καὶ ὁ ἀπόστολος· Παράθου οὖν τῷ Ἰησοῦ σεαυτόν,*
καὶ αὐτὸς αὐτὰς θεραπεύει, ποιούμενος αὐτῶν βοήθειαν.
Εἶπεν δὲ ὁ στρατηλάτης· Δεῖξόν μοι αὐτόν, ἵνα δεηθῶ αὐτοῦ
καὶ πιστεύσω εἰς αὐτόν. Εἶπεν δὲ ὁ ἀπόστολος· Οὐ φαίνεται
τούτοις τοῖς ὀφθαλμοῖς τοῖς σωματικοῖς, ἀλλ' ἐν τοῖς ὀφθαλ-
204 W *μοῖς τῆς ἐννοίας εὑρίσκεται. Ἐπάρας οὖν τὴν φωνὴν αὐτοῦ*
ὁ στρατηλάτης εἶπεν· Πιστεύω σοι Ἰησοῦ, καὶ δέομαί σου καὶ
ἱκετεύω, βοήθησον τῇ ὀλιγοπιστίᾳ μου ἣ εἰς σὲ ἔχω. Παρε-
κελεύσατο δὲ ὁ ἀπόστολος Ξενοφῶντι τῷ διακόνῳ συναγαγεῖν
πάντας εἰς ἕν· συναθροισθέντος δὲ παντὸς τοῦ ὄχλου ὁ ἀπό-
στολος ἑστὼς ἐν μέσῳ ἔλεγεν·

66 *Τέκνα μου καὶ ἀδελφοὶ οἱ εἰς τὸν κύριον πιστεύσαντες, παραμείνατε ἐν ταύτῃ τῇ πίστει, εὐαγγελιζόμενοι Ἰησοῦν τὸν ἐξ ἐμοῦ ὑμῖν καταγγελθέντα, ἔχοντες ἐν αὐτῷ τὰς ἐλπίδας· καὶ μὴ ἀπολειφθῆτε αὐτοῦ, καὶ οὐ καταλιμπάνει ὑμᾶς. καθευδόντων ὑμῶν ἐν τῷ ὕπνῳ τούτῳ τῷ καταβαροῦντι τοὺς καθεύ-*

[9] cf Marc 9, 24

---

[1] *περὶ α. ἐλ. P* ‖ *αὐτῶν UV* ‖ *πρὸς α.] αὐτῷ RU τῷ στρατηλάτι V ὁ ἀπόστολος add P* ‖ [1–2] *πιστ. - Ἰ.]* si credis domino meo Iesu Christo, posse eum sanare eas, uidebis earum salutem ſ si credideris, sanabitur filia coniunxque tua m ‖ [2] *θεραπεύσει P* ‖ *αὐτ.] τοῦτο P* ‖ *ὁ Ἰ.] ἰησοῦς ὁ χριστὸς P* ‖ [2–3] *ὁ δὲ - ἀπ.] al et plura* ſ ‖ [3] *σαυτὸν τῷ ἰησ. V* ‖ *ἑαυτὸν RU* ‖ [4] *θεραπεύσει τὴν βο. αὐτ. ποι. P* ‖ [5–6] *α. ἵ. - πιστ.]* quomodo possim orare eum et credere ſ ‖ [5] *αὐτοῦ] αὐτὸν U* ‖ [6] *ε. α.] αὐτῷ R* ‖ *εἶπεν - ἀπ.] λέγει αὐτῷ ὁ ἀπ. V ὁ δὲ ἀπ. ἔφη RU* ‖ [6–8] *οὐ - εὑρ.] al et plura* ſ ‖ [6–7] *φ. - σωμ.] τ. ὀφθ. τ. σωμ. τούτ. ὁρᾶται P: cf 7 - 8* ‖ [7] *τ. σωμ. ὀφθ. (om alt τοῖς) V: cf 207, 10* ‖ *ἀλλὰ R* ‖ [7–8] *ὀ. τ. ἐνν. εὑ.] νοεροῖς οἶδεν φαίνεσθαι (cf 139, 4) ὀ. P* ‖ *τ. ἐνν. ὀφθ. V* ‖ [8] *τ. ἐνν.] τῶν πιστῶν R* ‖ [9] *σοι Ἰ.] κύριε ἰησοῦ χριστὲ P plura add* ſ ‖ [10] *ἣ - ἔ.]* et timori meo, nam ad te refugio ſ ‖ *ἣ P ἣν U* ‖ [10–11] *ὁ δὲ ἀπ. π. V* ‖ [11] *ξεν. τῷ δ. αὐτοῦ (recte?* suo ſ) *ὁ ἀπ. R* ‖ Xanthippo ſ: *cf 183, 7; 184, 18* ‖ [12] *σ. - ὁ.]* cumque coegisset eos ſ qui cum uenissent m ‖ *παντὸς om P: del?* ‖ *λαοῦ R* ‖ [12–13] *στὰς ὁ ἀπ. ἐν μ. αὐτῶν V* apostolus uenit et stetit in medio eorum ſ ‖ [13] *ἐν μ. ἑστ. P* ‖ [14] *οἱ - πιστ.]* in domino nostro Iesu ſ ‖ *κύρ.] ἡμῶν ἰησοῦν χριστὸν add V* ‖ [15] *εὐ. Ἰ.] corrupta?* et confidite in domino nostro Iesu Christo ſ ‖ [16] *ἐξ] ὑπὸ R: cf 165, 9; 196, 19* ‖ *κατ. ὑμ. P* ‖ *εἰς αὐτὸν P* ‖ [17] *αὐτοῦ] ποτε add P* ‖ [17–18] *κατ. ὑ. καθ. ὑμῶν] μὴ καὶ αὐτὸς καθ. ὑμῶν καταλείπῃ P* ‖ [17] *καὶ alt]* quia ſ ‖ *οὐκ ἐγκαταλιμπάνει R: cf 154, 11; 183, 7* ‖ *καθ.] ἀλλὰ καθ. V ⟨καὶ⟩ καθ.??* ‖ [18] *τ. καθ. om P τούτῳ τῷ κατ. ὑμᾶς ὕπνῳ (om alt τῷ) P: cf 207, 10* ‖ *βαροῦντι U* ‖ *τ. καθ. om P*

δοντας αὐτὸς ἄυπνος ὢν διαφυλάσσει· καὶ ἐν θαλάσσῃ πλεόν-
των ὑμῶν καὶ ἐν κινδύνῳ ὄντων καὶ οὐδενὸς βοηθεῖν δυνα-
μένου αὐτὸς περιπατῶν ἐπὶ τῶν ὑδάτων ὑπορθοῖ βοηθῶν.
ἐγὼ γὰρ ἤδη ἄπειμι ἐξ ὑμῶν, καὶ ἄδηλόν ἐστιν εἰ ἔτι ὄψομαι
ὑμᾶς κατὰ σάρκα. μὴ οὖν καὶ ὑμεῖς ἐξομοιωθῆτε τῷ λαῷ
Ἰσραήλ, οἵτινες ἀπιδόντες τοὺς ποιμένας πρὸς ὥρας καιρὸν
ἐσκανδαλίσθησαν. Ξενοφῶντα δὲ τὸν διάκονον καταλιμπάνω
πρὸς ὑμᾶς εἰς τὸν τόπον μου· καὶ γὰρ καὶ αὐτὸς ὥσπερ κἀγὼ
καταγγέλλει τὸν Ἰησοῦν· οὔτε γὰρ ἐγώ εἰμί | τι οὔτε αὐτός, 48 B
ἀλλὰ Ἰησοῦς· καὶ γὰρ κἀγὼ ἄνθρωπός εἰμι σῶμα ἐνδεδυμένος,
υἱὸς ἀνθρώπου ὡς εἷς ἐξ ὑμῶν· οὔτε γὰρ πλοῦτον ἔχω ὡς
ἐνίοις εὑρίσκεται, ὃς καὶ τοὺς κεκτημένους ἐλέγχει ἀποίητος
παντάπασιν ὑπάρχων καὶ καταλιμπανόμενος ἐπὶ τῆς γῆς ἀφ᾽ ἧς 205 W
καὶ ἐγένετο· τὰ δὲ ἐκ τούτου τοῖς ἀνθρώποις συμβαίνοντα
παραπτώματα καὶ τὰς κηλῖδας τῶν ἁμαρτιῶν συναποφέρεται.
σπανίως δὲ πλούσιοι εὑρίσκονται ἐν ἐλεημοσύναις· οἱ δὲ ἐλεή-

[3] cf Io 6, 19 ‖ [6] cf exod 32 ‖ [16] cf Matth 5, 7

---

[1] ὢν] ὑμᾶς *add R* ‖ διαφ.] πάντας ἡμᾶς *add P*: ⟨ὑμᾶς⟩? (ſ) *cf R* ‖ καὶ *om P* ‖ ἐν] τε τῇ τοῦ βίου τούτου *add P* ‖ θαλ.] ποτὲ *add V* ‖ [2] ἡμῶν *PV* ‖ ὄ.] ἡμῶν ὄ. *P* ὄ. ἡμῶν *R* ‖ [2–3] κ. οὐδ. - βοηθῶν] ἀεὶ βοηθεῖν οἶδεν ἡμᾶς *P*: *cf 139, 4* ‖ [3] ὑπ. βο.] ἐπέστη ἡμῖν βο. *V* ‖ [4] ἤδη] αὐτὸς *RU om V* tum ſ ‖ ἐξ ὑ. ἄπ. *P* ‖ [4–5] ὄψ. - σ.] κ. σ. ὄψ. πάλιν ὑμ. *P* ‖ [6] ἀπ. τ. π.] τὸν ἴδιον ποιμένα καταλιπόντες *P*: *scr* ἀπιόντος (*cf* 4) τοῦ ποιμένος? (ſ) ‖ ἀπ.] Mose *add* ſ ‖ [6–7] πρὸς - ἐσκ.] τῇ τούτων παρεδόθησαν ἀπολείᾳ *P* ‖ [7] Ξεν.] λοιπὸν *R* Xanthippum ſ: *cf 182, 11* ‖ [7–8] εἰς τ. ἐμὸν καταλ. τόπ. ὑμᾶς (*om* πρὸς) *P* ‖ [8] κ. γ. κ.] κ. γ. *R* ‖ ὡς *P* ‖ [9] τ. Ἰησ. κατ. *P*: *scr* καταγγελεῖ?? (ſ) *cf 182, 4; al* ‖ [9–10] οὔτε γ. - Ἰ. *om* ſ ‖ [9] εἰμί] ἀφ᾽ ἑαυτοῦ οἶδα λέγειν *P*: *cf 139, 4* ‖ τι *om R* ‖ αὐτός] ἄλλος *U* ‖ [10] ἀλλὰ] ἀλλ᾽ ὁ *P* ‖ κἀγὼ] ἐγὼ αὐτὸς *RUV* ‖ [10–11] σῶμα - ἐξ] σάκρα φορῶν ὡς καὶ ὑμεῖς καὶ ὡς εἷς οἶδα τυγχάνειν (*cf 139, 4*) *P* ‖ σῶμα - ἀνθ. *om* ſ: *del??* ‖ [10] σῶμα] θνητὸν *add V* ‖ ἐνδ.] καὶ *add V* καὶ παθεῖν ὑπὲρ αὐτὸν δίψῳ καὶ λόγχαις τὸ τέλος πρὸς αὐτόν με διαβῆναι *add dein sine ullo lacunae indicio sequuntur illa* ἔτι δὲ νυκτὸς οὔσης *c 156i R*

PUV [11] ο. γ.] καὶ ο. *V*: *scr* οὐδὲ γ.? ‖ ἔχωμεν *U* κέκτημαι *P* habeo ſ ‖ ὡς *alt*] *scr* ὃς? (ſ) ‖ [12] ἐ. ε.] ἔνιοι τοῦτον ἔχειν ὀρέγουσι *P* ‖ ἐλ.] οἶδεν ἐλέγχειν ὡς *P*: *cf 139, 4* ‖ ἀποίητον *P*: *scr* ἀνόνητος? (ſ): *cf 117, 11* ‖ [13] ὑπ.] ὄντα τῷ βίῳ *P* ‖ [13–15] κ. κατ. - συναπ.] *al V* ‖ [13–14] κ. κατ. - ἐγ.] κ. γὰρ ἀπὸ γῆς (γ *ex* τ: *l* τῆς γῆς *cf 170, 7*) ἔρχεται καὶ εἰς τὴν γῆν πάλιν ἀφείεται *P* ‖ [13] κ. κατ.] quoniam relinquit eum ſ: *scr* καὶ γὰρ καταλιμπάνει αὐτὸν?? ‖ [14] ἐκ - συμβ. (ſ) *om U* ‖ [15] κ. τ. κ. τ. ἁμ. *om P* ‖ συναπίονται *P* ‖ [16] σπ. δὲ] ἀλλὰ καὶ σπ. *P* (*cf 213, 26*) sunt quidam (tantum) qui sint diuites et benigni ſ ‖ πλούσιος εὑρίσκεται ἐλεήμων *P* ‖ [16]–184,[2] οἱ δὲ - θεοῦ *om* ſ ‖ [16] οἱ δὲ ἐλ. *om V*

μονες καὶ ταπεινοὶ τῇ καρδίᾳ αὐτοὶ κληρονομήσουσιν τὴν βασιλείαν τοῦ θεοῦ. οὐ γὰρ τὸ κάλλος τοῖς ἀνθρώποις παράμονόν ἐστιν· οἱ γὰρ τούτῳ θαρροῦντες τοῦ γήρους καταλαμβάνοντος αἰφνιδίως καταισχυνθήσονται. πάντα οὖν καιρὸν ἔχει· καιρῷ οὖν φιλεῖται καὶ καιρῷ μισεῖται. ἔστω οὖν ἡ ἐλπὶς εἰς Ἰησοῦν Χριστὸν τὸν υἱὸν τοῦ θεοῦ τὸν ἀεὶ φιλούμενον καὶ ἀεὶ ποθούμενον. καὶ μέμνησθε ἡμῶν ὡς καὶ ἡμεῖς ὑμῶν. ἡμεῖς γὰρ αὐτοῖς ἐὰν μὴ τὸ τῶν ἐντολῶν φορτίον τελέσωμεν, οὐκ ἄξιοί ἐσμεν κήρυκες εἶναι τοῦ ὀνόματος τούτου, καὶ ὕστερον τιμωρίαν ἀποτίσομεν τῆς ἑαυτῶν κεφαλῆς.

67 Καὶ συνευξάμενος αὐτοῖς, πολλὴν ὥραν παραμείνας τῇ εὐχῇ καὶ τῇ δεήσει, παραθέμενος αὐτοὺς τῷ κυρίῳ εἶπεν· Κύριε ὁ δεσπόζων πάσης ψυχῆς τῆς ἐν σώματι οὔσης· κύριε πάτερ τῶν ψυχῶν τῶν εἰς σὲ τὰς ἐλπίδας ἐχουσῶν καὶ προσδεχομένων τὰ ἐλέη σου· ὁ λυτρούμενος ἀπὸ τῆς πλάνης τοὺς ἰδίους ἀνθρώπους καὶ ἐλευθερῶν ἀπὸ τῆς δουλείας καὶ φθορᾶς τοὺς ὑπηκόους καὶ ἐρχομένους εἰς τὸ καταφύγιόν σου· σὺ γενοῦ ἐν τῇ ποίμνῃ τοῦ Ξενοφῶντος, καὶ ἀλείψας αὐτὴν ἐλαίῳ ἁγίῳ θεράπευσον ἀπὸ τῶν ἑλκῶν καὶ διατήρησον

[1] cf Matth 11, 29; 5, 4 ‖ [4] cf Eccles 3, 1; 8

[1–2] *τὴν τ. θ. κληρ. β. P* ‖ [2–3] *οὐ - π. ἐ.*] neque est mihi ulla uenustas humana ſ ‖ [2] *οὐ γὰρ*] *ἀλλ' οὐδὲ V* ‖ [3] *ἐ. π. V ἐπὶ πολὺ παραμένει P: cf 154, 3* ‖ *οἱ - θαρρ. om P* ‖ *τ. γ. κ. om* ſ ‖ *τοῦ*] *γὰρ add P* ‖ [4] *καταισχύνεται P non nulla add* ſ ‖ *οὖν*] enim ſ ‖ [4–5] *καιρ. ἔ.*] quae sunt mundi ſ ‖ [5] *οὖν prius om* ſ: *del?* ‖ *οὖν alt*] *δὲ V* ſ ‖ [6] *ἐλπὶς*] *ὑμῶν add V: recte?* ‖ *χρ. ἰησ. P* ‖ [6–7] *τ. ἀ. - ποθ.*] et adhaerescite nobis ſ ‖ [7] *καὶ prius*] *τὸν V* ‖ *ἀεὶ om P* ‖ *ποθ.*] *τὸν ἀεὶ προσδοκούμενον add V* ‖ *ἡμ. μ. V* ‖ [7–8] *κ. ἡ. ὑ.*] seruis dei ſ ‖ [8–10] *ἡμ. - κεφ. om V* ‖ [8] *ἡμ. γ.*] *καὶ γ. P: scr καὶ γ. ἡμ.??* (ſ?): *cf 215, 10* ‖ *αὐτ. om P: scr αὐτοὶ? del?* ‖ *φ. τ. ἐντ. U* ‖ [9] *scr φορέσωμεν??* (ſ) ‖ *οὐκ - εἶναι*] dignum ſ ‖ *τ. ὀν. ε. P* ‖ *τούτου*] *τοῦ χριστοῦ P* ‖ [10] *καὶ*] *ἀλλὰ καὶ P: cf 213, 26* ‖ *ὕ. - ἑ.*] *τὴν τιμ. ὕστ. ἐκεῖ τ. ἑ. ἀποτ. P* ‖ *τῇ ἑ. κεφαλῇ Usener om* ſ: *cf 191, 1 Burkitt J of theol studies I (1900) p 283* ‖ [11] *συν. - ὥρ.*] *ἐπὶ ὥρας πολλὰς αὐτ. ἐπευξάμενος P* ‖ [11–12] *παραμ. - δε. om P* ſ: *del?* ‖ [12] *παρ. αὐτ. om P* ‖ [13–14] *κ. ὁ - πάτερ*] domine omnium ordinum creaturae qui te exspectant et deus omnium ſ ‖ [13] *ὁ - οὔσ.*] *emendanda uid ex 147, 10* ‖ *σώμασιν U fort uerum: cf 147, 10* ‖ *κύρ. alt*] *καὶ ἅγιε V* ‖ [14] *ψ. - ἐχ.*] *εἰς σὲ τ. ἐ. ἐχόντων ψ. P: cf 109, 13 Burkitt l s (10) p 285* ‖ [15] *προσδ. - ὁ om P* ‖ *τὰ - ὁ om U* ‖ *τ. πλ.*] *παντὸς πειρασμοῦ P* ‖ [16] *ἀνθρ.* (ſ)] *αὐτοῦ δούλους τοὺς ἐν τῇ σκέπῃ τῆς σῆς καταφεύγοντας ἀντιλήψεως P: cf 17* ‖ *ἐλ. - δουλ.*] *τούτους ἐκ τ. κατεχούσης δουλ. λυτρούμενος P* ‖ [17–18] *τοὺς - σου om P* ‖ [17] *τοὺς <σοὺς>?? cf 150, 2; 191, 8; c 126 e* ‖ [18] *Ξεν.*] Xanthippi ſ (*cf 182, 11*) *προστάτης add P ποιμὴν καὶ διδάσκαλος καὶ ἰατρὸς add V* ‖ [18–19] *ἀλ. - ἑλκ.*] *ἀντιλήπτωρ P* ‖ [19] *ἐλ. ἁγ.*] oleo uitae ſ *om U* ‖ *ἑλκ.*] *καὶ τῶν νόσων add V*

αὐτὴν ἀπὸ τῶν λύκων τῶν διαρπαζόντων. Καὶ ἐπιθεὶς αὐτοῖς τὴν χεῖρα εἶπεν· Ἔσται ἐφ' ὑμᾶς ἡ εἰρήνη τοῦ κυρίου καὶ ἡμῖν συνοδεύσει.

Πρᾶξις η' περὶ τῶν ὀνάγρων.

68 Ἐξῆλθεν οὖν ὁ ἀπόστολος ἀπιέναι κατὰ τὴν ὁδόν· 206 W
καὶ πάντες δακρύοντες προέπεμπον αὐτὸν ἐνορκίζοντες αὐτὸν μνήμην αὐτῶν ἔχειν ἐν ταῖς δεήσεσιν αὐτοῦ καὶ μὴ ἐπιλανθάνειν αὐτῶν. ἀνελθὼν οὖν καὶ καθεσθεὶς ἐπὶ τοῦ ὀχήματος, πάντων τῶν ἀδελφῶν ἀπολειφθέντων, προσελθὼν ὁ
στρατηλάτης διήγειρεν τὸν ἡνίοχον | λέγων· Ἐγὼ δέομαι καὶ 49 B
εὔχομαι ἄξιος γενέσθαι ὑπὸ τοὺς πόδας αὐτοῦ καθεσθῆναι, καὶ γενήσομαι αὐτοῦ ἡνίοχος κατὰ τὴν ὁδὸν ταύτην, ἵνα καὶ αὐτὸς γένηταί μου παραπομπὸς εἰς ἐκείνην τὴν ὁδὸν δι' ἧς ὀλίγοι πορεύονται.

69 Ὁδευσάντων οὖν αὐτῶν ὡσεὶ μίλια δύο ἐδεήθη ὁ ἀπόστολος τοῦ στρατηλάτου, καὶ ἀναστήσας αὐτὸν συγκαθεσθῆναι ἐποίησεν αὐτῷ, ἐπιτρέψας τῷ ἡνιόχῳ εἰς τὸν ἴδιον τόπον καθεσθῆναι. ἡνίκα δὲ ἀπῄεσαν κατὰ τὴν ὁδόν, συνέβη ἐκ τοῦ πολλοῦ καύσωνος κεκοπιακέναι τὰ ὑποζύγια καὶ μὴ δυνάμενα ὅλως σαλευθῆναι. ὁ δὲ στρατηλάτης περίλυπος γενόμενος πάνυ ἠθύμει, ἐνθυμούμενος τοῖς ἰδίοις ποσὶν δρόμῳ

[2] cf Matth 7, 19; act 20, 29 ‖ [13] cf Matth 7, 14

---

[1] λ.] et latronibus *add* ſ ‖ τ. δ.] ne eum arripiant ex illius manu ſ ‖ δι.] φθορέων καὶ δι. *V* ‖ [2] *scr* τὰς χεῖρας?? (*cf 165, 16*) manum suam ſ ‖ ἡμᾶς *V* ‖ ὑμῖν *V* ‖ [3] συν.] οἱ δὲ εἶπον ἀμήν *add V: cf 146, 19; 165, 12* ‖ [4] π. τ. ὀ. πρ. η' *P om V* ſ ‖ [5] ἀπόστ.] μετὰ τοῦ στρατηλάτου *add P* ‖ ἀπ. κ. τ. ὁ.] κ. τ. αὐτοῦ πόλιν ἀπ. βουλόμενος *P* ‖ [6] κ. π. δ.] πρ. δὲ π. α. μετὰ δακρύων *P* ‖ ἐν. α.] ὅρκοις α. καθυποβάλλοντες *P* ‖ [7] μν.] αὐτὸν ὑπὲρ *add P* ‖ ποιεῖσθαι *P* ‖ [7–8] αὐτ. ἐπιλαθέσθαι *U* ‖ [7] ἐπιλελεῖσθαι *V* ‖ [8] αὐτούς *P* ‖ ὀχ.] ducis *add* ſ ‖ [9] ἀπ. (ſ)] ὑποστρεψάντων *P* ἀπελθόντων εἰς τὰ οἰκεῖα *V: cf 112, 8* ‖ [10] ἤγειρεν *V om* ſ ‖ δέ.] σου *add U recte ut uid: cf 115, 8; 139, 11 al (circiter uiciens)* ‖ [11] ἄξ. - καθ. (ſ)] ἵνα ὑ. τ. π. α. καθ. καταξιωθῶ *P: cf 138, 12 et 203, 4* ‖ αὐτοῦ] filii dei Iesu Christi ſ ‖ [12] κ. γεν.] ἔσομαι δὲ *U* ‖ [13] μου] ὁδηγὸς καὶ *add V* ‖ [15] οὖν] δὲ *V: cf 187, 7* ‖ ὡσεὶ (ſ) *om PU* ‖ μ. δύο] passus mille ſ ‖ ἐδεήθην *P* ‖ [16–17] καὶ - αὐτῷ] ἵνα αὐτῷ συγκαθεσθῇ *P* ‖ [17] τὸν ἡνίοχον *P* ‖ [18] κ. τ. ὁ. (ſ) *om PU* (*cf 5; 180, 14*) et Iudas loquebatur cum duce *add* ſ ‖ [19] καύματος *P* uectione ſ ‖ καὶ *om U: recte??* καὶ ⟨στῆναι⟩? (ſ) ‖ [19–20] μηδόλως δυν. *V: cf 190, 13 - 14* ‖ [20] *scr* δύνασθαι?? ‖ [21] γενάμενος *P* ‖ ἐνθ.] ἐβούλετο δὲ *P* ‖ [21]–186,[1] δρ. χρ. (ſ)] ἀπελθεῖν *P* ‖ [21] δρόμον *V*

χρήσασθαι καὶ ἕτερα ὑποζύγια ἀγαγεῖν πρὸς τὴν τοῦ ὀχήματος χρείαν· ὁ δὲ ἀπόστολος εἶπεν· Μὴ ταρασσέσθω σου ἡ καρδία μηδὲ δειλιάτω, ἀλλὰ πίστευσον εἰς Ἰησοῦν Χριστὸν
207 W ὃν κατήγγειλά σοι, καὶ θαυμάσια ὄψει μεγάλα. Ἀπιδὼν δὲ εἶδεν ἀγέλην ὀνάγρων νεμομένην παρὰ τὴν ὁδόν· καὶ εἶπεν τῷ στρατηλάτῃ· Εἰ ἐπίστευσας εἰς Χριστὸν Ἰησοῦν, πορευθεὶς εἰς τὴν ἀγέλην ἐκείνην τῶν ὀνάγρων εἰπέ· Λέγει ὑμῖν Ἰούδας Θωμᾶς ὁ ἀπόστολος τοῦ Χριστοῦ τοῦ νέου θεοῦ· Ἐλθέτωσαν ἐξ ὑμῶν τέσσαρες ὧν ἂν χρείαν ἔχωμεν.

70 Ἀπῆλθεν δὲ ὁ στρατηλάτης ἔμφοβος ὤν· πολλοὶ γὰρ ὑπῆρχον· καὶ ἀπιόντος αὐτοῦ αὐτοὶ εἰς ἀπάντησιν ἤρχοντο· ἐγγὺς δὲ γενομένων εἶπεν αὐτοῖς· Κελεύει ὑμῖν Ἰούδας Θωμᾶς ὁ ἀπόστολος τοῦ νέου θεοῦ· Ἐλθέτωσαν ἐξ ὑμῶν τέσσαρες ὧν χρείαν ἔχω. Ταῦτα ἀκούσαντες οἱ ὄναγροι ὁμοθυμαδὸν δρόμῳ χρησάμενοι πρὸς αὐτὸν ἤρχοντο, ἐλθόντες δὲ προσε-
208 W κύνησαν αὐτόν. εἶπεν δὲ αὐτοῖς ὁ ἀπόστολος· Εἰρήνη ὑμῖν. ὑποζεύξατε τέσσαρας ἀντὶ τῶν κτηνῶν τούτων τῶν ἀποσταθέντων. Καὶ προσῆλθον ἕκαστος αὐτῶν καὶ ὑπέθλιβον ὑποζευχθῆναι. ἦσαν οὖν ἐκεῖ τέσσαρες ἰσχυρότεροι, οἳ καὶ ἐζεύ-

[2] cf Io 14, 27 ‖ [3] cf Io 11, 40

---

[1] *ἑτέρας ὁλκάδας U* ‖ [1–2] *πρ. - χρ.] τοῦ ὁ. ἕνεκεν P* (*cf 189, 19*) *al* ʃ ‖ [2] *ὁ - εἶπεν] ἔφη αὐτῷ* (*ὁ?*) *ἀπ. τοῦ χριστοῦ V* et apostolus cum hoc uidisset dixit ei ʃ ‖ [2–3] *ταρ. - δειλ.] ταράσσου U ἀθύμει P* ne timueris neu perturberis ʃ: *scr ταράσσου μηδὲ δειλία??* ‖ [3] *ἀλλὰ om PU: ἀλλὰ <μόνον>?* (ʃ) ‖ *πίστευε V: cf 215, 14; 216, 4* ‖ *χρ. ἰησ. P* ‖ *Χρ. del?* (ʃ)*: cf 6; 174, 18* ‖ [4] *ὃν - σοι]* ut dixi tibi ʃ ‖ *ὄ. μ. θ. V* ‖ *μ. ὄ. U non nulla add* ʃ ‖ *ἀποβλέψας V* ‖ [5] *περὶ P* ‖ [5–6] *τ. στ. ε. P* ‖ [6] *ἰησ. χρ. U: cf 3* ‖ *Χρ. del?* (ʃ) *cf 3* ‖ [7] *τ. ὀ. ἐκ. P om* ʃ ‖ *εἰπέ] αὐτά add V* eis *add* ʃ ‖ [8] *τοῦ prius] scr Ἰησοῦ?* (ʃ) ‖ *Χρ. del??* ‖ *τ. ν.]* filii ʃ: *cf 13* ‖ [9] *τέσσαρεις U* ‖ *ὧν χρ. ἔχομεν Vsener recte ut uid* (*cf 14*) quia egeo eis ʃ ‖ [10] *ἔμφ. ὤν] τῷ τῶν ὀνάγρων συνεχόμενος φόβῳ P* ‖ [11] *ἀπελθόντος P* prout ibat ʃ ‖ [12] *γεν.* (ʃ)*] γενόμενος P* ‖ *αὐτούς V* ‖ *Θ.* (ʃ) *om V* ‖ [13] *ἀπ.] ἰησοῦ χριστοῦ add U* Iesu Christi *add* ʃ: *ἀπ. <Ἰησοῦ>? cf 8* ‖ *τ. ν. θ. om* ʃ ‖ [14] *ἀκ.] τοῦ στρατηλάτου εἰπόντος P* ‖ [16] *αὐτόν] αὐτῷ UV* (*cf 192, 7; 204, 6; 219, 3; 226, 6; c 129e*) iussu domini nostri *ac praeterea haud pauca add* ʃ ‖ *ὁ ἀπ. om U* ‖ *ὑμ.]* quia uerbo paruistis domino omnium *add* ʃ ‖ [17] *ὑποζ. om P* ueniant et iungantur ʃ ‖ *τέσσαρις U τέσσαρες V* (ʃ) uestrum *add* ʃ ‖ *τ. κτ. om P* ‖ *ἀποστ.] ζώων ἐξ ὑμῶν χρήζω ζευχθῆναι P* nec pergere possunt *add* ʃ: *cf 185, 19* ‖ [18] *κ. πρ. - ὑποζ. om P* ‖ *καὶ prius] οἱ δὲ εὐθέως V* ‖ *ἕκ. - ὑποζ.] καὶ ὑπέθλιβεν ἑαυτὸν ἕκαστος εἰς τὸ ζευχθῆναι V* ‖ *ὑπέθλ.] scr ἔθλιβον <ἀλλήλους>? cf 202, 19; Ph 33, 21* ‖ [19] *ὑπῆρχον P* ‖ *τέσσ.]* quidam ʃ ‖ *ἰσχυρότεραι U παρὰ πάντας add V* quam socii eorum *add* ʃ ‖ *ἐζ.] ζευχθέντες διέσωσαν τῷ ἁγίῳ P*

χθησαν· οἱ δὲ ἄλλοι οἳ μὲν προῆγον, οἳ δὲ ἠκολούθουν· ὀλίγον
δὲ ὁδευσάντων ἀπέλυσεν τοὺς πώλους λέγων· Ὑμῖν λέγω τοῖς
συνοίκοις τῆς ἐρήμου, εἰς τὰς νομὰς ὑμῶν ἀπέλθατε· εἰ γὰρ
πάντων ἔχρῃζον, πάντες ἂν συναπήειτέ μοι. νῦν δὲ ἄπιτε εἰς 209 W
τὸν χῶρον ὑμῶν ἐν ᾧ διατρίβετε. Οἳ δὲ ἀπήεσαν ἐν ἡσυχίᾳ
ἕως οὗ ἀφανεῖς ἐγένοντο.

71 Ἀπερχομένου οὖν τοῦ τε ἀποστόλου καὶ τοῦ στρατη-
λάτου καὶ τοῦ ἡνιόχου εἷλκον ἐν ἡσυχίᾳ οἱ ὄναγροι ὁμαλῶς,
ἵνα μὴ ταράξωσιν τὸν ἀπόστολον τοῦ θεοῦ. ἐγγὺς δὲ γενα-
μένων τῆς πύλης τῆς πόλεως παραστρέψαντες ἔστησαν πρὸ
τῶν θυρῶν τῆς οἰκίας τοῦ στρατηλάτου. | ὁ δὲ στρατηλάτης 50 B
εἶπεν· Ἀσυγχώρητόν μοί ἐστιν ἐξηγήσασθαι τὰ γεγονότα, ἀλλὰ
τὸ τέλος ἰδὼν τότε λέξω. Ἡ οὖν πόλις πᾶσα ἤρχετο ἰδοῦσα
τοὺς ὀνάγρους ἐζευγμένους· ἤκουσαν δὲ καὶ τὴν φήμην τοῦ
ἀποστόλου μέλλοντος ἐκεῖ ἐπιδημεῖν. ὁ δὲ ἀπόστολος ἐπυν-
θάνετο τοῦ στρατηλάτου· Ποῦ ἐστίν σου ἡ οἴκησις καὶ ποῦ
ἡμᾶς ἀπάγεις; Ὁ δὲ εἶπεν αὐτῷ· Σὺ αὐτὸς ἐπίστασαι ὅτι πρὸ
τῶν θυρῶν ἑστήκαμεν, καὶ οὗτοι οἱ διὰ τῆς σῆς ἐντολῆς
ἐλθόντες σὺν σοὶ μᾶλλον ἐμοῦ ἐπίστανται.

72 Ταῦτα δὲ εἰπὼν καθῆκεν ἑαυτὸν ἀπὸ τοῦ ὀχήματος.
ἤρξατο οὖν ὁ ἀπόστολος λέγειν· Ἰησοῦ Χριστὲ ὁ βλασφημού-
μενος διὰ τὴν σὴν ἐπίγνωσιν ἐν τῇ χώρᾳ ταύτῃ· Ἰησοῦ οὗ ἡ
φήμη ξένη ἐν τῇ πόλει ταύτῃ· Ἰησοῦ ὁ παραλαμβάνων πάντας

---

[2] τ. πολλοὺς U αὐτοὺς V: recte? eos ʃ ‖ [3] συνώκοις U ‖ ἀπέρχεσθαι U ‖ [5] scr διετρίβετε? (ʃ) ‖ οἳ δὲ] et onagri ʃ ‖ ἀπήεισαν U: cf c 138i ‖ [7] ἀπερχόμενοι P ἀπερχομένων V: scr καθεζομένου?? (ʃ?) ‖ οὖν] δὲ V: cf 185, 15 ‖ [9] βαρήσωσιν U om (V) ‖ χριστοῦ U om (V) ‖ γενομένων V ‖ [10] πόλ.] ὡς add V ‖ παρ.] καὶ εἰσιόντες P ‖ [11] πυλῶν P recte? portam ʃ: cf 18; 211, 21; c 122i; e ‖ οἰκ.] scr αὐλῆς?? (ʃ): cf 188, 21 ‖ [12] ἀλλὰ] ἀλλ' ὅτε V ‖ [13] τὸ τ. ἰ.] πρότερον ἴδω τὸ ἀποβησόμενον P fiat alterum miraculum ʃ ‖ ἴδω V ‖ τότε (ʃ) om PU: ⟨καὶ⟩ τότε? ‖ λέξω om P τὰ πάντα add V ‖ ἰδεῖν (quia uidebant ʃ) et add τὸν ἀπόστολον καὶ P ‖ [14–15] δὲ - ἐπιδ.] γὰρ περί τε τῆς ἐπιδημίας τ. ἀπ. καὶ τῶν ὀνάγρων P ‖ [14] φωνὴν U ‖ [15–16] ἔφη τῷ στρατηλάτῃ V dicit duci ʃ λέγων add P ‖ [16] σ. ἐ. P ‖ ἡ οἴκ. σ. V ‖ [17] ὑπάγεις V ‖ ὃ δὲ ε. α. om P ‖ [18] ἱστάμεθα P ‖ κ. οὗτοι] ἅμα δὲ κ. P οἱ ὄναγροι add V ‖ [19] σὺν - ἐπ.] ὄναγροι P ‖ [20] εἰπ.] ὁ ἀπόστολος add P ‖ καθ. ἑ.] κατέβην P (cf 189, 22) desiluit ʃ ‖ κατήνεγκεν V ‖ [21] λ.] εὔχεσθαι καὶ λ. (V): cf 163, 21 ‖ Χρ. om ʃ: del? cf 22; 23 ‖ [21–22] ὁ βλ. - ἐπ.] cuius notitia negatur ʃ ‖ [22] ἐπ.] ἄγνοιαν V ‖ [22–23] Ἰ. - Ἰ. om V ‖ [22] Ἰ.] χριστὲ add P ‖ [23–188,1] ὁ - ἀπ.] qui praemittis apostolum tuum ʃ

τοὺς ἀποστόλους ἐν πάσῃ χώρᾳ καὶ ἐν πάσῃ πόλει, καὶ πάντες
210 W οἱ σοὶ ἄξιοι ἐν σοὶ δοξάζονται· Ἰησοῦ ὁ τύπον λαβὼν καὶ γενόμενος ὡς ἄνθρωπος καὶ πᾶσιν ἡμῖν φανεὶς ἵνα μὴ ἡμᾶς ἀποχωρίσῃς τῆς ἰδίας ἀγάπης· σὺ εἶ κύριε ὁ ἑαυτὸν δοὺς ὑπὲρ ἡμῶν καὶ τῷ αἵματί σου ἡμᾶς ἐξαγοράσας καὶ κτησάμενος ἡμᾶς κτῆμα πολυτίμητον· τί δὲ ἔχομέν σοι δοῦναι κύριε ἀντικατάλλαγμα τῆς σῆς ψυχῆς ἧς ἔδωκας ὑπὲρ ἡμῶν; ὃ γὰρ θέλομεν ἐκεῖνο ἡμῖν δίδως· τοῦτο δέ ἐστιν ἵνα δεηθῶμέν σου καὶ ζήσωμεν.

73 Ταῦτα δὲ εἰπόντος αὐτοῦ πολλοὶ πανταχόθεν συνηθροίζοντο ἰδεῖν τὸν ἀπόστολον τοῦ νέου θεοῦ. εἶπεν δὲ πάλιν ὁ ἀπόστολος· Τί ἑστήκαμεν ἀργεῖς; Ἰησοῦ κύριε, ἡ ὥρα πάρεστιν· τί ἀπαιτεῖ γενέσθαι; κέλευσον οὖν ἐκπληρωθῆναι ὃ δὴ γενέσθαι ὀφείλει. Ἡ δὲ γυνὴ τοῦ στρατηλάτου καὶ ἡ τούτου θυγάτηρ ἐβαρήθησαν σφόδρα ὑπὸ τῶν δαιμόνων οὕτως ὡς νομίζειν τοὺς οἰκείους ὅτι οὐκέτι ἀνίστανται· οὐδ᾽ ὅλως γὰρ συνεχώρησάν τινος μεταλαβεῖν αὐτάς, ἀλλὰ κατέβαλον αὐτὰς ἐπὶ ταῖς κλίναις αὐτῶν μηδ᾽ ὅλως τινὰς ἐπιγινωσκούσας ἕως ἐκείνης τῆς ἡμέρας ἐν ᾗ ὁ ἀπόστολος ἐκεῖσε ἦλθεν. εἶπεν δὲ ὁ ἀπόστολος ἑνὶ τῶν ὀνάγρων τῶν ἐν τῷ δεξιῷ μέρει ἐζευγμένων· Εἴσελθε ἐντὸς τῆς αὐλῆς· καὶ ἑστὼς ἐκεῖσε κάλεσον τοὺς δαίμονας καὶ εἰπὲ αὐτοῖς· Λέγει ὑμῖν Ἰούδας Θωμᾶς ὁ ἀπόστολος καὶ μαθητὴς Ἰησοῦ Χριστοῦ· Ἔλθετε ὧδε ἔξω·

[5] cf Gal 3, 13 ‖ [7] Matth 16, 26

[1–2] *π. οἱ - δοξ.*] et extolleris in eo et celebraris per eum apud omnes qui hoc digni sunt ʃ ‖ [2] *σοὶ prius*] *σοῦ U fort recte: cf tamen c 145m* ‖ *ἄ.*] *δοῦλοι P* ‖ *Ἰ. om V* ‖ *τύπ.*] corpus ʃ ‖ [3] *γινόμενος U* ‖ *μὴ om U* ‖ [3–4] *τ. ἰδ. αὐτοῦ* (*cf 195, 20; 204, 9*) *ἀγ. ἀπ. ἡμ. P* ‖ *ἡμ. ἀπ.*] segregaremur ʃ ‖ [4] *σὺ εἶ om* ʃ ‖ [6] *τί δὲ*] *καὶ τί V* quid enim ʃ ‖ *σοι*] illi ʃ *item q s* (*om κύριε*) ‖ [7] *ἀντάλλαγμα P* ‖ *σῆς om V* ‖ *δέδωκας V* ‖ [7–8] *ὃ - ἐστιν*] non est quicquam quod ad nostrum quemque pertineat neque ille nos quicquam rogat nisi ʃ *al V* ‖ [10] *δὲ om V* ‖ *ε. α.*] *τοῦ ἀποστόλου ε. P* ‖ *παντ.*] *τοῦτον add P* ‖ [10–11] *ἰδ. συν. P* ‖ [11] *τὸν - θεοῦ*] *ὡς ἅτε τ. ν. θ. ἄνθρωπον ὄντα P* qui illuc uenerat *add* ʃ ‖ [11–12] *ὁ δὲ ἀπ. π. ἔφη V* ‖ [11] *ἔλεγεν U* ‖ *πάλ. om* ʃ: *del?? cf 163, 13* ‖ [12] *Ἰ. κ.*] *κύρ. ἰ. χριστὲ* (*V*) Iesu ʃ ‖ [12–13] *ἡ - γεν.*] quid uis? impera tempori ʃ ‖ [13] *scr ἀπαιτεῖς?? cf 179, 4; 217, 4 al* ‖ [13–14] *κέλ. - ὀφ. om PU* et rem fieri iube ʃ ‖ [13] *scr δεῖ* (*del 14 ὀφ.: cf 191, 7*)?? ‖ [14] *ἡ δὲ*] *τότε ἡ V* ‖ [15] *οὕτως om P: del? cf 143, 5; 167, 6; c 138e* ‖ [16] *ο. ἀν.*] *οὐκ ἀν. ἔτι U* ‖ [17] *κατ.*] *ἀνέκλιναν P: cf 181, 5; 7; 10; 194, 2* ‖ *αὐτ. alt*] *ἑαυτὰς V* ‖ [18] *κοίταις P: cf 205, 8; 204, 13; c 139e; al* ‖ *scr τινὰ?* ‖ [19] *ὁ - ἦλθεν* (ʃ)] *κατέλαβεν* (*cf c 123i; 151e*) *ὁ ἀπ. P* ‖ *ἔφη V* ‖ [20] *τῶν alt*] *τὸν P* ‖ *ἐζευγμένον P* ‖ [22] *εἶπον U: cf 148, 3; 170, 12; 186, 7; 218, 24; c 123e; 126m; 128i* ‖ *Ἰ. om V*

δι' ὑμᾶς γὰρ ἀπεστάλην καὶ εἰς τοὺς διαφέροντας ὑμῖν κατὰ γένος, ἵνα ὑμᾶς ἀπολέσω | καὶ διώξω εἰς τὸν ὑμέτερον χῶρον, 51 B ἕως ὅτε καιρὸς γένηται συντελείας καὶ εἰς τὸ ὑμέτερον βάθος τοῦ σκότους κατέλθητε.

74 Εἰσήει δὲ ὁ ὄναγρος ἐκεῖνος πολλοῦ ὄχλου συνόντος 211 W αὐτῷ καὶ ἔλεγεν· Ὑμῖν λέγω τοῖς ἐχθροῖς τοῦ Ἰησοῦ τοῦ καλουμένου Χριστοῦ· ὑμῖν λέγω τοῖς τοὺς ὀφθαλμοὺς καμμύουσιν τοῦ μὴ ὁρᾶν τὸ φῶς· οὐ γὰρ δύναται ἡ κακίστη φύσις μεταβληθῆναι εἰς τὸ ἀγαθόν· ὑμῖν λέγω τοῖς τέκνοις τῆς γεέννης καὶ τῆς ἀπωλείας, ἐκείνου τοῦ ἀπαύστου εἰς τὸ κακὸν ἕως τοῦ νῦν, ὃς ἀεὶ ἀνακαινίζει αὐτοῦ τὰ ἐνεργήματα καὶ τὰ πρέποντα τῇ ἑαυτοῦ οὐσίᾳ· ὑμῖν λέγω τοῖς ἀναιδεστάτοις, τοῖς δι' ἑαυτῶν ἀπολλυμένοις· τί δὲ εἴπω περὶ τῆς ὑμῶν ἀπωλείας τε καὶ τέλους, τί δὲ καὶ ὑφηγήσωμαι, οὐκ οἶδα· πολλὰ γάρ ἐστιν καὶ πρὸς τὴν ἀκρόασιν ἀναρίθμητα ὑπάρχοντα. μείζονα δέ εἰσιν αἱ ὑμέτεραι πράξεις ἀπὸ τῆς κολάσεως τῆς ὑμῖν τετηρημένης. σοὶ δὲ λέγω τῷ δαίμονι καὶ τῷ σῷ υἱῷ τῷ συνεπομένῳ σοι· νυνὶ γὰρ ἐφ' ὑμᾶς ἀπέσταλμαι· τίνος δὲ ἕνεκα πολλοὺς λόγους ποιοῦμαι τῆς ὑμῶν φύσεώς τε καὶ ῥίζης, ἣν ὑμεῖς αὐτοὶ οἴδατε καὶ ἀναιδεύεσθε; λέγει δὲ ὑμῖν Ἰούδας Θωμᾶς ὁ ἀπόστολος Χριστοῦ τοῦ Ἰησοῦ, ὃς διὰ πολλῆς ἀγάπης καὶ διαθέσεως ἐνθάδε ἀπεστάλη· Ἐπὶ

---

[1] *εἰς om UV* aduersus ƒ ‖ [2] *ἀπ. κ. om* ƒ ‖ [3] *ἕ. ὅτε]* antequam ƒ ‖ [6] *ἔλ.* (ƒ)] *ἀπεκρίνατο UV: cf 203, 21* ‖ [6–8] *ἐχθ. - φῶς] εἰδόσι (cf 139, 4) τοῖς ὀφθαλμοῖς κάμνειν τοὺς ἐχθροῦς τ. ἰησ. τ. καλ. χρ. ὑμ. λ. τοῖς μὴ εἰδόσι (cf 139, 4) τὸ φ. ὁρ. P* ‖ [6–7] *Ἰ. - Χρ.]* generis humani ƒ: *cf Lipsius I p 327. 1* ‖ [8] *τοῦ - φ.]* ad lucem ne uideatis ƒ ‖ [8–9] *κ. φ.]* natura mali ƒ ‖ [9] *μετ. εἰς]* esse cum ƒ ‖ *τὸ om P* ‖ *τὰ τέκνα P: cf 6; 7; 12; 187, 2* ‖ [10–12] *ἐκ. - οὐσίᾳ om P* ‖ *εἰς - οὐσίᾳ] πυρὸς V* ‖ [10–11] *εἰς τὸ κ. om* ƒ ‖ [11] *τὰ ἐν.]* malos ministros ƒ ‖ [12] *καὶ del?* (ƒ) ‖ [13] *δὲ] καὶ add V fort recte: cf 14; 192, 5* ‖ *ὑμετέρας UV: cf 19* ‖ [14] *τε om PV: cf 103, 11; 191, 15; al* ‖ *καὶ prius] τοῦ add V* ‖ [15] *π.]* nimis magna ƒ ‖ *εἰσὶν V ⟨ταῦτα⟩??* (ƒ) ‖ *scr π. τ. ἀκρ. καὶ?* (ƒ) ‖ *ἀν.* infinita ƒ ‖ *ὑπ. om P: del?* ‖ [16–17] *μείζ. - τετ.]* quamuis magna sint corpora uestra, nimis parua sunt ad poenam uestram ƒ ‖ [16] *μείζοναι U μείζονες V: cf 226, 19* ‖ [17] *τῷ δ.] δαῖμον U(V): cf 9* ‖ [18] *ν. γ. ἐφ' ὑ.* (ƒ)] *νῦν ἐφ' ὑ. V δι' ὑ. γὰρ P* ‖ [19–20] *τίνος - ἀναιδ. om V* ‖ [19] *τί P* ‖ *ἕνεκα om P: cf 162, 7; 11; 13; 14; al* ‖ *ποι.] ἕνεκεν add P: cf 186, 1 - 2; c 123 m (P solus)* ‖ *⟨περὶ⟩ τῆς??* ‖ *ὑμετέρας U: cf 13* ‖ [20] *τε κ. ῥ. om P* ƒ: *del?* ‖ *ἣν - οἴδ. om P* ‖ *ἀναιδείας P* ‖ [21] *Ἰ.* (ƒ)] *δι' ἐμοῦ V* ‖ *ἀπ.]* discipulus ƒ: *cf 188, 22* ‖ *ἰησ. χρ. (om τοῦ) UV: scr Ἰ. τοῦ Χρ.?* (ƒ?) *Ἰ. Χρ.? τοῦ Ἰ.?* ‖ [22] *πολλὴν ἀγάπην κ. διάθεσιν P: cf 167, 12* ‖ *ἀπεστάλην (cf 187, 20 al) et add ἵνα P*

παντὸς τοῦ ἐνθάδε ἑστῶτος ὄχλου ἐξελθόντες εἴπατέ μοι ποίου γένους ἐστέ.

75 Καὶ εὐθέως ἐξῆλθεν ἡ γυνὴ σὺν τῇ θυγατρὶ αὐτῆς, νενεκρωμέναι καὶ ἠτιμασμέναι· θεασάμενος δὲ αὐτὰς ὁ ἀπόστολος ἐλυπήθη, μάλιστα διὰ τὴν παῖδα, καὶ λέγει τοῖς δαίμοσιν· Μὴ γένοιτο ἱλασμὸν γενέσθαι καὶ φειδὼ εἰς ὑμᾶς· οὐδὲ γὰρ τὸ φείδεσθαι ἢ τὸ ἐλεεῖν ἐπίστασθε· πλὴν εἰς τὸ 212 W ὄνομα τοῦ Ἰησοῦ ἀπόστητε ἀπ' αὐτῶν καὶ ἐκ πλευρᾶς στῆτε. Ταῦτα εἰπόντος τοῦ ἀποστόλου πεσοῦσαι αἱ γυναῖκες ἀπενεκρώθησαν· οὔτε γὰρ πνεῦμα εἶχον οὔτε φωνὴν ἐδίδουν· ὁ δὲ δαίμων ἀποκριθεὶς φωνῇ μεγάλῃ εἶπεν· Πάλιν ἥκεις ἐνθάδε ὁ τὴν φύσιν ἡμῶν διαγελῶν καὶ τὴν γενεάν; ἥκεις πάλιν ὁ τὴν τέχνην ἡμῶν ἀπαλείφων; καὶ ὡς νομίζω οὐ συγχωρεῖς ἡμῖν ὅλως ἐπὶ τῆς γῆς εἶναι· τοῦτο δὲ νῦν ἐν τῷ καιρῷ τούτῳ ποιῆσαι οὐ δύνασαι. Ἐστοχάσατο δὲ ὁ ἀπόστολος ὅτι ὁ δαίμων οὗτος ἐκεῖνός ἐστιν ὁ ἀπελαθεὶς ἀπ' ἐκείνης τῆς γυναικός.

76 Ὁ δὲ δαίμων εἶπεν· Δέομαί σου, ἐπίτρεψόν με καὶ ὅπου βούλει με ἀπελθόντα οἰκῆσαι καὶ παρὰ σοῦ ἐντολὴν δέξασθαι, καὶ οὐ φοβοῦμαι τὸν ἐξουσιαστὴν τὸν κατ' ἐμοῦ ἔχοντα τὴν ἐξουσίαν. ὥσπερ γὰρ σὺ ἦλθες εὐαγγελίσασθαι, οὕτως κἀγὼ ἦλθον ἀφανίσαι· καὶ ὥσπερ σὺ ἐὰν μὴ τελέσῃς

---

[1] *ἐνθ. ἑ.] ἐνεστῶτος P* ‖ *εἴπητε P* ‖ *μοι* (ʃ) *om P* ‖ [4] *νεν.] ὥσπερ νεν. V: recte?* similes aspectu mortuis et expositis ʃ ‖ *θ. δὲ] καὶ θ. V* ‖ [5] *ἐλ.* (ʃ)] *ἠθύμησεν UV πάνυ add P* ‖ *μάλ.] om U* ʃ *(del??) δὲ add V* ‖ *δ. τ. π. om U* propter eas ʃ ‖ *κ. λ.* (ʃ)] *λέγων UV* ‖ *τ. δ. om* ʃ ‖ [6–7] *μὴ - ἐπ.]* nulla misericordia uobis exhibita est, propterea uix estis conscii ʃ ‖ [6] *κ. φ. γεν. U* ‖ *εἰς ὑ. κ. φ. V: del κ. φ.?? cf 7* ‖ [7] *οὔτε U οὐ V* ‖ [7–8] *ἐν τῷ ὀνόματι V* ‖ *τὸ et τοῦ om U* ‖ [8] *Ἰ.] κυρίου ἰ. χριστοῦ V* Iesu Christi ʃ ‖ *πλευρῶν P* ‖ [9] *αἱ γυν. πεσ. P* ‖ [10] *ἐδ.] παρεῖχον P: cf 191, 11* ‖ [11] *πάλ. ἥ. ἐ.] καὶ ὧδε ἀπόστολε ἥ. P* rursus uenisti? ʃ ‖ *ἐνθ. om (sed bis add 12)* ʃ ‖ [12] *ὁ prius om V* ‖ *κ. τ. γ. om PU: scr ⟨πάλιν ἥκεις⟩ ὁ τὴν γενεὰν ⟨ἡμῶν ἀπολλύς uel ἀπολλύων⟩?* (ʃ) ‖ [12–13] *ἥκ. π. - ἡμ. om V* ‖ [12] *scr πάλιν ἥκεις?* ‖ *πάλιν* (ʃ) *om P* ‖ [13] *τ. τέχν.] scr τὰ ἴχνη?* (ʃ) ‖ *κ. ὡς] ὡς δὲ P* ‖ *ὡς ν. om V* ‖ [13–14] *οὐδ' ὅλ. (fort recte: cf 169, 20; 172, 21; 173, 5; 179, 1; 181, 15; 188, 16; 18 al; 185, 19 - 30) ἡμ. συγχ. V* ‖ [14] *ἐπὶ τ. γ. ὅλ. U* ‖ [15] *ἐστ.]* intellexit ʃ m ‖ [16–17] *ἀπ' ἐκ. τ. γ. ἐλασθεὶς P* ‖ [18] *ἔφη et add πάλιν V: cf 163, 13* ‖ [18–19] *scr ὅπου καὶ? cf c 139i* ‖ [19] *με β. P: cf 101, 1* ‖ *ἀπ. με V* ‖ *ἀπ. ο.]* ibo et manebo ʃ ‖ [20] *scr δέξομαι?* (ʃ) ‖ *καὶ οὐ* (ʃ)] *ἵνα μὴ P* ‖ [21] *τ. ἐξ. ἔχ. P* ‖ [22] *ἀφ. ἦ. κ. P: cf 191, 2 et q s* ‖ *πληρώσῃς P: cf 106, 9; 230, 3 - 5; c 145m; 146m*

τὸ θέλημα τοῦ πέμψαντός σε, κατὰ κεφαλῆς δίδωσίν σοι τὴν
τιμωρίαν, οὕτως κἀγώ, ἐὰν μὴ ποιήσω | τὸ θέλημα τοῦ ἀπο- 52 B
στείλαντός με πρὸ καιροῦ καὶ τῆς προθεσμίας, εἰς τὴν ἐμαυτοῦ
φύσιν ἀποστέλλομαι· καὶ ὥσπερ σοὶ βοηθεῖ ὁ Χριστός σου ἐν 213 W
οἷς διαπράττῃ, οὕτως καὶ ἐμοὶ βοηθεῖ ὁ πατήρ μου ἐν οἷς
διαπράττομαι· καὶ ὥσπερ σοὶ κατασκευάζει σκεύη τοὺς ἀξίους
τῆς σῆς οἰκήσεως, οὕτως καὶ ἐμοὶ ἐπιζητεῖ σκεύη δι' ὧν τὰς
αὐτοῦ πράξεις τελίσκω· καὶ ὥσπερ τρέφει καὶ οἰκονομεῖ τοὺς
ὑπηκόους, οὕτως κἀμοὶ κολάσεις καὶ βασάνους σὺν τοῖς οἰκη-
τηρίοις μοι γενομένοις παρασκευάζει· καὶ ὥσπερ σοὶ τὴν ἀντι-
μισθίαν τῆς σῆς ἐνεργείας δίδωσιν τὴν αἰώνιον ζωήν, οὕτως
κἀμοὶ παρέχει τὰς ἀμοιβὰς τῶν ἔργων μου τὴν αἰωνίαν ἀπώ-
λειαν· καὶ ὥσπερ σὺ τῇ εὐχῇ σου καὶ τοῖς ἀγαθοῖς ἔργοις
ἐπαναπαύῃ ἐν ταῖς πνευματικαῖς σου δοξολογίαις, οὕτως κἀγὼ
ἐπαναπαύομαι φόνοις τε καὶ μοιχείαις καὶ θυσίαις ταῖς διὰ
οἴνου γινομέναις ἐν τοῖς βωμοῖς· καὶ ὥσπερ σὺ ἐπιστρέφεις
τοὺς ἀνθρώπους εἰς ζωὴν αἰώνιον, οὕτως κἀγὼ ἀποστρέφω
τοὺς ὑπακούοντάς μοι εἰς ἀπώλειαν καὶ κόλασιν αἰωνίαν· καὶ
σὺ τοὺς ἰδίους δέχῃ κἀγὼ τοὺς ἐμούς.

77 Τοιαῦτα καὶ ἕτερα πλείονα εἰπόντος του δαίμονος

---

[1] σε πέμψ. U ‖ [1–2] κ. κ. - τιμ.] reprobaris ſ: cf 184, 10 (Burkitt); 134, 7; (213, 7??); 172, 16 ‖ [1] κεφαλὴν U (recte??) om V ‖ [1–2] τιμ. δίδ. σοι (om τὴν) U τιμ. δίδως (om σοι τ.) V ‖ [3] κ. τ. πρ. om ſ: cf 149, 18 ‖ καὶ del Vsener ‖ προθυμίας P ‖ αὐτοῦ P nostram ſ ‖ [4] Χρ.] scr κύριός? (ſ) ‖ σου om P ‖ [5] οὕτως (ſ) om PU: cf 2; 7; 9; 11; 14; 17; 190, 22 ‖ ἐμὲ P ‖ [6] σὺ PU ‖ κατασκευάζεις U(V) ‖ [6–7] τοὺς - οἰκ.] digna in quibus habitet ſ ‖ [7] ἐπ. σκ.] significat uasa sibi parentia ſ ‖ ὧν] ὀφείλω add P: cf 188, 14 et 230, 5; c 137i ‖ [8] πρ. α. U ‖ τελέσω V τελειοῦν P: cf 126, 9 ‖ ὥσπερ] σοὶ add V: ⟨σὲ⟩?? ‖ τρέφεις κ. οἰκονομεῖς V tibi et add ſ ⟨καὶ⟩? ⟨σὲ καὶ⟩? ‖ [8–9] τοῖς ὑπηκόοις V ‖ [8] τοὺς] τοὺς σοὺς Vsener recte ut uid (ſ): cf 184, 17 ‖ [9] οἰκήτωρσί P ὑπηκόοις V: scr οἰκητηρίοις? (cf 209, 8) eis in quibus inhabito ſ ‖ [10] γινομένους μοι U ‖ μου P ‖ γεν. om P ‖ [11] ἐν. (ſ)] εὐεργεσίας UV: cf 193, 12 ‖ δίδ. τ. α.] τ. α. σοι (cf 196, 15) παρέχει P: cf 190, 10 ‖ αἰωνίαν UV: cf 12; 17 et index ‖ [12] αἰώνιον U: cf 11 ‖ κόλασιν U: scr ἀπώλειαν ⟨καὶ⟩ κόλασιν? cf 18 ‖ [13] τῇ ε. σ. κ. om U ‖ ἀγ.] σου add U ‖ [14] ἐπαν. post πν. σου (14) P ‖ ἀναπαύει U: cf 15 ‖ ἐν] scr καὶ? (cf 212, 13) et in eucharistia et in ſ ‖ σου] eius ſ ‖ δοξ.] et psalmis et hymnis add ſ ‖ [15] μοιχ.] ἐργαζόμενος add P ‖ καὶ alt om U ‖ [15–16] κ. τ. δ. ο. ἐν τ. β. γιν. θυσ. P ‖ [16] γενομέναις UV ‖ [17] τοῖς ἀνθρώποις P ‖ οὕτως (ſ) om PU: cf 5 ‖ ὑποστρέφω V ‖ [18] ὑπ. μοι] homines ad me ſ ‖ αἰώνιον V: cf 11 ‖ [18–19] κ. σὺ] σὺ δὲ U σὺ V ‖ [19] τοὺς ⟨μισθοὺς τοὺς⟩ ἰδίους? (ſ) ‖ [20] ταῦτα V recte ut uid: haec ſ ‖ κ. ἕτ. πλ.] πολλὰ U om ſ ‖ scr ἄλλα?? cf 174, 14

ὁ ἀπόστολος εἶπεν· Κελεύει σοι Ἰησοῦς καὶ τῷ σῷ παιδὶ δι' ἐμοῦ ἵνα μηκέτι εἰσέλθῃς εἰς κατοίκησιν ἀνθρώπου· ἀλλ' ἐξέλθετε καὶ ἀπέλθετε καὶ οἰκήσατε ἔξω παντελῶς τῆς οἰκήσεως τῶν ἀνθρώπων. Οἱ δὲ δαίμονες εἶπον αὐτῷ· Ἀπηνῶς προσέταξας ἡμῖν· τί δὲ καὶ πρὸς τούτους πράξεις τοὺς νῦν ἀποκεκρυμμένους ἀπὸ σοῦ; οἱ γὰρ κατασκευάσαντες τὰ πάντα ξόανα ἐν αὐτοῖς χαίρουσιν μᾶλλον σοῦ· οὓς οἱ πολλοὶ πολλοὺς προσκυνοῦσιν καὶ τὰ θελήματα αὐτῶν διαπράττονται, θύοντες αὐτοῖς καὶ τὰς τροφὰς προσάγοντες ἐν σπονδαῖς καὶ διὰ οἴνου καὶ ὕδατος προσφέροντες καὶ ἀναθήμασιν. Καὶ ὁ ἀπόστολος εἶπεν· Καὶ αὐτοὶ νῦν καταργηθήσονται σὺν ταῖς
214 W πράξεσιν αὐτῶν. Καὶ αἰφνιδίως ἄφαντοι γεγόνασιν οἱ δαίμονες· αἱ δὲ γυναῖκες ὡς εἰς τύπον νεκρῶν ἐρριμμέναι ἔκειντο ἐπὶ γῆς, μὴ ἔχουσαι φωνήν.

78 Καὶ οἱ ὄναγροι πρὸς ἀλλήλους ἔστησαν καὶ οὐκ ἀφίσταντο ἀπ' ἀλλήλων, ἀλλ' ἐκεῖνος ᾧ ὁ λόγος ἐδόθη ἐν δυνάμει τοῦ κυρίου, πάντων σιγώντων καὶ ἀφορώντων τί ἄρα δια-

---

[1] *ὁ ἀπ. ε.* (ƒ)] *ε. ὁ ἀπ. αὐτῷ U ε. αὐτῷ ὁ ἀπ. V πρὸς αὐτὸν ὁ ἀπ. ε. P* ‖ [1–2] *κελ. - ἐμοῦ*] in nomine Iesu Christi filii dei uiui quem praedico m ‖ [1] *Ἰ.* (ƒ) *om UV: cf 2* ‖ *παιδὶ*] *ἰησοῦς χριστὸς add V* ‖ [2] *ἐμοῦ*] *ἰησοῦς χριστὸς ὁ υἱὸς τοῦ θεοῦ ὁ ὑπ' ἐμοῦ κηρυσσόμενος add U: cf* m ‖ *ἵνα* (ƒ) *om UV: cf 150, 5* ‖ *μηκ.* (ƒ?)] *μὴ UV* ‖ *εἰς κ. ἀ. ε. P* ‖ *εἰσέλθ.*] intretis ƒ *ὅλως ἔτι add U ὅλως ἀπὸ τοῦ νῦν add V* ‖ *ἀνθρ.*] hominum ƒ (*cf 4*) ‖ *ἀλλ'* (ƒ) *om PU* ‖ [3–4] *ἐξ. κ. om* ƒ: *cf 149, 18* ‖ [3] *ἐξέλθατε V* ‖ *κ. ἀπ. om V* ‖ *κ. οἰκ. om P* ‖ *ἔξωθεν UV: cf 167, 17; 181, 8; al; et 221, 5* ‖ *παντελῶς om PU* totam ƒ ‖ [4] *εἶπαν U* ‖ *ἀπ.*] *scr Ἄπιμεν ὡς?* (ƒ) ‖ [5] *τί δὲ*] *πλὴν δὲ τί V* ‖ *καὶ om UV: cf 189, 14; 193, 13; 15; 18* ‖ *προστάξεις P* ‖ *νῦν om* ƒ ‖ [5–6] *ἀποσοῦ κεκρυμμένους P: cf c 151e* ‖ [6] *οἱ - ξ.*] et uasa eorum ƒ ‖ *πάντα*] *ὧδε P* (*cf 181, 15; 193, 6; c 124m; 141e; 151e; 152i*) *om V: corrupt uid* ‖ [7] *εἰς αὐτὰ UV* ‖ *μᾶλλον om P* ‖ *σοῦ - προσκ. om PV* ‖ *σοῦ*] quam in te ƒ ‖ *πολλοὺς om* ƒ: *del?* ‖ [8] *διαπράττουσι P* ‖ [9] *καὶ alt del?* ‖ *δι' V* ‖ [10] *scr κ. πρ. ἀναθήματα?* (ƒ) ‖ *προσφέρουσιν P* ‖ *ἀναθέμασιν U* ‖ [11] *αὐτοὶ om U* ‖ *νῦν κατ.*] *scr συγκαταργηθήσονται?* postremo peribunt ƒ ‖ *νῦν*] *οὖν add U* ‖ [11–12] *τ. πρ.*] cultoribus ƒ ‖ [13] *αἱ - ἔκ.*] quae cadentes factae sunt sicut mortuae m ‖ *ὡς εἰς om U* ‖ *ὥσπερ V* ‖ *νεκρ.*] *ἦσαν add V* ‖ *ἔκ.* (ƒ)] *ἦσαν U om V* ‖ [14] *ἐ. γ.*] *ἐν τῇ γῇ V om U* ƒ: *del? cf 190, 9* ‖ *ἔχ. φ.*] *τὴν οἵαν οὖν φ. ἀναπέμποντες P* ‖ [15] *πρὸς - ἀπ' ἀλλ.*] *ὁμοῦ ἵσταντο μὴ ἀπ' ἀλλ. ἀφιστάμενοι P* ‖ [16–17] *ἀλλ' - ἀφορ.*] *ὁ γὰρ ἰθύνας αὐτοὺς τοῦ θεοῦ λόγος τὸ πρᾶον καὶ ἥσυχον αὐτοὺς ἐδωρήσατο ὅστις καὶ τῷ λέγειν ἀνθρωπίνως παρέσχεν πάντων οὖν εἰς αὐτοὺς τοὺς ὀνάγρους ἀτενιζόντων P* ‖ [16] *ἐν*] *τῇ add V* ‖ [17] *κυρίου*] stabat ante socios suos et *add* ƒ ‖ *σιγόντων V σιγούντων U* ‖ *τί δ. ἀφορῶντες* (*om ἄρα: del?? cf 206, 3; 193, 13*) *P* ‖ *διαπράττονται U* apostolus facturus esset ƒ

πράξονται, εἶπεν τῷ ἀποστόλῳ ὁ ὄναγρος· Τί ἕστηκας ἀεργὴς
ἀπόστολε Χριστοῦ τοῦ | ὑψίστου, ἀφορῶντος ἵνα αὐτὸν 53 B
αἰτήσῃς τὰ κάλλιστα μαθήματα; τί οὖν βραδύνεις; ὁ
γὰρ σὸς διδάσκαλος βούλεται τὰ μεγαλεῖα αὐτοῦ διὰ τῶν σῶν
χειρῶν δεῖξαι· τί στήκεις ὁ κῆρυξ τοῦ ἀποκρύφου; ὁ γὰρ σὸς
βούλεται διὰ σοῦ τὰ ἀπόρρητα ἐκφᾶναι διατηρῶν αὐτὰ τοῖς
ἀξίοις αὐτοῦ ταῦτα ἀκούειν. τί ἡσυχάζεις ὁ τὰ μεγαλεῖα
διαπραττόμενος εἰς ὄνομα τοῦ κυρίου; ὁ γὰρ σὸς δεσπότης
προτρέπεταί σε θάρσος σοι ἐγγεννῶν. μὴ τοίνυν φοβοῦ· οὐ
γὰρ ἀφήσει ψυχὴν τὴν προσήκουσάν σοι κατὰ γένος. ἄρξαι
οὖν τοῦ ἐπικαλεῖσθαι αὐτὸν καὶ αὐτός σου ἑτοίμως ἀκούσῃ.
τί ἕστηκας θαυμάζων πάσας αὐτοῦ τὰς πράξεις καὶ τὰς ἐνερ-
γείας; μικρὰ γάρ ἐστιν ταῦτα ἃ δι' αὐτῶν ἔδειξεν. τί δὲ καὶ
ὑφηγήσῃ περὶ τῶν μεγάλων αὐτοῦ δωρημάτων; οὐ γὰρ ἐξαρ-
κέσεις ἐξειπεῖν. τί δὲ καὶ θαυμάζεις περὶ τῶν σωματικῶν 215 W
αὐτοῦ ἰάσεων ἅτινα ἐνεργεῖται; καὶ μάλιστα ἐπιστάμενος
ἐκείνην αὐτοῦ τὴν ἴασιν τὴν βεβαίαν καὶ παραμονὴν τῇ ἰδίᾳ
φύσει προφέρει. τί δὲ καὶ ἀποβλέπεις εἰς ταύτην τὴν πρό-
σκαιρον ζωὴν καὶ περὶ τῆς αἰωνίας οὐδὲν ἐνθυμεῖσαι;

---

[1] *ε. - ὄν.*] onager adspexit omnes et dixit Iudae ſ ‖ *λέγει P πάλιν add UV: cf 163, 13; 189, 5* ‖ *ὁ ὄν. τῶ ἀπ. P* ‖ *ὁ ὄν. om V: del??* ‖ *ἀργὸς P: cf 188, 12* ‖ [2] *ἀπ.*] *τοῦ add UV* ‖ *Χρ. del?* (ſ) *cf 156, 13; c 150e* ‖ *τοῦ ὑψ. om V* ‖ [2–3] *ἀφ. - κ. μ.*] *καὶ οὐ τὰ κάλλ. τάχειον τοῦ χριστοῦ αἰτεῖς μ. P* nam ecce paracletus stat propter te et prospicit ut ores eum ſ ‖ [2] *ἀφ.*] *τοῦ προς σὲ add V: scr πρὸς σὲ ἀφ.???* ‖ [4] *αὐτοῦ om U* ‖ [5] *δ. χειρ. P* ‖ [5–6] *τί στ. - σοῦ*] *καὶ P om V* ‖ [5] *scr ἕστηκας? cf 1; 12; 188, 12; c 135 e* ‖ *σὸς <κύριος>?* (ſ) ‖ [6–9] *τὰ ἀπ. - ἐγγ. om V* ‖ [6] *ἀπ.*] *τοῖς πᾶσιν ὧδε add P: cf 192, 6* ‖ *διατ. α. om P (cf 7)* ſ: *del?* ‖ [7] *αὐτοῦ*] *εὐδοκῶν add P: cf 6* ‖ *ταῦτα* (ſ) *om U: del??* ‖ *μεγάλα P* ‖ [9] *σε θ. om P* ‖ *ἐγγ.*] *λαλεῖν P* ‖ [10] *ἀφ.* (ſ)] *ἀφείη ἀφεῖναι UV* ‖ *ψ. - κ. γ.*] te nec patietur diuinitas eius humanitatem tuam laedi ſ ‖ *σοι πρ. P* ‖ [10–11] *ἄ. - αὐτὸν* (ſ) *om U* ‖ [11] *σοι PV* ‖ *ἑτ.*] *ταχὺ V om U* ut solet omnibus temporibus ſ: *scr εἰωθότως??? κατὰ τὸ εἰωθὸς?? cf 205, 6; 209, 6* ‖ *ἀκούσει UV ἀκούει Vsener: cf 114, 3* ‖ [12–18] *τί - προφ. om V* ‖ [12] *κ. τ. ἐν. om* ſ: *cf 149, 18* ‖ [13] *τ. μ. ἐ. (om γὰρ) U* ‖ *ἐστιν*] *πρὸς τὴν αὐτοῦ ἀγαθότητα add P* ‖ *ἃ - ἔδ.* (ſ) *om P* ‖ *scr διὰ σοῦ??* (ſ) ‖ *δὲ καὶ*] *ἄρα U: cf 192, 5; 17* ‖ [14] *οὐκ ἐξαρκ. γὰρ U (cf 9 al) τοῖς αὐτοῦ θαύμασιν add P: cf 152, 9?* ‖ [15] *δὲ*] *δει U* ‖ *καὶ om P: cf 192, 5* ‖ [16–18] *ἅτινα - προφ.*] *ὧν οἰκείοις ὀφθαλμοῖς ἰδεῖν ἠξιώθης P* ‖ [16] *scr καταργεῖται?* (ſ) ‖ [17–18] *τ. β. - προφ.*] possessionum suarum quae non conficitur dissolutione ſ ‖ [17] *παρ.*] *scr παράμονον ἦν? cf 154, 3* ‖ [18] *φύσει*] *scr κτήσει?? cf* ſ ‖ *ἀποβλέπων U* ‖ *αὐτὴν P* ‖ [19] *κ. π. - ἐνθ.*] cum possis cotidie de uita perpetua cogitare ſ ‖ *αἰωνίου V: cf 191, 11* ‖ *οὐδὲ U: cf c 148i*

79 ὑμῖν δὲ τοῖς παρεστῶσιν ὄχλοις καὶ προσδοκῶσιν τὰς καταβεβλημένας ἐγερθῆναι λέγω, πιστεύσατε τῷ ἀποστόλῳ Ἰησοῦ Χριστοῦ· πιστεύσατε τῷ διδασκάλῳ τῆς ἀληθείας· πιστεύσατε τῷ τὴν ἀλήθειαν ὑμῖν ὑποδεικνύοντι· πιστεύσατε Ἰησοῦ· πιστεύσατε ἐπὶ τῷ γεννηθέντι Χριστῷ ἵνα οἱ γεννηθέντες διὰ τῆς αὐτοῦ ζωῆς ζήσωσιν· ὃς καὶ ἀνετράφη διὰ νηπίου, ἵνα ἡ τελειότης διὰ τοῦ ἀνθρώπου αὐτοῦ φανῇ. ἐδίδαξεν τοὺς ἰδίους αὐτοῦ μαθητάς· τῆς γὰρ ἀληθείας διδάσκαλος αὐτός ἐστιν καὶ τῶν σοφῶν ὁ σοφιστής· ὃς καὶ ἐν ναῷ τὸ δῶρον προσήνεγκεν ἵνα δείξῃ πᾶσαν τὴν προσφορὰν ἁγιάζεσθαι. οὗτος ὁ ἀπόστολος ἐκείνου ἐστίν, ἐνδείκτης τῆς ἀληθείας. οὗτός ἐστιν ὁ τὸ θέλημα διαπραττόμενος ἐκείνου τοῦ ἀποστείλαντος αὐτόν. ἐλεύσονται δὲ ἀπόστολοι ψευδεῖς καὶ προφῆται τῆς ἀνομίας, ὧν τὸ τέλος ἔσται πρὸς τὰς αὐτῶν πράξεις, κηρύσσοντες μὲν καὶ νομοθετοῦντες φυγεῖν ἀπὸ τῶν ἀσεβειῶν, αὐτοὶ δὲ πάντοτε ἐν ἁμαρτίαις ἐξεταζόμενοι· ἠμφιεσμένοι μὲν ἐνδύματα προβάτων, ἔσωθεν δὲ λύκοι ἅρπαγες·
216 W οἵτινες μιᾷ γυναικὶ οὐκ ἀρκούμενοι πολλὰς γυναῖκας ἐξαφανίζουσιν· οἳ τέκνων λέγοντες καταφρονεῖν πολλοὺς παῖδας ἀπόλ-

[9] cf Luc 2, 24? ‖ [13] cf Matth 24, 5 ss Petr 2, 2, 1 ‖ [16] cf Matth 7, 15 ‖ [18] cf Tim 2, 3, 6

---

[1] *ὄχλ.*] *πᾶσιν add P* ‖ [1–2] *τ. κ. ἐγ. προσδ. P* ‖ [2–4] *πιστ. - ὑπ.*] *paulo plura et al* ſ ‖ [4] *ὑπ. τ. ἀ. ὑμ. U ὑπ. ὑμ. τ. ἀ V* ‖ *τ. ἀλ.*] *τ. σωτηρίαν P* uera ſ ‖ *δεικνύοντι P* ‖ [4–5] *π. Ἰ. - γενν.*] credite apostolo filii probati Iesu Christi qui natus est ſ ‖ [5] *ἰησοῦν P τῷ ἰησοῦ V* ‖ *πιστ.*] *τῷ ἐπικαθεσθέντι (l δοκιμασθέντι??? cf* ſ) *add V* ‖ *ἐπὶ del?* ‖ *γεννητῷ UV* ‖ *Χρ. om UV: del? cf 13* ‖ [6] *ζωῆς*] genituram ſ ‖ [6–7] *ἀν. δ. ν.*] *νήπιος ἐγένετο καὶ ἀν. et add καὶ τέλειος γέγονεν ἄνθρωπος P* ‖ [7] *ἡ - φανῇ*] *καὶ τὸ τῶν ἀνθρώπων γένος τέλειον ποιήσῃ P* ‖ *δ. τ. ἀ. α.*] *scr τῆς ἀνατροφῆς δι' αὐτοῦ?* (ſ) in scholam iit ut per eum perfecta sapientia nosceretur *add* ſ ‖ *ἐδ.*] *ἐδ. δὲ UV:* <*ὃς καὶ*> *ἐδ.? cf 6; 9* ‖ [8] *τ. ἰ. α. μ.*] *αὐτοὺς τὰ ἴδια μαθήματα UV* magistrum suum ſ ‖ *del α.? cf 204, 9* ‖ *τ. γ.*] *καὶ γ. τ. P: cf 215, 10* ‖ [8–9] *α. ἐ. διδ. P* ‖ [9–11] *κ. τ. σ. - ἁγ. om P* ‖ [9] *ὁ del? cf 11* ‖ [10] *πᾶσιν V* omnem ſ ‖ *τὴν del?* ‖ [11] *ὁ ἀπ. ἐκ. ἐ.*] *ἐ. ὁ ἀληθὴς ἀπ. V* ‖ *ὁ del? cf 9* ‖ *ἐκ.* (ſ) *om U μαθητὴς add P* ‖ [11–12] *ἐνδ. τ. ἀλ. om PV* ‖ [11] <*οὗτός ἐστιν*> *ἐνδ.?* hic est apostolus ueritatis ſ ‖ [12] *οὗτός ἐστιν om V* ‖ *ἐ. ὁ τὸ θ. δ.*] *τὸ ἐκείνου διαπράττεται θ. P* ‖ [13] *αὐτόν*] *ἰησοῦ add P: cf 5* ‖ *ἐλ.*] erit tempus cum uenient ſ ‖ *δὲ*] *μετὰ ταῦτα add V* ‖ [14] *ἔ. π. τ. α.*] *π. τ. α. γενήσεται P* ‖ [15] *φυγ.*] *μὲν add P* ‖ [16] *ἠμφιασμένοι U* ‖ [17] *ἐνδ. πρ.* (ſ)] *προβάτου δοράν P* ‖ *δὲ*] *εἰσιν add V* ‖ *λ.*] *τυγχάνουσιν add P* ‖ [19] *οἳ*] *καὶ οἱ V* ‖ *ἀπολλύντες V ἀποδιδόασιν U* (*cf 195, 1*)

λουσιν, ὧν τὴν τιμωρίαν διδόασιν· οἱ μὴ ἐπαρκούμενοι τῇ ἑαυτῶν κτήσει ἀλλὰ θέλοντες πάντα τὰ ἀχρειώδη αὐτοῖς ἐξυπηρετεῖσθαι μόνοις, ἐπαγγελλόμενοι ὡς μαθηταὶ αὐτοῦ. καὶ ἐν μὲν τῷ στόματι αὐτῶν ἄλλα φθέγγονται, τῇ δὲ καρδίᾳ αὐτῶν ἄλλα ἐνθυμοῦνται· τοῖς ἄλλοις μὲν παρακελευόμενοι ἀσφαλίζεσθαι ἀπὸ τῶν πονηρῶν, αὐτοὶ δὲ οὐδὲν ἀγαθὸν διαπράττονται. οἳ σώφρονες νομίζονται εἶναι καὶ τοῖς μὲν ἄλλοις παρακελεύονται ἀπέχεσθαι πορνείας, κλοπῆς καὶ πλεονεξίας, ταῦτα δὲ πάντα ἐν αὐτοῖς ἀποκρύφως πολιτεύονται, διδάσκοντες τοὺς ἄλλους ταῦτα μὴ διαπράττεσθαι. |

80 Ταῦτα ἐκφάναντος τοῦ ὀνάγρου πάντες εἰς αὐτὸν 54 B
ἀπέβλεπον· καὶ σιγήσαντος αὐτοῦ εἶπεν ὁ ἀπόστολος· Τίνα ἐνθυμηθῶ περὶ τῆς σῆς εὐπρεπείας Ἰησοῦ, τίνα δὲ καὶ περὶ σοῦ ἐξηγήσωμαι οὐκ ἔχω. μᾶλλον δὲ οὐ δύναμαι· οὐ γὰρ χωρῶ ἐξειπεῖν αὐτὰ ὦ Χριστὲ ἀναπεπαυμένε καὶ μόνε σοφέ, ὁ τὰ ἐγκάρδια γινώσκων μόνος καὶ ἐπιστάμενος τὰ τοῦ λογισμοῦ· σοὶ δόξα ἐλεῆμον καὶ ἤρεμε· σοὶ δόξα λόγε σοφέ· δόξα τῇ εὐσπλαγχνίᾳ σου τῇ ἐπικυηθείσῃ ἡμῖν· δόξα τῷ ἐλέει σου τῷ ἐφ' ἡμᾶς ἁπλωθέντι· δόξα τῇ μεγαλωσύνῃ σου τῇ δι' ἡμᾶς σμικρυνθείσῃ· δόξα τῇ ὑψίστῳ σου βασιλείᾳ ἥτις

[1] ὧν] οἳ P τὴν κόλασιν καὶ add V ‖ τιμ.] ὕστερον add UV ‖ δίδωσιν P (cf 194, 19) non nulla add ſ ‖ [1–2] οἱ - κτ. om V ‖ [1] ἀρκούμενοι U: recte? cf 162, 13 ‖ [2–3] ἀλλὰ - μαθ. α. om PV ‖ [2] ἄχριωδη U res ſ: scr χρειώδη? ‖ [3] μόν. om ſ ‖ ἐπ.] et iactabunt ea et existimabuntur ſ ‖ αὐτοῦ] Christi ſ ‖ [4] ἕτερα P: cf 174, 14; 204, 3; 208, 14 ‖ [6] πονηριῶν P ‖ οὐδὲν] τι add U ‖ [7] διαπραττόμενοι U ‖ [7–8] οἳ - παρ.] paulo breuiora ſ ‖ [7] μὲν ὀνομάζονται ε. κ. τ. P ‖ νομίζοντες U ‖ [8] ἄλλ.] οὕτως ἔχειν add P ‖ παρακελευόμενοι U ‖ [8–10] ἀπέχ. - διαπρ.] λάθρα δὲ αὐτοὶ τοῖς αὐτοῖς κακοῖς ἐμπίπτειν οὐ παύονται P ‖ [8] πλεον.] αὐτοὶ add V ‖ [9] δὲ om V ‖ [10] διδ. - διαπρ. (ſ) om V ‖ [11] ταῦτα] δὲ add U τοίνυν add V πάντα add P ‖ τ. ὀν. εἰπόντος P: cf 114, 12 ‖ [11–12] π. - ἀπέβλ.] ἐξεπλάγησαν ἅπαντες P ‖ [11] π.] omnes onagri ſ ‖ [12] κ. σ.] σ. δὲ P ‖ α. ε.] τοῦ ὀνάγρου λέγει P ‖ τί P ‖ [13] τ. σ. ε.] tuo seruo *aut* opere tuo ſ: scr ἐνεργείας (cf 193, 12)?? ‖ [13–14] τίνα - ἔχω om P ‖ [14] ἔχω] scr οἶδα?? cf 163, 3; 189, 14 ‖ [14–15] μ. - Χρ. om ſ ‖ [14] οὐ δ.] τί εἴπω P ‖ [15] χωρῶ] δεδύνημαι P ‖ ταῦτα χρ. ἐξ. (om ὦ) P ‖ Χρ.] καὶ add U μου add V ‖ ἀν. κ. μ. σ.] mitis et silens et quietus et loquens ſ ‖ [16] ὁ - ἐπ.] spectator qui es in corde et quaesitor qui es in mente ſ ‖ ἐγκ.] πάντων add P ‖ μόνος om P ſ: del? ‖ ἐπ. - λογ.] τοὺς λογισμοὺς ἐπ. P πάντα add V ‖ [17] σοφέ] uiuum *et add* gloria tibi occulte et multiformis ſ: cf 161, 14; c 153 i; Lipsius 1 p 325. 1 ‖ [18] ε. σ.] σῇ ε. P ‖ ἡμ. ἐπ. P ‖ [19] τῇ al] τῆς P: cf 196, 4 ‖ [20] δι'] εἰς P: cf 196, 1; 2; 3 ‖ σμικρυνθείσης P ‖ ὑψίστη U: scr ὑψώσει (del βασ.)? (ſ) ‖ σου] αὐτοῦ P: cf 188, 3 - 4 ‖ ἣ V ἣν P: cf 196, 3; 1

δι' ἡμᾶς ἐταπεινώθη· δόξα τῇ ἰσχύι σου ἣ δι' ἡμᾶς ἠλαττώθη· δόξα τῇ θεότητί σου ἣ δι' ἡμᾶς εἰς ἀπεικασίαν 217 W ἀνθρώπων ὤφθη· δόξα τῇ ἀνθρωπότητί σου, ἥτις δι' ἡμᾶς ἀπέθανεν, ἵνα ἡμᾶς ζωοποιήσῃ· δόξα τῇ ἀναστάσει σου τῇ ἀπὸ τῶν νεκρῶν· διὰ γὰρ ταύτης ἔγερσις καὶ ἀνάπαυσις ταῖς ψυχαῖς ἡμῶν γίνεται· δόξα καὶ εὐφημία τῇ ἀνόδῳ σου τῇ ἐπὶ τοὺς οὐρανούς· δι' αὐτῆς γὰρ ἡμῖν ὑπέδειξας τὴν ἄνοδον τοῦ ὕψους ἐπαγγειλάμενος ἡμῖν ἐκ δεξιῶν σου καθεσθῆναι καὶ συγκρῖναι τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ. σὺ εἶ ὁ ἐπουράνιος λόγος τοῦ πατρός· σὺ εἶ τὸ ἀπόκρυφον φῶς τοῦ λογισμοῦ, ὁ τὴν ὁδὸν ὑποδεικνύων τῆς ἀληθείας, διῶκτα τοῦ σκότους καὶ τῆς πλάνης ἐξαλειπτά.

81 Ταῦτα εἰπὼν ὁ ἀπόστολος ἐπέστη ταῖς γυναιξὶ λέγων· Κύριέ μου καὶ θεέ μου, οὐ διαιροῦμαι ἀπὸ σοῦ οὐδὲ ἀπιστῶν ἐπικαλοῦμαί σε, πάντοτε ὄντα ἡμῶν βοηθὸν καὶ ἐπίκουρον καὶ ἐπανορθωτήν· ὁ τὴν ἑαυτοῦ δύναμιν ἐμπνέων ἡμῖν καὶ παραθαρσύνων ἡμᾶς καὶ παρέχων παρρησίαν ἐν ἀγάπῃ τοῖς ἰδίοις σου δούλοις· δέομαί σου, ἰαθεῖσαι αἱ ψυχαὶ ἀναστήτωσαν καὶ γενέσθωσαν οἷαι ἦσαν πρὸ τοῦ πληγῆναι ὑπὸ τῶν δαιμόνων. Ταῦτα δὲ αὐτοῦ εἰπόντος στραφεῖσαι αἱ γυναῖκες

[8] Matth 19, 28; 20, 23

---

[1] ἐταπεινώθην *V* ἐταπείνωσας *P: cf q s* ‖ ἣν *P: cf 195, 20* ‖ ἐλαττώθη *V* ἠλάττωσας *P* ‖ [2–3] ἣ - ὤ.] ἣν ὀφθῆναι εἰς (*cf 195, 20*) ἡμ. τοὺς ἀνθρώπους ἠξίωσας *P* ‖ [2] ἀνθρ. *om V: scr* ἀνθρώπου? ‖ [3] ἥτις] ἣ *U* (*cf 195, 20*) propter nos nouata est et *add* ſ ‖ [4] τῇ *alt*] τῆς *P: cf 195, 19* ‖ [5] τ. ν.] sepulcro ſ εἰς ἡμᾶς ἐπιδημησάσης *add P* ‖ αὐτῆς *UV: fort uerum sed cf 7* ‖ ἀν.] *scr* ἀνάστασις?? (ſ) ‖ [5–6] τ. ψ. ἡμ.] *scr* ἡμῖν?? (ſ) ‖ [6] ἡμῶν *om UV* ‖ κ. εὐφ. *post* ἀν. *U om* ſ: *del??* ‖ [7–9] ὑπ. - δώδ.] τ. ἄν. τ. ὕ. ὑπέδ. καὶ ἐκ δ. σ. καθ. ἐπ. τ. δώδ. μετα σοῦ κρίναι *P* ‖ [8] ὑψίστου *V* ‖ [9] συγκ.] *scr* σὺν σοὶ κρῖναι?? *cf 114, 1* ‖ [10] τ. π. *om* ſ ‖ τ. λ.] σὺ εἶ *add V* ‖ [11] ὁδ.] ἡμᾶς *add P* ‖ τ. ἀλ. ὑπ. *P* ‖ δι.] ὃς καὶ διώκτης οἶδας τυγχάνειν (*cf 139, 4*) *P: scr* διώκτης?? ‖ [12] ἐξ.] πάντας ἡμᾶς ἀπελαύνων *P: scr* ἐξαλειπτής?? (ſ) ‖ [13] ἀπ.] uenit et *add* ſ ‖ γυν.] quae iacebant *add* ſ ‖ [14] μου *alt*] ἰησοῦ χριστέ *V* Iesu Christe *add* ſ: *cf 114, 5; c 144m* ‖ *scr* ἀπιστῶ⟨, ἀλλ'⟩? (ſ) ‖ [15–16] π. - ἐπαν.] qui omni tempore nos adiuuas et sustines et confirmas ſ ‖ [15] ἡμ. ὄ. *et add* σε (*cf 191, 11*) *P* ‖ κ. ἐπίκ. *om UV* ‖ [16] κ. ἐπαν. *om P* ‖ ὁ - ἡμῖν *om* ſ? ‖ [17] παρρ. παρέχ. *P* ‖ ἐν ἀγ.] et gaudium ſ ‖ [17–18] τοὺς ἰδίους σ. δούλους *P* seruo tuo et apostolo ſ ‖ [18] ἰαθ. - ἀναστ.] κέλευσον τὰς ἰαθείσας ψυχὰς ἀναστῆναι *V* ἀνάστησον τὰς γυναῖκας ταύτας *P* sanantor hae et surgunto ſ ‖ ψ.] *scr* γυναῖκες ⟨αὗται⟩? ‖ [19] γεν. - ἦσαν (ſ)] τὴν προτέραν αὐτὰς δώρησαι ὑγείαν *P* ‖ γενέσθαι *V* ‖ τοῦ] ταύτας *add P* ‖ [19–20] ἐκ (*recte? cf 182, 16*) τ. δ. πλ. *P* ‖ [19] πλ.] αὐτὰς *add V* ‖ [20] εἰπ. α. *U*

ἐκαθέσθησαν. καὶ παρεκελεύσατο τῷ στρατηλάτῃ ὁ ἀπόστολος
ἵνα οἱ τούτου θεράποντες λαβόντες αὐτὰς εἰσαγάγωσιν. αὐτῶν
δὲ εἰσελθόντων εἶπεν τοῖς ὀνάγροις ὁ ἀπόστολος· Ἀκολουθή-
σατέ μοι. Καὶ εἰπόντος αὐτοὶ ἕως ἔξω | τῶν πυλῶν· ἐξελ- 55 B
θόντων δὲ αὐτῶν εἶπεν αὐτοῖς· Ἀπέλθετε μετ' εἰρήνης ἐπὶ 218 W
τὰς νομὰς ὑμῶν. Ἀπῄεσαν οὖν οἱ ὄναγροι προθύμως· ἑστὼς
δὲ ὁ ἀπόστολος προσεῖχεν αὐτοῖς ἵνα μὴ ὑπό τινος ἀδικη-
θῶσιν, ἕως ὅτε πόρρω γενόμενοι ἀφανεῖς ἐγένοντο· ὑπέ-
στρεψεν δὲ ὁ ἀπόστολος σὺν τῷ ὄχλῳ εἰς τὴν οἰκίαν τοῦ
στρατηλάτου.

Περὶ τῆς γυναικὸς Χαρισίου πρᾶξις θ'.

82 Ἔτυχεν δὲ γυναῖκά τινα, Χαρισίου τοῦ ἔγγιστα τοῦ βασιλέως, ᾗ ὄνομα Μυγδονία, ἐλθεῖν ἐπὶ τὸ θεάσασθαι καὶ ἰδεῖν ὄνομα νέον καὶ θεὸν νέον καταγγελλόμενον καὶ νέον ἀπόστολον ἐπιδημήσαντα τῇ αὐτῶν χώρᾳ· ἐφέρετο δὲ ὑπὸ τῶν ἰδίων δούλων· καὶ διὰ τὸν πολὺν ὄχλον καὶ τὴν στενοχωρίαν οὐκ ἠδύναντο αὐτὴν εἰσαγαγεῖν πρὸς αὐτόν. ἔπεμψεν δὲ πρὸς τὸν ἴδιον ἄνδρα ἵνα πέμψῃ αὐτῇ πλείονας τοὺς αὐτῇ ἐξυπηρετουμένους· ἦλθον δὲ καὶ προσῆλθον αὐτῇ θλίβοντες

---

[1] ἐκ.] sanatae *add* ſ ‖ [2] τούτου *om UV* eius ſ ‖ θ. λ.] θ. τῇ τε γυναικὶ καὶ τῇ θυγατρὶ λ. αὐτοῦ *P* ‖ αὐτ. εἰσαγ.] εἰς τὸν οἰκεῖον αὐτ. κοιτῶνα ἀπάγωσιν *P* ἔνδον τοῦ οἴκου *add V non nulla al add* ſ ‖ [2–3] α. δὲ ε.] τούτου δὲ γενομένου (*ex* λεγομένου *eff*) *P* et cum cepissent eas et intro duxissent ſ ‖ [3] λέγει *P* ‖ [4] εἰπ.] ἀπελθὼν μετ' *P* αὐτοῦ ταῦτα *add V: scr* εἵποντο (ſ) *cf 158, 15* ‖ αὐτῶν *P* ‖ ἕως] donec duxit eos ſ ‖ πυλ.] ἐξῆλθον *add UV: cf 8; 104, 3; 123, 9; 126, 2; al* ‖ [4–5] ἐξ. δὲ α. (ſ) *om P* ‖ [5] ἀπέλθατε μετὰ *U* ‖ [6] ἀπ. ο.] καὶ ἀπ. *V* ſ ‖ ἔστη *P* ‖ [7] προσέχων *P* ‖ [8] γενόμεναι *U* γεγόνασιν *V* ‖ ἐγέν.] τότε *add V* ‖ [9] σ. τ. ὄ. ὁ ἀπ. *P* ‖ [8–10] ὑπ. - στρ. *post 11* ſ ‖ [10] στρατ.] *paucis adiectis deficit usque ad c 150 V: cf praef*

PU [11] actus octauus de **Mygdonia** et Charisio ſ ‖ [12] Χ. (ſ)] <γαμετὴν> Χ.?? ‖ [13] ἦλθεν *P* ‖ [14] ὄν. - κατ.] nouum uisum noui dei qui nuntiabatur ſ ‖ ὄν. - κατ.] τὸν ἀπόστολον τοῦ νέ. θ. καταγγελλοντος *P* ‖ ὄν.] *scr* ὅραμα? ‖ [15] τῇ α. ἐπ. *P* ‖ χ.] et sedebat in lectica *add* ſ: *cf Ph 45, 14* ‖ [18] τ. ἴ. ἄ. (ſ)] τὴν ἰδίαν γαμετὴν τοῦ στρατηλάτου *P* ‖ [18–19] ἵνα - ἐξυπ.] et misit apparitores suos ſ ‖ [18–19] α. πλ. - ἐξυπ.] τινὰς πρὸς αὐτὴν ἵνα ταύτην πρὸς τὸν ἀπόστολον εἰσαγάγωσιν *P* ‖ [19] *scr* ἐξυπηρετησομένους?? ‖ [19] ἐλθόντες *P* ‖ [19]–198.[1] προσ. - ἀνθρ.] ταύτην λαβόμενοι ἔτυπτον τὸν ὄχλον ἐπὶ τὸ τόπον τὴν μυγδονίαν ποιῆσαι *P* pueri eius caedebant populum et repellebant multos m ‖ [19] *scr* προῆλθον αὐτῆς? (ſ)

καὶ δέροντες τοὺς ἀνθρώπους. ἰδὼν δὲ ὁ ἀπόστολος εἶπεν αὐτοῖς· Τίνος ἕνεκεν καταστρέφετε τοὺς ἐρχομένους ἀκοῦσαι
219 W τὸν λόγον, οἳ καὶ προθυμίαν ἔχουσιν; ὑμεῖς δὲ βούλεσθε παρ' ἐμοὶ μὲν εἶναι, πόρρω τυγχάνοντες· καθὼς εἴρηται ἐπὶ τοῦ ὄχλου τοῦ ἐρχομένου πρὸς τὸν κύριον, ὅτι Ὀφθαλμοὺς μὲν ἔχοντες οὐ βλέπετε, καὶ ὦτα ἔχοντες οὐκ ἀκούετε. Καὶ ἔλεγεν πρὸς τοὺς ὄχλους· Ὁ ἔχων ὦτα ἀκούειν ἀκουέτω· Καί· Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς.

83 Ἀπιδὼν δὲ πρὸς τοὺς βαστάζοντας αὐτὴν εἶπεν αὐτοῖς· Οὗτος ὁ μακαρισμὸς καὶ ἡ παραίνεσις

ὁ ἐκείνοις ἐπαγγελθεὶς ὑμῖν αὐτοῖς ἐστιν τοῖς ἐπιφορτισμένοις νῦν. ὑμεῖς ἐστε οἱ τὰ δυσβάστακτα φορτία βαστάζοντες καὶ αὐτῆς κελεύσει, παραφερόμενοι· καὶ ἀνθρώποις ὑμῖν οὖσιν	περὶ ὑμῶν εἴρηται, οἵτινες δυσβάστακτα φορτία βαστάζειν εἰδότες τῷ πλησίῳ κρίνειν οὐ παύετε, οὐδὲ συνιεῖτε ὅτι καὶ αὐτὸς ὁμοιοπαθεῖς ὑμῶν εἰσιν ἄνθρωποι καὶ μιᾶς ἑκάτεροι τυγχάνετε φύσεως· καὶ
ωσπερ τοῖς ἀλόγοις ζῴοις ἐπιτιθέασιν ὑμῖν	ὥσπερ τοῖς ζῴοις σοβαρῶς οἴδατε τούτοις φορτώνειν καὶ ἐπαχθῆ ἀνηλεημόνως παρέχειν
φόρτους, τοῦτο νομίζοντες οἱ	φορτία, οὕτως καὶ πρὸς τοὺς

[5] Marc 8, 18 ‖ [7] Matth 11, 15 Marc 4, 9 ‖ [8] Matth 11, 28 ‖ [14] cf Matth 23, 4

---

[2] *κατ.] τύπτετε P* ‖ [3] *ἔχ.] τελίσκειν τὰ λεγόμενα add U τοῦτον ἀκοῦσαι μὴ οὕτως ἀδελφοί μου ποιεῖτε add P* uosque studetis eos pergere ſ ‖ *δὲ om P* ‖ [4] *μὲν παρ' ἐ. ε. U: scr παρ' ἐμοὶ μένειν?? παρ' ἐμὲ ἰέναι?* (ſ) ‖ *πόρρωθεν U: cf 197, 8; 192, 3* ‖ *εἴρ.]* dixit dominus ſ ‖ [5] *πρ. τ. κ. ἐρχ. P* ‖ *τὸν om U: cf 155, 11* ‖ [6] *μὲν om U: del?* ‖ *οὐ om P* ‖ *οὐκ om P* ‖ [7] *κ. ἔλ. - ἀκουέτω om* ſ: *del? cf 11* ‖ *καὶ - ὄ.]* πρ. δὲ τ. ὄ. *ἔλ. U: cf 4* ‖ [8] *πρός με om P* ‖ *κεκοπιακότες U* ‖ [10] *ἀπιὼν U* ‖ [11] *κ. ἡ παρ. om* ſ: *del? cf 7; 12*

[12]–202,[2] *U et P separatim dedimus: multa cum neutro libro nostro congruentia* ſ

U [13] *αὐτοῖς ἐ.]* contingit ſ: *scr οὗτος ὑπάρχει??* ‖ *scr πεφορτισμένοις* ‖ [14] *νῦν ante οὗτος (11)* ſ ‖ [17] *scr περιφερόμενοι?* ‖ [21] *scr φορτία? cf 15; 199, 13* ‖ [24]–199,[3] *τοῦτο - εἰσιν]* nec nouerunt omnes homines coram deo aequos esse ſ: *sed cf P*

P [15–16] *β. εἰδ.] cf 139, 4* ‖ [16] *scr τὸν πλησίον??* ‖ [17] *παύεσθε uoluit et συνίετε* ‖ [18] *scr αὐτοὶ* ‖ *ὑμῖν Vsener* ‖ [22] *οἴδ.] cf 139, 4*

τὴν ἐξουσίαν καθ' ὑμῶν ἔχοντες ὅτι οὐκ ἐστὲ ἄνθρωποι οἷοι καὶ αὐτοί εἰσιν, εἴτε δοῦλοι εἴτε ἐλεύθεροι·

ὁμοφύλους ὡς ἔφαμεν ἀνθρώπους ποιεῖν,

κἄν τε δοῦλοι τῷδε | τῷ βίῳ 56 B
εἰσὶν κἄν τε ἐλεύθεροι, κἄν τε πλούσιοι καὶ πένητες.

οὔτε γὰρ τοὺς πλουσίους ἡ κτῆσις ὀφειλήσει τι, οὔτε τοὺς πένητας ἡ πενία ῥύσεται ἀπὸ τῆς δίκης· οὔτε εἰλήφαμεν ἐντολὴν ἣν οὐ δυνάμεθα ποιῆσαι· οὔτε φορτία δυσβάστακτα ἡμῖν ἐπέθηκεν ἃ οὐ δυνάμεθα βαστάσαι· οὔτε οἰκοδομὴν τοιαύτην ἣν οἱ ἄνθρωποι κτίζουσιν· οὔτε λίθους λατομῆσαι καὶ οἴκους κατασκευάσαι ὡς οἱ τεχνῖται ὑμῶν διὰ τῆς ἰδίας ἐπιστήμης ποιοῦσιν. ταύτην δὲ τὴν ἐντολὴν εἰλήφαμεν παρὰ τοῦ κυρίου ἵνα ὃ οὐκ ἀρέσκει ἡμῖν ὑπὸ ἄλλου γινόμενον τοῦτο ἄλλῳ τινὶ μὴ ποιοῦμεν.

καὶ οὐ τὰ καθ' ἑαυτῶν πρότερον ἐννοῶμεν οἷα καὶ ὅσα 220 W
εἰσίν, καὶ τῆς ἐκεῖ περὶ τούτων ἐπιμιμνήσκεσθαι δίκης· ἀλλὰ τὰ τοῦ πέλας κρίνειν μάλα εἰδότες τὰ οἰκεῖα περιστέλλειν εἰώθαμεν.

84 ἀπέχεσθε οὖν πρῶτον τῆς μοιχείας· πάντων γὰρ τῶν κακῶν αὕτη ἐστὶν ἀφορμή·

τούτων οὖν πάντων ἀπέχεσθαι παρακαλῶ, οἷον πορνείαν, μοιχείαν, ἀκαθαρσίαν,

[3] εἰσιν] *non nulla add* ſ ‖ [4] ἐλ.] *plura add* ſ ‖ [9] *κτίσις U* ‖ *scr ὠφελήσει?* ‖ [16] ἄνθρ.] fabri ſ ‖ *κτ.*] sibi cum sapientia *add* ſ ‖ [18] *κ. ο. κατ. om* ſ: *del? cf 15* ‖ [23–24] ὃ - ποι.] faciamus aliquid quod possumus ſ ‖ [24] *scr ποιῶμεν?* ‖ [29] ἀπ.] abstinere (*pendens ab illo* iubemur) ſ

[5] *τῷδε*] *ἐν τῷδε Usener: cf 200, 25* ‖ [6] *scr ὦσιν?* ‖ [7] *καὶ*] *scr κἄν τε?* ‖ [22–28] *καὶ οὐ - εἰώθ. om* ſ ‖ [23] *scr ἐννοοῦμεν?? ἐννοεῖν Usener certe melius sed haec omnia dubia* ‖ [27] *εἰδ.*] *cf 139, 4* ‖ [30] *scr πορνείας ac sic reliqua?*

ἔπειτα καὶ κλοπῆς, ἥτις Ἰούδαν Ἰσκαριώτην δελεάσασα εἰς ἀγχόνην ἤγαγεν· ὅσοι γὰρ τῇ πλεονεξίᾳ οἰκοῦσιν οὐχ ὁρῶσιν τὰ ὑπ' αὐτῶν γινόμενα· καὶ ἀπὸ τῆς ἀλαζονείας καὶ ἀπὸ πάντων τῶν αἰσχρῶν πράξεων, μάλιστα τῶν σωματικῶν, ἐν ᾧ κατάκρισις αἰωνία γίνεται. ἔστιν γὰρ αὕτη ἡ μητρόπολις τῶν κακῶν ἁπάντων· ὁμοίως δὲ καὶ τοὺς ὑψαυχενοῦντας ἄγει εἰς τυραννίδα, κατασπῶσα αὐτοὺς εἰς βάθος καὶ χειρουμένη αὐτοὺς ὑπὸ τὰς αὐτῆς χεῖρας, ἵνα μὴ θεάσωνται ἃ πράττουσιν· ὅθεν τὰ διαπραττόμενα ὑπ' αὐτῶν ἄδηλα αὐτοῖς ἐστιν.

πλεονεξίαν, φιλαργυρίαν, καὶ πᾶν ὅ τι καὶ παραβλάπτειν τὴν ψυχὴν ὑμῶν οἴδατε.

85 *ἀλλ' ὑμεῖς πάντων τῶν ἀγαθῶν εὐάρεστοι γίνεσθε τῷ θεῷ ἐν πραότητι καὶ ἡσυχίᾳ· τούτων γὰρ φείδεται ὁ θεός, καὶ ζωὴν αἰωνίαν παρέχει καὶ τὸν θάνατον ἐξουθενεῖ· καὶ ἐν ἐπιεικείᾳ, πᾶσιν τοῖς ἀγαθοῖς ἐπακολουθεῖ, ἡ πάντας τοὺς ἐχθροὺς καταγωνιζομένη καὶ τὸν στέφανον τῆς νίκης μόνη λαβοῦσα· ἐν ἡσυχίᾳ καὶ τῷ*

καὶ γίνεσθε ἀγαθοί, οἰκτίρμονες, ἐλεήμονες, ἀμνησίκακοι, φιλόπτωχοι, δίκαιοι, εἰρηνικοί, μετὰ πάσης τῆς πρᾳότητος ἐν τῷδε ζῶντες τῷ βίῳ.

[1] cf act 1, 18 ‖ [22] cf Luc 6, 36

---

[3] *⟨καὶ ἀπὸ πλεονεξίας·⟩ ὅσοι?* (ʃ) ‖ [4] *scr εἴκουσιν?* (ʃ?) ‖ [7] *scr πασῶν??* (*cf 109, 13; c 126e*) *del? om* ʃ ‖ [8] *μάλ. τ. σωμ.*] et commercio odioso et coniunctione impura ʃ ‖ [9] *ᾧ*] *scr ᾗ? cf 10 αὕτη et 203, 18; 210, 11* ‖ [10–11] *ἔ. - ἀπ. om* ʃ: *cf 201, 9* ‖ [10] *del ἡ?* ‖ [13] *ἄ. εἰς τ.*] ui comprehendit ʃ ‖ [21]–201,[5] *pleraque mire corrupta: cf* ʃ ‖ [27] *scr αἰώνιον?? cf 191, 11* ‖ [29] *⟨ἥτις⟩ πᾶσιν?* ‖ [33] *scr λαμβάνουσα?*

διὰ χειρὸς ὀρέγοντι τοῖς πένησιν καὶ πληροῦντι τὸ ἐνδεὲς τῶν λειπομένων, κομίζουσα καὶ μεταδιδοῦσα τοῖς δεομένοις· μάλιστα τοῖς ἐν ἁγιωσύνῃ πολιτευομένοις· αὕτη γὰρ ἐπίλεκτός ἐστιν παρὰ τῷ θεῷ καὶ εἰσάγουσα εἰς τὴν αἰώνιον ζωήν· αὕτη γὰρ μητρόπολίς ἐστιν παρὰ τῷ θεῷ τῶν ἀγαθῶν ἁπάντων· οἱ γὰρ μὴ ἀγωνιζόμενοι ἐν τῷ σταδίῳ τοῦ Χριστοῦ οὐ μὴ τύχωσιν τῆς ἁγιωσύνης. ἡ δὲ ἁγιωσύνη ὤφθη ἐκ τοῦ θεοῦ, καταργοῦσα τὴν πορνείαν, καταστρέφουσα τὸν ἐχθρόν, εὐαρεστοῦσα τῷ θεῷ. ἀθλητὴς γὰρ ἀήττητός ἐστιν, ἔχουσα 221 W *ἀξίωμα τοῦ θεοῦ, παρὰ πολλῶν δοξαζομένη. πρεσβευτής ἐστιν εἰρήνης, καταγγέλλουσα εἰρήνην. εἴ τις κτήσεται αὐτήν, ἀφρόντιστος μένει, τῷ κυρίῳ εὐαρεστῶν, προσδεχόμενος τὸν καιρὸν τῆς ἀπολυτρώσεως. οὐδὲν γὰρ παράτοπον διαπράττεται, παρέχουσα ζωὴν καὶ ἀνάπαυσιν καὶ χαρὰν πᾶσιν τοῖς αὐτὴν κτωμένοις.*

καὶ γὰρ εἴ τις τὴν τοιαύτην ἔχει

86 *ἡ δὲ πρᾳότης τὸν θάνατον ὑπέταξεν, ὑπ' ἐξουσίαν αὐτὸν ποιήσασα· ἡ πρᾳότης*

πρᾳότητα

[1–2] *scr ὀρέγειν et πληροῦν* (ʃ)?? *cf 3* ‖ [5] *scr μάλιστα <δὲ> προσ<ήκει ὑμῖν> ἐν ἁγιωσύνῃ* (*quae est pro ἁγνείᾳ: cf 202, 6; 8; 207, 20; 217, 15 conl cum* ʃ) *πολιτεύεσθαι???* (ʃ) ‖ [12–13] *ἀγων. - Χρ.*] *ex ἁγνιζόμενοι* (ʃ) *interpolatione eff??* ‖ [13–14] *οὐ - ἁγ.*] nihil boni facere possunt ʃ ‖ [16] *τ. πορν.*] malum ʃ ‖ [20–21] *π. π. δ.*] cum apud multos inuenitur ʃ ‖ [21] *scr πρεσβεῦτίς?? cf 18* ‖ [22] *εἰρήνης*] concordiae ʃ: *cf 202, 4* ‖ [23] *εἴ τις et q s de temperantia dicta* ʃ ‖ [27] *scr ἄτοπον??* odiosum ʃ

τὸν ἐχθρὸν κατεδουλώσατο·	τὸν ἐχθρὸν καταδουλοῦται· ἀλλὰ καὶ

ἡ πρᾳότης ζυγός ἐστιν ἀγαθός· ἡ πρᾳότης οὐδένα φοβεῖται καὶ τοῖς πολλοῖς οὐκ ἐναντιοῦται· ἡ πρᾳότης εἰρήνη ἐστὶν καὶ χαρὰ καὶ ἀγαλλίασις τῆς ἀναπαύσεως· μείνατε οὖν ἐν τῇ ἁγιωσύνῃ καὶ δέξασθε τὴν ἀμεριμνίαν καὶ ἐγγὺς γίνεσθε τῆς πρᾳότητος· ἐν γὰρ τούτοις τοῖς τρισὶν κεφαλαίοις εἰκονογραφεῖται ὁ Χριστὸς ὃν ἐγὼ καταγγέλλω ὑμῖν. ἡ ἁγιωσύνη ναός ἐστιν τοῦ Χριστοῦ, καὶ ὁ οἰκῶν ἐν αὐτῇ οἰκητήριον αὐτὴν κτᾶται· τεσσαράκοντα γὰρ ἡμέρας καὶ τεσσαράκοντα νύκτας ἐνήστευσεν οὐδενὸς γευσάμενος· καὶ ὁ ταύτην φυλάττων ἐν αὐτῇ οἰκήσει ὡς ἐν ὄρει. ἡ δὲ πρᾳότης καύχημα αὐτοῦ ἐστιν· εἶπεν γὰρ Πέτρῳ τῷ συναποστόλῳ ἡμῶν· Ἀπόστρεψον τὴν μάχαιράν σου εἰς τὰ ὀπίσω καὶ ἀποκατάστησον εἰς τὴν θήκην
222 W αὐτῆς· εἰ γὰρ ἤθελον τοῦτο ποιῆσαι, μὴ οὐκ ἠδυνάμην πλέον ἢ δώδεκα λεγεῶνας παρὰ τοῦ πατρός μου παραστῆσαι ἀγγέλων;

87 Ταῦτα εἰπόντος τοῦ ἀποστόλου παντὸς τοῦ ὄχλου ἀκούοντος ἀλλήλους συνεπάτουν θλίβοντες· ἡ δὲ γυνὴ Χαρισίου τοῦ συγγενοῦς τοῦ βασιλέως ἐκπηδήσασα ἐκ τοῦ δίφρου καὶ ἑαυτὴν ῥίψασα ἐπὶ τῆς γῆς ἔμπροσθεν τοῦ ἀποστόλου καὶ τῶν ποδῶν αὐτοῦ ἁπτομένη καὶ δεομένη ἔλεγεν· Μαθητὰ τοῦ θεοῦ τοῦ ζῶντος, εἰσῆλθες εἰς χώραν ἔρημον· ἐν ἐρημίᾳ γὰρ οἰκοῦμεν, ἐοικότες ζῴοις ἀλόγοις ἐν τῇ ἀναστροφῇ ἡμῶν· νῦν δὲ διὰ τῶν σῶν χειρῶν σωθησόμεθα· δέομαι οὖν σου, φρόντισόν μου καὶ εὖξαι ὑπὲρ ἐμοῦ, ἵνα ἡ εὐσπλαγχνία τοῦ ὑπὸ σοῦ καταγγελλομένου θεοῦ γένηται ἐπ' ἐμέ, κἀγὼ γένωμαι

10 cf Matth 4, 2 ‖ 13 Matth 26, 52; 53

---

1 *scr τὸ?* (ſ)

3 *ζυγ.] ταύτης add P* ‖ 4 *εἰρ.]* concordia ſ: *cf 201, 22* ‖ 5 *τ. ἀν.] scr καὶ ἀνάπαυσις??* (ſ) ‖ 6 *ἀμερ.]* temperantiam ſ ‖ *γενήσεσθε P* ‖ 8 *ὑμ. κατ. P* ‖ *ὑμ. om* ſ: *del? cf 214, 6* ‖ 9 *Χρ.]* dei ſ ‖ 9–10 *κτ. αὐτόν P* temperantia est requies dei *add* ſ ‖ 11 *μηδενὸς P* ‖ 11–12 *ἐν - ὄρει]* in eo Christus habitat ſ ‖ 12 *πραΰτης U: cf 3 al* ‖ 14 *μάχαιρά P* ‖ 15 *ἤθ.] διαγγέλων add U* ‖ *μὴ οὐκ om P* ‖ 15–16 *πλείονας τῶν δώδ. λεγεώνων λαβεῖν ἀγγ. ἐκ τ. ἐμοῦ π. P* ‖ 16 *ἀγγέλους U* ‖ 18 *τ. ἀπ. εἰπ. P* ‖ *παντ.* (ſ)] *καὶ U* ‖ 19 *ἀλλήλοις P μᾶλλον add U* ‖ *θλ. συν. P* ‖ 21 *ἔ. τ. ἀπ. ἑ. τ. γ. ῥ. P* ‖ 22 *κ. δε. om P* ‖ 23 *ὁ εἰς ἔρ. χ. ἐλθὼν P* ‖ *εἰσ.] scr ὃς ἦλθες?* ‖ 23–24 *ἐν ἐ. γ.] ἔρημον γ. βίον P* ‖ 24 *ζ. γὰρ ἀλ. ἐοίκαμεν τ. ἡμ. ἀν.* (*om ἐν*) *P* ‖ 25 *διὰ τ. σ. δὲ χ. τανῦν P* ‖ *σωθ.] scr τιθασευόμεθα?* (ſ) ‖ *σοι P* ‖ 27 *ἐμοὶ U*

αὐτοῦ οἰκητήριον, καὶ καταλλαγῶ ἐν τῇ εὐχῇ καὶ τῇ ἐλπίδι καὶ τῇ πίστει αὐτοῦ, καὶ δέξωμαι κἀγὼ σφραγῖδα, καὶ γένωμαι ναὸς ἅγιος, καὶ | κατοικήσῃ ἐν ἐμοὶ αὐτός. 57 B

88 *Καὶ ὁ ἀπόστολος εἶπεν· Εὔχομαι καὶ δέομαι ὑπὲρ ὑμῶν πάντων ἀδελφοὶ τῶν εἰς τὸν κύριον πιστευόντων καὶ ὑμῶν τῶν ἀδελφιδῶν τῶν εἰς τὸν Χριστὸν ἐλπιζουσῶν ἵνα εἰς πάντας κατασκηνώσῃ ὁ λόγος τοῦ θεοῦ καὶ ἐν αὐτοῖς ἐνσκηνώσῃ· ἡμεῖς γὰρ αὐτῶν ἐξουσίαν οὐκ ἔχομεν. Καὶ ἤρξατο λέγειν πρὸς τὴν γυναῖκα Μυγδονίαν· Ἀνάστα ἀπὸ τῆς γῆς καὶ ἀναπόλησον σεαυτήν· οὐδὲν γάρ σε ὠφελήσει ὁ ἐπίθετος κόσμος οὗτος, οὐδὲ τὸ κάλλος τοῦ σώματός σου, οὐδὲ* 223 W *τὰ ἀμφιάσματά σου· ἀλλ' οὔτε ἡ φήμη τοῦ περὶ σὲ ἀξιώματος, οὔτε ἡ ἐξουσία τοῦ κόσμου τούτου, οὔτε ἡ κοινωνία ἡ ῥυπαρὰ ἡ πρὸς τὸν ἄνδρα σου αὕτη ὀνήσει σε στερηθεῖσαν ἀπὸ τῆς κοινωνίας τῆς ἀληθινῆς· ἡ γὰρ φαντασία τοῦ καλλωπισμοῦ καταργεῖται, καὶ τὸ σῶμα γηράσκει καὶ ἀλλάσσεται, καὶ τὰ ἐνδύματα παλαιοῦται, καὶ ἡ ἐξουσία καὶ ἡ δεσποτεία παρέρχεται μετ' αὐτῶν καὶ ὑπόδικον εἶναι, ἐν ᾧ ἤδη πολλοὶ ἐπολιτεύσαντο. παρέρχεται δὲ καὶ ἡ κοινωνία τῆς παιδοποιίας ὡς δὴ κατάγνωσις οὖσα. Ἰησοῦς μόνος μένει ἀεὶ καὶ οἱ εἰς αὐτὸν ἐλπίζοντες. Ταῦτα εἰπὼν λέγει πρὸς τὴν γυναῖκα·*

---

1 *οἰκ.*] ancilla ʃ: *scr οἰκέτις??* ‖ *καταλεγῶ U* ‖ *⟨αὐτῷ⟩ ἐν? ⟨ὑμῖν⟩ ἐν?* (ʃ) ‖ 2 *κ. δ. κ. σφ. om* ʃ ‖ 3 *αὐτός*] *ὁ θεὸς ὁ καὶ παρασοῦ ἡμῖν κηρυττόμενος add P: cf 202, 27* ‖ 4 *ἔφη U: cf 21; 204, 2; 11; 19; al* ‖ 5 *ἁπάντων U* ‖ *ἀδ. om P* ‖ *τῶν - πιστ. om* ʃ ‖ *κύρ.*] *ἡλικιότων καὶ add P: cf 6* ‖ *πιστευσάντων P* ‖ 5–6 *κ. ὑμ. - ἐλπ. om P: cf 5* ‖ 6 *τῶν εἰς - ἐλπ. om* ʃ ‖ 7–8 *ἐν α. ἐνσκ.*] *κατοικήσει αὐτὸς σὺν αὐτῷ U: scr ἐνσκ.* (*uel ἐνοικήσῃ*) *ἐν α.? cf 207. 17; 168, 19* ‖ 8 *ἡμ. - ἔχ. om P* uobis enim data est potestas in animas uestras ʃ ‖ *κ. ἤρξ.* (ʃ)] *ἤρξ. οὖν U* ‖ 9 *scr γυναῖκα· Μυγδονία?* (ʃ) *cf 206, 14 ss; Ph 7, 19* ‖ *ἐξεγείρου U* ‖ 10 *ἀναπ.*] *ἀποκόσμησον P* esto memor tui ʃ ‖ *οὐδὲ P: scr οὔτε?? cf 11; 12* ‖ 10–11 *σε - οὔτ.*] *ὁ κ. ὃν φορεῖς ὀφελήσει σοι P* ‖ 10 *ἐπίθ.*] fluxa ʃ: *scr ἐξίτηλος?? ἐπίκηρος?? cf 13* ‖ 11 *scr οὔτε? item q s?? cf 10* ‖ *κάλλ.*] *ὡσαύτως add P: cf 178, 8 - 9* ‖ *σου om U* ‖ 11–12 *οὐδὲ - ἀλλ' om P* ‖ 12 *scr οὐδὲ? cf 10* ‖ *ἡ π. σὲ τ. ἀ. φ. P* ‖ 13 *scr οὐδὲ? cf 11* ‖ *τ. κ. ἡ ἐξ. P* ‖ *τούτου om P* fluxi ʃ: *cf 10* ‖ *scr οὐδὲ? cf 10* ‖ 14 *ἄ. σου*] *σὸν ἄ. γινομένη P* ‖ *αὕτη - στ.*] *καὶ γὰρ αὕτη ἀποστερεῖ P: cf 152, 22* ‖ 15–21 *ἡ γὰρ - ἐλπ.*] *ἀλλὰ μένειν ἀεὶ* (*l δεῖ??*) *ἐν αγνεία καὶ καθαρὰ συνειδήσει* (*cf ep ad Tim 1, 3, 9*) *εἰς ὅντινα καὶ βίον ὁ θεὸς ἐπαναπαύεσθαι οἶδεν* (*cf 139, 4*) *P* ‖ 16 *τὸ σ.*] pulcritudo ʃ ‖ 18 *μ. α.*] *scr μετὰ τοῦ??* (ʃ) ‖ *εἶναι ⟨ποιεῖ⟩???* ‖ *ἐν - πολλοί*] prout quisque ʃ ‖ 20 *ὡς - οὖσα*] cum multo contemptu ʃ ‖ 21 *ταῦτα*] *δὲ add U* ‖ *εἰπ.*] *ὁ ἀπόστολος add P* ‖ *λ.* (ʃ)] *ἀπεκρίθη U: cf 4; 189, 6*

Ἄπελθε μετ' εἰρήνης, καὶ ὁ κύριος τῶν ἰδίων μυστηρίων ἀξίαν σε ποιήσει. Ἡ δὲ εἶπεν· Φοβοῦμαι ἀπελθεῖν, μή με ἄρα καταλείψας ἀπέλθῃς εἰς ἄλλο ἔθνος. Ὁ δὲ ἀπόστολος εἶπεν αὐτῇ· Κἂν ἐγὼ πορευθῶ, οὐ καταλείψω σε μόνην, ἀλλὰ Ἰησοῦς διὰ τὴν εὐσπλαγχνίαν αὐτοῦ μετὰ σοῦ. Ἡ δὲ πεσοῦσα προσεκύνησεν αὐτὸν καὶ ἀπῆλθεν εἰς τὸν οἶκον αὐτῆς.

89 Χαρίσιος δὲ ὁ συγγενὴς Μισδαίου τοῦ βασιλέως λουσάμενος ἀνῆλθεν καὶ ἀνεκλίθη δειπνῆσαι. ἐξήταζεν δὲ περὶ τῆς ἰδίας γαμετῆς ποῦ ἐστιν· οὐ γὰρ ἐληλύθει εἰς ἀπάντησιν αὐτοῦ ἀπὸ τοῦ ἰδίου κοιτῶνος ὡς ἔθος εἶχεν· αἱ δὲ θεραπαινίδαι αὐτῆς εἶπον αὐτῷ· Ἀνωμάλως ἔχει. Ὁ δὲ εἰσπηδήσας εἰσῆλθεν εἰς τὸν κοιτῶνα καὶ εὗρεν αὐτὴν κατακειμένην εἰς τὴν κοίτην καὶ ἐσκεπασμένην· καὶ ἀνακαλύψας αὐτὴν κατεφίλησεν αὐτὴν λέγων· Τίνος ἕνεκεν σήμερον περίλυπος εἶ; Ἡ δὲ εἶπεν· Ἀνωμάλως ἔχω. Ὁ δὲ λέγει πρὸς αὐτήν· Διὰ τί γὰρ
224 W σχῆμα οὐκ ἐποίησας τῆς σῆς ἐλευθερίας καὶ ἔμεινας ἐν τῷ οἴκῳ σου, ἀλλ' ἀπελθοῦσα κατήκουσας λόγων ματαίων καὶ ἔργα μαγικὰ ἐθεάσω; ἀλλὰ ἀνάστα, συνδείπνησόν μοι· ἄνευ γὰρ σοῦ οὐ δύναμαι δειπνῆσαι. Ἡ δὲ εἶπεν πρὸς αὐτόν· Σήμερον παραιτοῦμαι· πάνυ γὰρ πεφόβημαι.

90 Ταῦτα ἀκούσας ὁ Χαρίσιος παρὰ τῆς Μυγδονίας οὐκ ἠβουλήθη ἐξελθεῖν ἐπὶ τὸ δεῖπνον, ἀλλὰ παρεκελεύσατο τοῖς οἰκείοις αὐτοῦ ἵνα προσαγάγωσιν αὐτὴν συνδειπνῆσαι

---

[1] *ἐν εἰρήνῃ P: cf 197, 5* ‖ *ἰδ.]* diuinorum ʃ ‖ [2] *ἔφη U: cf 203, 4* ‖ *με ἄρα] πως με P* ‖ [3] *εἰς ἕτερον (cf 174, 14) ἔθ. ἀπ. P* ‖ [4] *κἂν - ἀλλὰ om* ʃ ‖ [4–5] *ἀ. Ἰ. - ε. α.] ἀλλ' ὁ κύριος μετὰ τῆς α. χάριτος καὶ εὐσπλαγχνίας ἔστω P* ‖ [5] *αὐτοῦ <ἔσται>?? cf 146, 18* ‖ *μ. σ.]* te non deseret ʃ ‖ *πεσ.] καθεσθεῖσα U: <πρὸς τοὺς πόδας αὐτοῦ> πεσ.?* ‖ [6] *αὐτῷ U: cf 186, 16* ‖ *οἶ. α.] ἴδιον οἶ. U: cf 218, 9* ‖ [8] *κ. ἀν. om* ʃ ‖ [9] *τ. γ. τῆς ἰδ. U* ‖ *ἰδ.] αὐτοῦ add P: cf 150, 4; 184, 16; 188, 4; 194, 8; 212, 5 (P solus)* ‖ *ποῦ ἐ.] τὸ τί γέγονεν P* ubi esset ʃ ‖ *ἐλ.] ὡς εἴωθεν add P: cf 10; 158, 2; 199, 28; c 138e (P solus); 205, 6* ‖ [10] *ὡς ἔ. ε. om P (cf 9)* ʃ: *del?* ‖ *θεράπεναι U: scr θεραπαινίδες?* ‖ [11] *α. εἶ. α.] ἔφησαν U* eius dixerunt ei ʃ: *cf 203, 4* ‖ *ἀν. ἔ.]* non libet ei ʃ in cubiculo commoratur domina nostra m: *cf 15* ‖ [12] *κοιτ.] αὐτῆς add P* ‖ [12–13] *κατ. ε. τ. κ.] κατακλίνης κειμένην P: cf 147, 13* ‖ [13] *scr κλίνην? cf 188, 18* ‖ *κ. ἐσκ. om P* ‖ *ἀποκαλύψας U om* ʃ ‖ [14] *αὐτὴν om U* ‖ [15] dicit ei ʃ ‖ *δὲ] χαρίσιος add P* ‖ *εἶπεν U* dicit ʃ ‖ *πρ. α.* (ʃ) *om U* ‖ [18] *ἀλλὰ om P* ‖ *ἀναστᾶσα U* surge m et exi *add* ʃ ‖ [19] *δ. οὐ δύ. P* ‖ *ἔφη U* dicit ʃ: *cf 203, 4* ‖ *πρ. α.* (ʃ) *om U* ‖ [20] *παρ.]* ne cenem tecum neu dormiam tecum *add* ʃ quia neque cibum neque potum acceptura sum, sed nec in stratum tuum quiescam m ‖ [22] *ἐξ. - δεῖ.] δειπνῆσαι P* ‖ *ἀλλὰ π.] π. δὲ P* ‖ [23–205,1] *ἵνα - αὐτῷ]* inferre (cibum) ut cenaret coram ea ʃ ‖ [23] *ἵνα πρ. α. om P*

αὐτῷ· εἰσαγαγόντων οὖν ἠξίουν αὐτὴν συνδειπνῆσαι αὐτῷ· ἡ δὲ παρῃτεῖτο. μὴ βουληθείσης οὖν αὐτῆς μόνος | ἐδείπνησεν 58 B λέγων αὐτῇ· Διὰ σὲ παρῃτησάμην δειπνῆσαι παρὰ τῷ βασιλεῖ Μισδαίῳ, καὶ σὺ οὐκ ἠβουλήθης συνδειπνῆσαί μοι; Ἡ δὲ ἔφη· Διὰ τὸ ἀνωμάλως με ἔχειν. Ἀναστὰς οὖν ὁ Χαρίσιος κατὰ τὸ εἰωθὸς ἐβούλετο συγκαθεύδειν αὐτῇ· ἡ δὲ ἔφη· Οὐκ εἰπόν σοι τὴν σήμερον παραιτήσασθαι;

91 Ταῦτα ἀκούσας ἀπελθὼν εἰς ἄλλην κλίνην ἐκοιμήθη· ἐγερθεὶς δὲ ἐκ τοῦ ὕπνου εἶπεν· Κυρία μου Μυγδονία ἄκουσον τοῦ ὀνείρου τοῦ ὀφθέντος μοι. εἶδον ἐμαυτὸν ἀνακεκλιμένον ἐγγὺς Μισδαίου τοῦ βασιλέως, καὶ παρέκειτο ἡμῖν πανδέκτης· καὶ εἶδον ἀετὸν κατελθόντα ἀπ' οὐρανοῦ καὶ ἁρπάσαντα ἀπ' ἔμπροσθεν ἐμοῦ τε καὶ τοῦ βασιλέως δύο πέρδικας, οὓς εἰσήνεγκεν εἰς τὴν ἑαυτοῦ καρδίαν· καὶ πάλιν ἐπέστη ἡμῖν περιιπτάμενος ἐπάνω ἡμῶν· ὁ δὲ βασιλεὺς παρεκελεύσατο τό- 225 W ξον αὐτῷ ἀφεθῆναι· ὁ δὲ ἀετὸς πάλιν ἥρπαξεν ἀπ' ἔμπροσθεν ἡμῶν περιστερὰν καὶ τρυγόνα. ὁ δὲ βασιλεὺς ἐξέπεμψεν κατ αὐτοῦ βέλος· καὶ διῆλθεν αὐτοῦ ἀπὸ πλευρᾶς εἰς πλευράν, καὶ οὐκ ἠδίκησεν αὐτόν· ὃ δὲ μηδὲν ἀδικηθεὶς ὑψοῦτο εἰς τὴν ἰδίαν καλιάν. καὶ διυπνισθεὶς ἐγὼ ἔμφοβός εἰμι καὶ περίλυπος, διότι γευσάμενος ἤμην τοῦ πέρδικος, καὶ οὐ συνεχώρησέν μοι ἔτι προσαγαγεῖν τῷ στόματί μου. Ἡ δὲ Μυγδονία ἔφη πρὸς αὐτόν· Ὁ ὄνειρός σου καλός ἐστιν· σὺ γὰρ καθ' ἡμέραν πέρδικας ἐσθίεις, ὁ δὲ ἀετὸς οὗτος οὐκ ἦν γευσάμενος πέρδικος ἕως τοῦ νῦν.

---

[1] αὐτῷ] ταύτην παρακαλέσαι *add* P ‖ εἰσαγ. - αὐτῷ *om* P: *scr* εἰσενεγκόντων οὖν ἠξίου α. σ. α.? (ʃ) ‖ [2] αὐτῆς *om* P ‖ [3] παραιτησάμην P: *cf* 160, 12 ‖ δ. π.] *scr* συνδειπνῆσαι? *cf* 204, 18; 209, 5 ‖ π.] μετὰ P ‖ [5] διὰ - ἔχ.] quia non libet mihi ʃ: *cf* 204, 11 ‖ με ἔ.] ἔ. ἐμὲ τούτου χάριν οὐ βούλομαι P ‖ [5–6] κατὰ τὸ εἰ. ὁ χαρ. P ‖ [6] τὴν συνήθειαν U: *recte??* *cf* 204, 10; 209, 6; 226, 13 ‖ ἠβούλετο P: *cf* 209, 3; 211, 8 ‖ συγκαθευδῆσαι P ‖ ἡ δὲ ἔ. *om* P ei *add* ʃ ‖ [7] παρ.] με ἔασον P ut dormire liceat soli *add* ʃ ‖ [8] ε. ἄ. ἀπ. P ‖ ἐκοιμήθην P ‖ [10] ἑαυτὸν P ‖ [12] κ. ε.] ε. δὲ U ‖ ἀπ'] ἐκ τοῦ U ‖ [13] π. δύο P ‖ οὓς] ἃς καὶ P: *cf* 227, 22 ‖ [14] ε. τ. αὐτοῦ κ. εἰσήν. P ‖ καρδ.] *scr* καλιὰν (nidum ʃ): *cf* 20 ‖ ἡμ.] ἐφ' ἡμᾶς P: *cf* 196, 13; 229, 7 ‖ [15–16] ὁ δὲ β. - ἀφ. *om* P ‖ [16] *scr* ἐνεχθῆναι? ἀχθῆναι?? ‖ ἥρπ. δὲ πάλ. (*om* ὁ ἀ.) P ‖ [18] αὐτοῦ *alt om* P ‖ πλευρᾶς] πλευρὰν P ‖ [19] οὐκ ἠδ. α.] οὐδὲν (*recte?* nihil m) κακεῖνον (*cf* 208, 24; 217, 24; *c* 152 m P *solus*) ἠδ. P ‖ μ. ἀδ. *om* ʃ ‖ [20–21] καὶ π. - ἤμ. *om* P ‖ [21] καὶ] ὅτι P ‖ [22] ἔτι] τοῦτον P: ἔτι <τι>?? ‖ τῷ στ. μ. προσαγ. P ‖ [24] οὗτος] fortasse *add* ʃ ‖ [25] τοῦ *om* U: *cf* 189, 11; 228, 22

92 Ὄρθρου δὲ γενομένου ἀπελθὼν ὁ Χαρίσιος ἐνεδύσατο, καὶ τὸ ἀριστερὸν ὑπόδημα εἰς τὸν δεξιὸν πόδα ὑπεδήσατο. καὶ ἐπισχὼν εἶπεν πρὸς τὴν Μυγδονίαν· Τί ἄρα ἐστὶν τοῦτο τὸ πρᾶγμα; ἰδοὺ γὰρ ὁ ὄνειρος καὶ ἡ τούτου πρᾶξις. Ἡ δὲ Μυγδονία πρὸς αὐτὸν ἔφη· Καὶ τοῦτο αὐτὸ οὐκ ἐστὶν φαῦλον, ἀλλὰ κάλλιστόν μοι δοκεῖ· ἀπὸ γὰρ φαύλου πράγματος εἰς τὸ κρεῖττον γενήσεται. Ὁ δὲ νιψάμενος τὰς χεῖρας εἰς ἀσπασμὸν Μισδαίου τοῦ βασιλέως ἀπήει.

93 Ὁμοίως δὲ καὶ ἡ Μυγδονία ὀρθρίσασα ἀπήει εἰς ἀσπασμὸν Ἰούδα Θωμᾶ τοῦ ἀποστόλου. κατέλαβεν δὲ αὐτὸν ὁμιλοῦντα μετὰ τοῦ στρατηλάτου καὶ τοῦ παντὸς ὄχλου· καὶ παρῄνει αὐτοῖς λέγων περὶ τῆς γυναικὸς τῆς δεξαμένης τὸν κύριον ἐν τῇ αὐτῆς

ψυχῇ, τίνος εἴη σύνοικος. τοῦ ἀρχιστρατηλάτου εἰπόντος ὅτι Γυνή ἐστιν Χαρισίου τοῦ συγγενοῦς Μισδαίου τοῦ βασι- 226 W λέως, Καὶ ὅτι Ἐστὶν ἀνὴρ ἀπόσκληρος καὶ πᾶν ὅ τι τῷ βασιλεῖ εἴπῃ τούτῳ πείθεται, Καὶ ὅτι Οὐ	ψυχῇ· καὶ ὁ στρατηλάτης· Καὶ τίνος αὕτη γυνή; Λέγει ὁ ἀπόστολος· Χαρισίου συγγενοῦς Μισδαίου τοῦ βασιλέως· Καὶ ὁ στρατηλάτης· Ὁ ἀνὴρ αὐτῆς σκληρός ἐστιν καὶ εἴ τι δᾶν καὶ τῷ βασιλεῖ εἴπῃ, πείθεται τούτῳ· ἀλλ' οὐδὲ |

59 B συγχωρεῖ αὐτὴν παραμεῖναι τῇ γνώμῃ ταύτῃ ᾗ ὡμολόγησεν· καὶ γὰρ πολλάκις ἐπὶ τοῦ βασιλέως ἐνεγκωμίασεν αὐτήν, λέγων μὴ εἶναι ἄλλην τοιαύτην εἰς ἀγάπην. πάντα οὖν ὅσα ἂν διαλεχθῇς αὐτῇ ξένα αὐτῆς τυγχάνει. Εἶπεν δὲ ὁ ἀπόστολος· Εἰ ἀληθῶς καὶ βεβαίως ἀνέτειλεν ὁ κύριος εἰς τὴν ταύτης ψυχήν, καὶ προσεδέξατο τὸν καταβληθέντα σπόρον, οὔτε τῆς προ-

27 cf Matth 13, 3 ss

---

2 ὑπεδύσατο P ‖ 3 π. τ. μυγδ. εἶπεν P ‖ τοῦτό ἐστιν P ‖ 4 ὁ ὄν. (ſ)] κατὰ τὸν ὄνειρον P ‖ τούτου om ſ: del? ‖ 4–5 εἶπεν δὲ αὐτῷ ἡ μ. P ‖ 5 scr ἔ. πρ. α.? cf 205, 23 ‖ κ. - φ.] οὐδὲ τοῦτο φ. ἐ. P ‖ 6 κάλλ.] καὶ τοῦτο add P ‖ 7 τὸ om P ‖ μεταβήσεται P ‖ 9 δὲ om P ‖ 11 ἀρχιστρατηλάτου U: cf 15; 214, 19 ‖ π. τ. P magna ſ ‖ 12 λέγ.] πρότερον add U ‖ 13 κύρ.] θεὸν P

14–21 U et P separatim dedimus: sic fere scr: ψ. κ. ὁ στ. Καὶ τίνος αὕτη γυνή; Λέγει ὁ στρατηλάτης (cf 11)· Χ. σ. Μ. τ. β., καὶ ὁ ἀνὴρ α. σκλ. ἐ., καὶ πᾶν ὅ τι <ἄν> (? cf c 129 e) τῷ β. ε. τούτῳ πείθεται· ἀλλ' οὐδὲ (ſ): cf 215, 10

22 ταύτῃ om P ‖ 23 γὰρ om P ‖ ἐ. τ. β. δὲ πολλ. P ‖ scr ἐνεκωμίασεν? (γ om sed sup scr P) ‖ 24 τοι. (ſ) ε. ἀ.] ἀ. ἔχουσαν ὡς αὐτὴν U ‖ εἰς ἀγ.] et ipsa illum ualde amat ſ ‖ 24–25 πάντα - τυγχ. om P ‖ 25 αὐτῇ] eis ſ ‖ αὐτῆς] ab eis ſ

σκαίρου ζωῆς φροντίδα ποιήσεται οὔτε τὸν θάνατον φοβηθήσεται, οὔτε Χαρίσιός τι ταύτην καταβλάψαι δυνήσηται· μείζων γάρ ἐστιν ἐκεῖνος ὃν ὑπεδέξατο εἰς τὴν ἰδίαν ψυχήν, εἰ ἀληθῶς αὐτὸν ὑπεδέξατο.

94 Ταῦτα δὲ ἀκούσασα Μυγδονία εἶπεν τῷ ἀποστόλῳ· Ἀληθῶς κύριέ μου ἐδεξάμην τῶν σῶν λόγων τὸν σπόρον, καὶ καρποὺς ἐοικότας τοῦ τοιούτου σπόρου ἀποκυήσω. Λέγει ὁ ἀπόστολος· Ἐξομολογοῦνταί σοι κύριε καὶ εὐχαριστοῦσιν αἱ ψυχαί· γὰρ αὗται σοὶ ὑπάρχουσιν· εὐχαριστοῦσίν σοι τὰ σώματα ἃ κατηξίωσας γενέσθαι οἰκητήρια τῆς δωρεᾶς σου τῆς ἐπουρανίου. Εἶπεν δὲ καὶ πᾶσιν τοῖς παρεστῶσιν· Μακάριοι οἱ ἅγιοι ὧν αἱ ψυχαὶ οὐδέποτε ἑαυτῶν κατέγνωσαν· ταύτας γὰρ κτησάμενοι οὐ διαιροῦνται καθ' ἑαυτῶν· μακάρια τὰ πνεύματα τῶν ἁγίων τὰ καὶ ὁλόκληρον τὸν ἐπουράνιον δεξάμενα στέφανον ἀπὸ τοῦ προσταχθέντος αὐτοῖς αἰῶνος· μακάρια τὰ σώματα τῶν ἁγίων, ὅτι κατηξιώθησαν ναοὶ θεοῦ 227 W γενέσθαι, ἵνα Χριστὸς ἐνοικήσῃ ἐν αὐτοῖς· μακάριοί ἐστε ὅτι ἐξουσίαν ἔχετε ἀφιέναι ἁμαρτίας· μακάριοί ἐστε ἐὰν τὸ παραδοθὲν ὑμῖν μὴ ἀπολέσητε ἀλλὰ χαίροντες καὶ ἀπιόντες συναναφέρητε ἑαυτοῖς τοῦτο. μακάριοί ἐστε οἱ ἅγιοι, ὅτι ὑμῖν δέδοται αἰτῆσαι καὶ λαβεῖν. μακάριοί ἐστε οἱ πραεῖς, ὅτι ὑμᾶς κατηξίωσεν ὁ θεὸς κληρονόμους γενέσθαι τῆς βασιλείας τῆς ἐπουρανίου. μακάριοί ἐστε οἱ πραεῖς· ὑμεῖς γάρ ἐστε οἱ

[11] cf Matth 5, 3 ss ‖ [16] cf Cor 1, 3, 16; 17 ‖ [17] cf Matth 9, 6 Io 20, 23 ‖ [18] cf Matth 25, 14 ss ‖ [21] cf Matth 5, 5

---

[1] *ποιήσειεν P* ‖ [2] *δύναται U: scr δυνήσεται? cf 1; c 127 m* ‖ [3] *μεῖζω U* ‖ [4] *εἰ] ἄρα γε καὶ add P: cf c 127 m* ‖ [6] *μου om U* ‖ *τοῦτον τὸν λόγον τοῦ σπόρου σου U* per preces tuas semen uiuum uerbi ſ ‖ [7] *ἐοικ.* (ſ)] *καλοὺς P* ‖ *τοι.] σοῦ U om* ſ: *del?* ‖ *ἀποκυήσκω U* in domino meo Iesu *add* ſ ‖ [8] *εὐχ.] σοι add P* ‖ *αἱ] παρέστωσαι πᾶσαι add P* nostrae hae ſ ‖ [9] *γὰρ - ὑπ. om P* quae sunt tuae. *et add* laudant te animi (*πνεύματα, cf 14*) nostri qui sunt uerae possessiones tuae domine ſ ‖ *<καὶ> γὰρ?* ‖ [9–10] *τὰ σ. ἃ] οὕστινας καὶ P* ‖ [10–11] *τ. ἐπ. σ. δωρ. (om alt τῆς) P (cf 173, 20; 174, 11; 175, 13; 177, 11; 178, 8; 9; 180, 18; 181, 5; 15; 182, 18; c 146 m; al)* spiritus tui ſ ‖ [12] *scr ἁγνοὶ??* (ſ) *cf 14; 16; 201, 5* ‖ *οὐδ. αἱ ἑ.* (*αὐτῶν Vsener*) *ψ. κατεγνώσθησαν P* ‖ [12–13] *ταύτ. - κ. ἑ.] οὐ γ. κ. ἑ. οἴδασι διαιρεῖσθαι P: cf 139, 4* ‖ [13] *κ. ἑ.] καταυτῶν U* de se ſ ‖ [13–14] *τὰ - ἐπ. om U* ‖ [14] *δεξάμενοι et add γὰρ τὸν U* ‖ [15] *ἀπὸ - αἰ. om P* ‖ *scr ἀγῶνος?* (ſ) *ὁλόκληρον ἤγαγον add U* ‖ [16] *θ.] κυρίου U* pura ſ ‖ [17] *ἐν α. ἐνοικεῖ P* ‖ *ὅταν P: cf 16; 20* ‖ [18] *ἐὰν] ///ἂν (in ras ἐ) P* ‖ *δοθὲν P* ‖ [19] *ὑμ.] τάλαντον add P* ‖ *ἀπολ.] κατωρύξηται P* ‖ *χ. κ. ἀ.] πολυπλάσιον τῷ παρέξαντι P* ‖ *ἀπι.] scr ἀγαλλιῶντες?* ‖ [20]–208,[6] *ἑ. τ. - ἀπαλλ. om P* ‖ [20–21] *μακ. - λαβ. post ἐν αὐτ. (17)* ſ

νικήσαντες τὸν πονηρόν. μακάριοί ἐστε οἱ πραεῖς, ὅτι ὑμεῖς ὄψεσθε τὸ πρόσωπον τοῦ κυρίου. μακάριοί ἐστε οἱ πεινῶντες ἕνεκεν κυρίου, ὅτι ὑμῖν τετήρηται ἡ ἀνάπαυσις· ὧν καὶ αἱ ψυχαὶ ἀπὸ νῦν ἀγαλλιῶνται. μακάριοί ἐστε οἱ ἡσύχιοι τῆς ἁμαρτίας καὶ τῆς ἀμοιβῆς τῶν ζώντων καθαρῶν καὶ τῶν ἀκαθάρτων ἀπαλλαγῆναι. Ταῦτα εἰπόντος τοῦ ἀποστόλου παντὸς τοῦ ὄχλου ἀκούοντος ἡ Μυγδονία μᾶλλον ἐστηρίζετο τῇ πίστει καὶ τῇ δόξῃ καὶ τῇ μεγαλειότητι τοῦ Χριστοῦ.

95 *Χαρίσιος δὲ ὁ τοῦ βασιλέως συγγενής τε καὶ φίλος ἦλθεν ἐπὶ τὸ ἄριστον καὶ οὐχ εὗρεν αὐτοῦ τὴν γαμετὴν ἐν τῇ οἰκίᾳ· καὶ ἐξήταζεν πάντας ἐν τῷ οἴκῳ αὐτοῦ· Ποῦ ἀπῆλθεν ἡ δέσποινα ὑμῶν; Ἀποκριθεὶς δὲ εἷς ἐξ αὐτῶν εἶπεν ὅτι Πρὸς τὸν ξένον ἐκεῖνον ἀπῆλθεν. Ὁ δὲ ταῦτα ἀκούσας παρὰ τοῦ δούλου αὐτοῦ ἠγανάκτησεν πρὸς τοὺς λοιποὺς αὐτοῦ* 228 W *οἰκείους, ὅτι οὐκ εὐθὺς αὐτῷ ἀνήγγειλαν τὸ γεγονός· καὶ καθεσθεὶς ταύτην ἐξεδέχετο. ἑσπέρας δὲ γενομένης εἰσιούσης αὐτῆς ἐν τῷ οἴκῳ εἶπεν αὐτῇ· Ποῦ ἦς; Ἡ δὲ ἀποκριθεῖσα εἶπεν· Εἰς τὸν ἰατρόν. Ὁ δὲ εἶπεν· Ἐκεῖνος ὁ ξένος ἰατρός ἐστιν; Ἡ δὲ εἶπεν· Ναί, ἰατρός ἐστιν ψυχῶν· οἱ γὰρ πολλοὶ τῶν ἰατρῶν σώματα ἰατρεύουσιν τὰ λυόμενα, οὗτος δὲ ψυχὰς* 60 B *τὰς μὴ φθειρομένας. | Ταῦτα ἀκούσας ὁ Χαρίσιος πάνυ ἐν ἑαυτῷ ἐχαλέπαινεν πρὸς τὴν Μυγδονίαν διὰ τὸν ἀπόστολον· οὐδὲν δὲ ἀπεκρίνατο αὐτῇ φοβούμενος· βελτίω γὰρ αὐτοῦ ὑπῆρχεν καὶ τῷ πλούτῳ καὶ τῇ γνώμῃ· ἀπῆλθεν δὲ ἐπὶ τὸ*

[1] cf Matth 5, 5 ‖ [2] cf apoc 22, 4 Matth 5, 6

---

[4] *ἀπὸ ⟨τοῦ⟩? cf 205, 25 al* ‖ [4–6] *ἡσύχ. - ἀπαλλ.*] temperantes, nam a peccato liberati estis ſ ‖ [4] *ἡσύχιοι ⟨ὅτι κατηξιώθητε⟩??* ‖ [5–6] *τ. ζ. (scr ζῴων τῶν?) - ἀκ. aliunde inlata uid* ‖ [7] *μ.] πλεῖον μ. P* ‖ *ἐστηρ.* (ſ)] *βεβαιότερον ἐπείθετο U* ‖ [8] *τ. π. - Χρ.*] in puritate et temperantia et omni mansuetudine ſ ‖ *κ. τ. δ. om P* ‖ [9] *συγγ. τε κ. om U: cf 204, 7; 215, 11* ‖ [10–11] *ἦ. - α.] ἐλθῶν ἐν τῇ οἰκ. αὐτοῦ κ. μη εὑρὼν τ. α. γυναῖκα (recte? cf 224, 22) πάντ. περὶ ταύτης τοῦ οἴκου ἐξήτ. P* ‖ [11] *ἐξήτασεν U* ‖ *ἐν τῷ ο.] scr τοὺς οἰκέτας?* (ſ) ‖ [11–12] *ποῦ - ὑμ. om P* ‖ [12] *ὅτι om U* ‖ [13] *ἐκ. om U: cf 18; 211, 25* ‖ *ὁ δὲ om U: del? cf 21; 204, 21; 209, 4; al* ‖ [14] *λοιπ.] ἑτέρους P: cf 195, 4* ‖ [15] *ὅτι] ἐπειδὴ U* ‖ *ἀν. α. εὐθ. U* ‖ *εὐθ. om* ſ *καὶ πάραυτα add P: del??* ‖ *α. ἀν. τὸ γ.] τοῦτο α. ἀν. P* et iit lauatum et rediit cum etiam luceret *add* ſ ‖ [16] *ταύτην - γεν. om U* ‖ [17] *λέγει P* dixit ſ ‖ [18] *πρὸς U: cf 211, 12* ‖ [19] *ἡ δὲ ε. om P* ‖ [20] *τῶν ἰ. om U* ‖ *ἰατρεύ.] θεραπεύουσιν U: cf 159, 18* ‖ [21–22] *ἐν ἑ. om P* ‖ [22] *πρ. τ. μυγδ. ἐχ. P* ‖ *δ. τ. ἀπ.*] et in peregrinum ſ ‖ [23] *ἀπεκ. - φ.] αὐτὴ ἀποκριθῆναι ἠδύνατο P* ‖ *βελτία P: scr βελτίων?? cf 226, 19* ‖ [24] *τῇ τε γν. καὶ τ. πλ. P* ‖ *δὲ] κακεῖνος add P: cf 205, 19*

δεῖπνον, αὐτὴ δὲ εἰς τὸν κοιτῶνα αὐτῆς εἰσῄει. ὁ δὲ εἶπεν τοῖς οἰκέταις· Καλέσατε αὐτὴν ἐπὶ τὸ δεῖπνον. Ἡ δὲ οὐκ ἐβούλετο.

96 *Ἀκούσας δὲ ὅτι οὐ βούλεται ἐξελθεῖν ἀπὸ τοῦ κοιτῶνος, εἰσελθὼν εἶπεν αὐτῇ· Τίνος ἕνεκεν οὐ βούλει συνδειπνῆσαί μοι, τάχα δὲ οὐδὲ συγκαθευδῆσαι κατὰ τὸ εἰωθός; καὶ περὶ τούτου μείζονα τὴν ὑποψίαν ἔχω· ἤκουσα γὰρ ὅτι ὁ μάγος ἐκεῖνος καὶ πλάνος τοῦτο διδάσκει, ἵνα μή τις συνοκήσῃ γυναικὶ ἰδίᾳ, καὶ ὃ ἡ φύσις ἀπαιτεῖν οἶδεν καὶ ἡ θεότης ἐνομοθέτησεν αὐτὸς ἀνατρέπει. Ταῦτα εἰπόντος τοῦ Χαρισίου ἡ Μυγδονία ἡσύχαζεν. λέγει πάλιν πρὸς αὐτήν· Κυρία* 229 W *μου καὶ σύμβιέ μου Μυγδονία μὴ πλανῶ λόγοις ἀπατηλοῖς καὶ ματαίοις, μηδὲ τοῖς ἔργοις τῆς μαγείας οἷς ἤκουσα τοῦτον διαπραττόμενον εἰς ὄνομα πατρὸς υἱοῦ καὶ ἁγίου πνεύματος· οὐ γὰρ ἠκούσθη ποτὲ ἐν τῷ κόσμῳ τούτῳ ὅτι νεκρόν τις ἤγειρεν· ὡς δὲ ἀκούω τὰ περὶ τούτου φημιζόμενα ὅτι νεκροὺς ἐγείρει. καὶ ὅτι οὐδὲ ἐσθίει οὔτε πίνει, μὴ οὖν νομίσῃς ὅτι διὰ δικαιοσύνην οὔτε ἐσθίει οὔτε πίνει· τοῦτο δὲ ποιεῖ διὰ τὸ μηδὲν κεκτῆσθαι αὐτόν· τί γὰρ ἂν ποιήσειεν ὃς οὐδὲ τὸν ἡμερήσιον ἄρτον ἔχει; καὶ ἓν ἔνδυμα ἔχει διὰ τὸ πένητα εἶναι αὐτόν· τὸ δὲ μὴ λαμβάνειν παρά τινός τι*

---

[1] *δ. α. δὲ ε.] δειπνίσαι καὶ μυγδονία ἐπι P: cf 2; 208, 10* ‖ *αὐτῆς om U* ‖ *εἰσῄει om P* ‖ *δὲ] χαρίσιος add P* ‖ [1–2] *τοῖς αὐτοῦ εἶπεν οἰκ. P* ‖ [2] *εἰς U: cf 208, 24* ‖ *δειπνίσαι P: cf 1* ‖ [4] *ὅτι - κοιτ.] τοῦτο ὁ χαρίσιος P* ‖ *ἀ. τ. κ. om* ſ: *del?* ‖ [5] *ε. ε.* (ſ)] *ἀπελθὼν λέγει P* ‖ [5–6] *σ. μοι] μεθ ἡμῶν σ. P* ‖ [6] *τάχα - εἰ. om P* ‖ [7] *π. τ. μ.] γὰρ μεῖζ. ἐπὶ τοῦτο μοι P* ‖ *ἔχω] ποιεῖς P* ‖ [8] *ὁ πλ. ἐκ. (om μάγ. et καὶ) P* ‖ *μή τ.] μηδεῖς U* ‖ [8–9] *γυν. προσομιλήσῃ P* ‖ [8] *scr συνοικήσῃ? (cf 191, 9) συγγένηται* (ſ?)*??* ‖ [9] *ἀπ. οἶ.] διδάσκει U: scr ἀπαιτεῖ? cf 179, 4 et 139, 4* ‖ *ἡ θ.] θεὸς P* di ſ ‖ [10] *ἀν.] ἀφανίζει U: scr ἀφαιρεῖ?* (ſ) ‖ [10–11] *ἡ δὲ μυγδ. ἡσ. τ. χαρ. ταῦτα εἰπόντος P* ‖ [11] *λέγ. - αὐτ.* (ſ)] *ἀποκριθεὶς δὲ αὐτῇ εἶπεν U* ‖ *<καὶ> λέγει?* ‖ *αὐτ.] ὁ χαρίσιος add P: cf 1; 4; 210, 5* ‖ [12] *κ. σ. μου* (ſ) *om P* ‖ *πλ. λ. ἀπ.* (ſ)] *τοῖς ἀπ. ἐκείνου ἀπατῶ λ. P* ‖ [13–14] *τ. διαπρ.* (ſ)] *δι' αὐτοῦ πραττομένοις P* ‖ [14] *π. - πν.] τοῦ π. καὶ τοῦ υἱ. κ. τοῦ ἁγ. πν. U (cf 143, 3; 165, 16 et 231, 8; c 132 e; 157 e, ubi τὸ ὄν.)* dei sui ſ ‖ [15] *ποτὲ* (ſ) *om P* ‖ [16–17] *ὡς - ἐγ.* (ſ) *om P* ‖ [16] *scr φημίζεται?? del ὅτι?? cf 210, 23; Ph 2, 1* ‖ [17] *ἐγ.]* suscitare se adsimulat ſ ‖ *καὶ] ἄλλο add U* ‖ *scr οὔτε ἐ.? cf 18* ‖ *οὐδὲ π. P* ‖ *μὴ ο.] scr οὐ μὴ?? cf Ph 61, 4* ‖ *del οὖν??* ‖ [18] *οὐκ ἐ. U* ‖ [19] *ποιήσειεν] ποιήσῃ P: scr ποιήσῃ?? (cf Reinhold de graecitate patrum p 111)* edat ſ ‖ *ὃς om P* ‖ *μηδὲ et add αὐτὸν P* ‖ [20] *ἄ. ἔ.] κεκτημένος ἄ. P* ‖ *καὶ] ἀλλὰ καὶ P: cf 213, 26* ‖ [20–21] *ἓν - αὐτόν] διὰ τὸ πέν. α. πάνυ τυγχάνειν καὶ ἓν οἶδεν ἔχειν (cf 139, 4) ἱμάτιον P* ‖ [21] *τὸ - τι] καὶ οὐδὲν λαμβάνει παρουδενός U: cf 178, 17*

συγγινώσκων ἑαυτὸν τοῦ θεραπεύειν.

καὶ τοῦτο πάντως αὐτῷ ἐδόθη συνήθεια.

97 *Ταῦτα δὲ τοῦ Χαρισίου εἰπόντος ἡ Μυγδονία ὥσπερ πέτρα τις ἡσύχαζεν· ηὔχετο δὲ πότε διαφαύσει, ἵνα ἀπέλθῃ πρὸς τὸν ἀπόστολον τοῦ Χριστοῦ· ἀναχωρεῖ δὲ ἀπ' αὐτῆς, καὶ ἀπέρχεται ἐπὶ τὸ δεῖπνον ἀθυμῶν· ἐμερίμνα γὰρ κατὰ τὸ ἔθος συγκαθευδῆσαι αὐτῇ. ἐξελθόντος δὲ ἐκείνου κλίνασα τὰ γόνατα ηὔχετο λέγουσα· Κύριε θεὲ δέσποτα, πατὴρ ἐλεήμων, σωτὴρ Χριστέ, σὺ δός μοι δύναμιν ἵνα νικήσω τὴν ἀναίδειαν Χαρισίου, καὶ παράσχου μοι φυλάξαι τὴν ἁγιωσύνην εἰς ἣν σὺ χαίρεις, ἵνα κἀγὼ δι' αὐτῆς εὕρω ζωὴν αἰώνιον. Ταῦτα δὲ εὐξαμένης αὐτῆς ἔθηκεν ἑαυτὴν ἐπὶ τὴν κλίνην σκεπασθεῖσα.*

230 W 98 *Ὁ δὲ Χαρίσιος δειπνήσας ἐπέστη αὐτῇ· αὐτὴ δὲ ἐβόα*
61 B *λέγουσα· Οὐκ ἔχεις λοιπὸν χώραν πρὸς | ἐμέ· ὁ γάρ κύριός μου Ἰησοῦς κρείττων σού ἐστιν ὁ σὺν ἐμοὶ ὢν καὶ ἐν ἐμοὶ ἀναπαυόμενος. Ὁ δὲ γελάσας εἶπεν· Καλῶς χλευάζεις ταῦτα λέγουσα περὶ ἐκείνου τοῦ φαρμακοῦ, καὶ καλῶς αὐτοῦ καταγελᾷς λέγοντος ὅτι Ζωὴν οὐκ ἔχετε παρὰ τῷ θεῷ ἐὰν μὴ ἁγνίσητε αὐτούς. Ταῦτα εἰπόντος αὐτοῦ ἐπεχείρει πρὸς αὐτὴν καθευδῆσαι· ἡ δὲ μὴ ὑπομένουσα ἀλλὰ πικρῶς κραυγάζουσα ἔλεγε· Ἐπικαλοῦμαί σε κύριε Ἰησοῦ, μὴ ἐγκαταλίπῃς με· πρὸς σὲ γὰρ τὴν καταφυγὴν ἐποιησάμην· ὡς γὰρ ἀνέμαθον ὅτι σὺ εἶ ὁ ἐπιζητῶν τοὺς ἐν ἀγνοίᾳ ἐπειλημμένους καὶ ῥυόμενος τοὺς ἐν τῇ πλάνῃ κατεχομένους· νυνὶ δὲ ἐγὼ σοῦ δέομαι οὗ τὴν*

---

[1] *et* [2] *U et P separatim dedi: scr καὶ τοῦτο πάντως ποιεῖ συγγινώσκων ἑαυτῷ μηδένα θεραπεύειν ἐν ἀληθείᾳ??* (ſ) ‖ [3] *τ. Χ. εἰπ.* (ſ)] *εἰπ. αὐτοῦ U* ‖ *ὡς P: cf c 128m* ‖ [4] *τις om U: cf 160, 7* ‖ [4–5] *πρ. τ. ἀπ. παραγένηται P* ‖ [5] *τ. Χρ. om P* dei ſ ‖ [5–7] *ἀναχ. - αὐτῇ] πάνυ δὲ ὁ χαρίσιος ἀθυμήσας ἀπέρχ. ἀπαὐτῆς μάλιστα δια το μὴ παραδέχεσθαι συγκ. μεταὐτῆς P* ‖ [7] *scr εἰωθὸς? cf 205, 6; 209, 6* ‖ [8] *προσηύχετο U: cf 4; 12; 113, 9; 147, 7; al* ‖ *π. ἐλ. om* ſ *καὶ add P* ‖ [9] *σωτ.] ἰησοῦ add P* ‖ *Χρ.] καὶ ἅγιον πνεῦμα add P* ‖ [9–10] *τ. ἀν. χαρ. νικ. P* ‖ [10] *διαφυλάξαι U* ‖ [11] *εἰς ἣν] ἐνῷ U: scr ἐν ᾗ? cf 200, 9* ‖ *σὺ om P* ‖ *χαίρειν οἶδας P: cf 139, 4* ‖ [12] *εὐξαμένη (om αὐτῆς) U: cf 20; 146, 16; al* ‖ *ἐμαυτὴν P: cf 211, 3* ‖ [13] *σκεπ. om P* ‖ [14] *ἐπ. - δὲ om P* ‖ [15] *οὐ τοῦ λοιποῦ (cf c 131e) χ. ἔχ. μετ' ἐμοῦ P: cf 20* ‖ [16] *κρ. σ.] ὑπὲρ σὲ U* ‖ [19] *θ.] καὶ add U* ‖ [20] *ἁγνήσηται αὐτοὺς U παρ' αὐτοῦ ἁγνισθῆτε P: scr ἁγνίσητε ἑαυτούς??* puri sitis ſ ‖ *εἰπῶν (om αὐτοῦ) U: cf 12* ‖ [22] *εἶπεν U* ‖ *σου U* ‖ *Ἰ.] μου add U* ‖ *με ἐγκ. U: cf 211, 12* ‖ *πρὸς] εἰς U* ‖ [23] *ὡς γ.] καὶ γ. ὡς P: cf 215, 10* ‖ *ὅτι om P: cf 209, 16* ‖ [24] *τοὺς - ἐπ.]* qui te non nouerunt ſ ‖ *ἐπιλελησμένους U* ‖ [25] *τῇ om U: del? cf 24* ‖ *ν. δὲ ἐ.] καὶ νῦν P* ‖ *δ. σου P*

φήμην ἤκουσα καὶ ἐπίστευσα, σὺ ἐλθὲ εἰς τὴν βοήθειάν μου, καὶ ῥῦσαί με ἀπὸ τῆς ἀναισχυντίας Χαρισίου, ὥστε μὴ κατεξουσιάσῃ μου ἡ τούτου μιαρότης. Καὶ τύψασα ἑαυτῆς τὰς χεῖρας ἔφυγεν ἀπ' αὐτοῦ γυμνή· καὶ ἐξιοῦσα κατέσπασεν τὸ βῆλον τοῦ κοιτῶνος, καὶ τοῦτο περιβαλομένη ἀπήει πρὸς τὴν ἑαυτῆς τροφόν, κἀκεῖ παρ' αὐτῇ ὕπνωσεν.

99 Ὁ δὲ Χαρίσιος δι' ὅλης τῆς νυκτὸς ἐν ἀθυμίᾳ ὑπῆρχεν, τὰς χεῖρας αὐτοῦ πατάσσων κατὰ τῆς ὄψεως· ἐβούλετο δὲ αὐτῇ τῇ ὥρᾳ ἀπελθεῖν καὶ ἀνενέγκαι τῷ βασιλεῖ περὶ τῆς βίας τῆς περιστάσης αὐτῷ· ἐνεθυμεῖτο δὲ ἐν ἑαυτῷ λέγων· Ἐὰν ἡ πολλὴ ἀθυμία ἡ περὶ ἐμὲ οὖσα ἀναγκάσῃ με ἀπελθεῖν 231 W
ἄρτι πρὸς τὸν βασιλέα, τίς εἰσφέρει με εἰς αὐτόν; ἐγὼ γὰρ ἐπίσταμαι ὅτι

ἡ ἐμὴ κακηγορία κατέστρεψέν με τῆς ὑψαυχενίας μου καὶ τῆς ἀλαζονείας καὶ τῆς μεγαλωσύνης καὶ εἰς ταύτην με τὴν σμικρότητα κατέβαλεν καὶ τὴν ἀδελφήν μου Μυγδονίαν ἀπεχώρισεν ἀπ' ἐμοῦ,

ἡ ἀλαζονεία καὶ ἡ ὑπερηφανεία μου εἰς ταύτην ἤγαγέ με τὴν ἀτιμίαν ἵνα ἡ ἀδελφή μου Μυγδονία τὴν εἰς ἀλλήλους κοινωνίαν ἀρνησαμένη ἀφήσει με·

εἰ καὶ αὐτὸς ὁ βασιλεὺς πρὸ τῶν θυρῶν εἱστήκει τῇ ὥρᾳ ταύτῃ, οὐκ ἂν ἐξελθὼν ἀπόκρισιν αὐτῷ ἔδωκα. ἀλλ' ἀναμείνω ἕως ὅτε διαφαύσει· οἶδα δὲ ὅτι εἴ τι ἂν αἰτήσω τὸν βασιλέα παρέχει μοι. ἐρῶ δὲ περὶ τῆς μανίας τοῦ ξένου ἐκείνου, ἥτις τυραννίδι χρησάμενος καταβάλλει τοὺς μεγά-

---

[2] κατεξουσιάζει U ‖ [3] τύψ. ἑ.] ῥίψασα ἑαυτὴν olim Vsener κύψασα ἑαυτὴν A Schoene coniectan (Kiliae 1894) p 10: scr δήσασα αὐτοῦ??? ‖ τύψ.] cum deligasset uel comprehendisset ſ: cf 8 et 9 ‖ [3] ἐμαυτὴν P (cf 210, 12) illius ſ ‖ [3–4] τ. χ. om P ‖ [4] τὸ] τὴν U ‖ [5] περιβαλλομένη PU: cf 226, 7 ‖ [5–6] πρ. τ. ἑ. ἀπ. P ‖ [6] παρ' α. (ſ) del Vsener ‖ [8] κ. τ. ὄ.] inter se ſ ‖ [9] καὶ] πάντα add P ‖ τῷ β. ἀπαγγεῖλαι P: cf 124, 7 ‖ [9–10] περὶ - ἐνεθ. (ſ)] ἔλεγεν P ‖ [10] δὲ] πάλιν add P: cf 163, 13; 225, 20; c 128 i; et 183, 13 - 14; 228, 9 - 10 ‖ λέγ. om P ‖ [12] με εἰσφ. (cf 210, 22) πρὸς U: cf 208, 18 (sed 218, 12 - 14 P solus) ‖ ἐ. γ. (ſ)] ἀλλὰ ἐ. P ‖ [14–20] U et P separatim dedi. sic fere scr: εἰ μὴ κακομοιρία (??? κακοπραγία??) κατέστρ. με τ. ὑψ. μου κ. τ. ἀλ. καὶ τῆς ὑπερηφανείας (?) κ. τ. μεγ. εἰς ταύτ. τ. ἀτιμ. καὶ σμικρ., κ. τ. ἀδ. μου Μ. ἀπεχ. ἀπ' ἐμοῦ, (ſ) ‖ [22] ἀλλὰ U ‖ παραμενῶ U: scr ἀναμενῶ? cf 24 ‖ [23] ὅτε] οὗ P: cf 173, 22; 189, 3; c 141 e; 150 i; 151 e ‖ εἴ τι ἂν] ὃ ἐὰν U: cf 122, 13; 137, 10; 206, 19 ‖ [24] παρέξει P: cf 138, 1 ‖ εἴπω P: cf 22 et 114, 3 ‖ scr μαγείας? (ſ) ‖ [25] ἥτις U ὅστις P (recte??) quomodo ſ: scr πῶς?? ‖ τυραννίαν P: cf 162, 11 ‖ [25–213,1] κατ. - βάθος] τ. ἐπ. τῆς χώρας ἡμῶν κατ. P: cf 149, 18

λους καὶ ἐπισήμους εἰς βάθος. οὐ γάρ τοῦτό με λυπεῖ ὅτι ἐστερήθην τῆς κοινωνίας αὐτῆς, ἀλλὰ περὶ αὐτῆς λυποῦμαι, ὅτι ἡ παμμεγέθης ψυχὴ αὐτῆς ἠλαττώθη. γυνὴ εὐσχήμων οὖσα, ἣν οὐδείς ποτε τῶν οἰκείων κατέγνω, γυμνὴ ἔφυγεν ἀπὸ τοῦ ἰδίου κοιτῶνος ἔξω τρέχουσα· καὶ οὐκ οἶδα ποῦ ἀνεχώρησεν· καὶ τάχα ἐμμανὴς γενομένη ὑπὸ τοῦ φαρμακοῦ ἐκείνου μανεῖσα εἰς τὴν ἀγορὰν ἐξῆλθεν ζητοῦσα ἐκεῖνον· οὔτε γάρ τι ἐράσμιον αὐτῇ φαίνεται ἀλλ' ἐκεῖνος καὶ τὰ ὑπ' αὐτοῦ λεχθέντα.

100 Καὶ ταῦτα εἰπὼν ἤρξατο ὀδυρόμενος λέγειν· Οὐαί μοι σύμβιε, ἔπειτα καὶ σοί· ἐστερήθην γάρ σου τάχιον. οὐαί μοι προσφιλεστάτη· παντος γὰρ τοῦ γένους μου βελτίων ὑπάρ-
62 B χεις· οὔτε υἱὸν οὔτε | θυγατέρα ἐκ σοῦ ἔσχον ἵνα ἐπ' αὐτοῖς ἐπαναπαύσωμαι· οὐδὲ πλήρης ἐνιαυτὸν συνῴκησάς μοι,

232 W βάσκανος δὲ ὀφθαλμὸς ἀφήρπασέν σε ἀπ' ἐμοῦ· ὡς εἴθε ἡ τοῦ θανάτου βία εἰλήφει ἄν σε, καὶ κατεψηφισάμην βασιλεῦσιν καὶ ἐξάρχοις· ἀλλὰ ὑπὸ ξένου παθεῖν με τοιοῦτον· καὶ τάχα δοῦλος ὢν ἀπέδρα τῷ ἐμῷ κακῷ καὶ τῆς ψυχῆς

ποῖος δὲ τοῦτο βάσκανος πεποίηκεν ὀφθαλμός; ποῖος πονηρὸς τοῦτο γενέσθαι παρέπεισε δαίμων; εἴθε θάνατον μᾶλλον ταύτης ἂν εἶδον ἐγὼ ἢ τοῦτό μοι τὸ δρᾶμα γενέσθαι ἰδεῖν καὶ μᾶλλον ὑπὸ ξένου καὶ δούλου τοῦτο συμ-

---

1 λυπ.] μόνον *add P* τοσοῦτον *add U* ‖ 2 τ. α. ἐστέρημαι κ. *P* ‖ π. α.] μᾶλλον *add P* ‖ 3 παμμ. *om P* ‖ ταύτης ἠλ. ψ. *P non nulla add* ſ ‖ εὔσχημος *P om* ſ ‖ 4 ποτε] πώποτε *P: cf c 128i* ‖ κατ.] uidit morosam ſ ‖ 4–5 ἔξω τ. ἰδ. κ. αὐτῆς ἔφ. (*om* ἀπὸ) *P* ‖ 5 κοιτ.] αὐτῆς *add P: cf 204, 9* ‖ τρέχ. *om P* ‖ κ. οὐκ ο.] μὴ γινώσκων *P* ‖ 6 ἀνεχ.] αὕτη ἀπῆλθεν *P* ‖ καὶ τ. (ſ)] μάλιστα *P* ‖ ἐμμ. γεν. *om P* ‖ ὑπὸ (ſ)] κατὰ *P* ‖ 7 μαν. *del?* ‖ ἐκεῖνον] sed nescio quo abierit *add* ſ ‖ 8–9 οὔτε - λεχθ.] *om P* nam nihil erat quod cerneretur in ea ſ ‖ 8 *scr* οὐδὲ? ‖ *scr* ἀλλ' ⟨ἢ⟩? *cf 103, 2* ‖ 10 ὀδ.] ὀδυρᾶσθαι καὶ *U: cf 225, 12* ‖ 11 σ. ἔπ. κ.] κυρία μου μυγδονία πῶς τοῦτο μοι συνέβη ἵνα οὕτως (*cf c 129m*) *P* ‖ σύμβιέ ⟨μου⟩? *cf 209, 12* ‖ ἔπ. κ. σοί] *scr* ἕνεκέν σου?? (ſ) ‖ τάχ. στερηθῶ (*om* γάρ σου) *P* ‖ 12 προσφ. (ſ) *om P* ‖ γὰρ τοῦ *om P* ‖ μου β. ὑπ. (ſ)] μόνη μοι φιληθεῖσα *P* ‖ 13 οὔτε *prius*] γὰρ *add P* ‖ θυγατέραν *P* ‖ ἐκ σ. ἔ.] σχεῖν παρα σ. ἠξιώθην *P* ‖ ἐπ'] κἂν (*cf 227, 1*) ἐν *P: del? cf 191, 14; 15; 220, 9; 224, 6; c 134m* ‖ 14 ο.] ἀλλ' ο. *P* οὔτε γὰρ *U* ‖ *scr* πλήρη?? *cf 118, 10; c 147i* ‖ κατῴκησας *P: scr* συγκατῴκησάς??

15–213,21 *U et P separatim posui*

U 15–16 βάσκ. - ἐμοῦ] *ita fere* ſ ‖ 16 ὡς *om* ſ: *del?* ‖ 17–18 *scr* εἰλήφέν σε? εἰλήφει σε? *cf 226, 12* ‖ 18 *scr* συνεψηφισάμην ⟨ἂν ἐμαυτὸν⟩? (ſ) ‖ 19 ἀλλὰ ⟨μὴ⟩?? (ſ) ‖ 20 ὑπὸ - τοι.] hic peregrinus ſ ‖ 21 ⟨ὃς⟩ καὶ? (ſ) ‖ 22–213,1 καὶ - κακ. *om* ſ

μου τῆς κακίστης. μὴ γένοιτο δέ μοι ἐμπόδιον ἕως ἂν τοῦτον ἀπολέσω καὶ ἐκδικήσω τὴν νύκτα ταύτην· καὶ μηδὲ εὐάρεστος γένωμαι ἔμπροσθεν Μισδαίου τοῦ βασιλέως ἂν μὴ τὴν ἐκδίκησιν ποιήσῃ μοι διὰ τῆς τοῦ ξένου κεφαλῆς καὶ περὶ Σιφόρου τοῦ στρατηλάτου, ὃς καὶ πρόφασις γέγονεν. διὰ γὰρ τούτου ἐνθάδε ὤφθη, καὶ παρ' αὐτῷ κατάγεται· καὶ πολλοί εἰσιν οἱ εἰσιόντες καὶ ἐξιόντες, οὓς διδάσκει νέαν διδαχήν, τοῦτο λέγων, ὅτι οὐδεὶς δύναται ζῆσαι ἐὰν μή τις ἀπαλλαγῇ πάντων τῶν ὑπαρχόντων καὶ γένηται ἀποτεταγμένος ὥσπερ καὶ αὐτός· καὶ σπουδάζει πολλοὺς κοινωνοὺς ἑαυτῷ ποιῆσαι.

βῆναι. οὐ μὴ τοῖς ἐμοῖς ποσὶν ἀνάπαυσιν δώσω ἕως οὗ τοῦτον καὶ τὸν ἀγαγότα αὐτὸν ὧδε ἀπολέσω· εἰ μὴ γὰρ ὁ δεινὸς ὧδε τοῦτον ἤγαγε στρατηλάτης, οὐκ ἂν τῷ ἐμῷ οἴκῳ τοῦτο συνέβη. ἀναγγείλω περὶ τούτου τῷ βασιλεῖ Μισδαίῳ, καὶ οἶδα ὅτι ὡς πάντοτέ μου ἀκούει καὶ περὶ τούτου πάντως ποιήσει μου τὴν ἐκδίκησιν.

101 Ταῦτα διανοουμένου τοῦ Χαρισίου διέφαυσεν· καὶ ἐννυχεύσας ἐνεδύσατο ἐσθῆτα εὐτελῆ, καὶ ὑποδησάμενος ἀπήει σκυθρωπὸς ἐν ἀθυμίᾳ ὑπάρχων εἰς ἀσπασμὸν τοῦ βασιλέως. ἰδὼν δὲ αὐτὸν ὁ βασιλεὺς εἶπεν· Τίνος ἕνεκεν περίλυπος εἶ καὶ ἐν τοιούτῳ σχήματι ἦλθες; ὁρῶ δὲ καὶ τὸ πρόσωπόν σου ἐνηλλαγμένον. Ὁ δὲ Χαρίσιος λέγει πρὸς τὸν βασιλέα· Καινόν σοι ἔχω ὑφηγήσασθαι πρᾶγμα καὶ ἐρημίαν νέαν, ἣν Σιφὼρ

U 1–2 *μὴ - ἐμπ.*] numquam habebo quietem nec umquam inhibebor ſ ‖ 3–5 *τὴν - γέν.*] me ab illo. hac nocte non adero ſ ‖ 6 *ἂν* sed si ſ ‖ 7 *scr μου ποιήσῃ??* ‖ 7–8 *διὰ - κεφ.*] nec poena adficiet hunc peregrinum ſ ‖ 9 *στρατηλάτου ⟨ἀναγγελῶ⟩?* (ſ) ‖ 10 *γέγονεν ⟨ἀπωλείας αὐτῇ⟩?* (ſ) ‖ 11–12 *διὰ - καὶ*] nam ſ ‖ 15 *διδαχ.*] puritatis *add* ſ ‖ 17 *τις om* ſ: *del??* ‖ 19 *ἀποτ.*] asceticus et mendicus peregrinans ſ ‖ 20 *πολλ. om* ſ: *del?*

P 3 *scr ἀγαγόντα?* ‖ 7 *ἀναγγ.*] *cf 211, 22; 24*

23 *ἀπῆλθεν P: cf 133, 4 al; 103, 1 al; 215, 17* ‖ 24 *ἀπθρωπῶς (ἀπ inductum) P* ‖ *ἐν ἀ. ὑπ.*] *οὕτως πως P* ‖ *εἰς - βασ.*] *τὸν βασιλέα ἀσπάσασθαι P* ‖ 26 *τοι. σχ.*] *τῷ σχ. τούτῳ U* hoc misero habitu ſ haec uilitas m ‖ 26–27 *ὁρῶ - ἐν.*] *ἀλλὰ καὶ τ. πρ. σ. ἐν. ὁρῶ P: cf 183, 16; 184, 10; 202, 2; 209, 20; 214, 9; 217, 1; c 123i; 137m; 150e (bis); 152e; 162m* ‖ 27 *πρ. τ. β. λ. P* ‖ *ἔφη U* dicit ſ ‖ 28 *ν. ἐρ. P*

233 W ἤγαγεν ἐν τῇ Ἰνδίᾳ, ἄνδρα τινὰ Ἑβραῖον μάγον, ὃν ἔχει καθεζόμενον ἐν τῷ ἰδίῳ οἴκῳ, ὃς οὐκ ἀφίσταται αὐτοῦ· πολλοὶ δέ εἰσιν οἱ εἰσιόντες πρὸς αὐτόν· οὓς καὶ διδάσκει νέον θεὸν καὶ νόμους νέους ἐντίθησιν αὐτοῖς τοὺς μή πω ἀκουσθέντας, λέγων· Ἀδύνατόν ἐστιν ὑμᾶς εἰς τὴν αἰώνιον ζωὴν εἰσελθεῖν ἣν ἐγὼ καταγγέλλω ὑμῖν, ἐὰν μὴ ἀπαλλαγῆτε ὑμεῖς τῶν ἰδίων γυναικῶν, ὁμοίως καὶ αἱ γυναῖκες τῶν ἰδίων ἀνδρῶν. Ἔτυχεν δὲ καὶ τὴν κακότυχον γυναῖκά μου ἀπελθεῖν πρὸς αὐτὸν καὶ κατήκοον γενέσθαι τοῖς λόγοις αὐτοῦ· οἷς καὶ ἐπίστευσεν καὶ διὰ τῆς νυκτὸς καταλιποῦσά με προσέδραμεν τῷ ξένῳ. ἀλλὰ μετάπεμψαι τόν τε Σιφόρα καὶ ἐκεῖνον τὸν μάγον τὸν ἐν αὐτῷ κρυπτόμενον, καὶ ἐπίθες τῇ κεφαλῇ αὐτῶν, ἵνα μὴ πάντες οἱ τοῦ ἔθνους ἡμῶν ἀπολοῦνται.

102 Ταῦτα δὲ ἀκούσας Μισδαῖος ὁ φίλος αὐτοῦ λέγει αὐτῷ· Μὴ λυποῦ μηδὲ ἀθύμει· ἐγὼ γὰρ μεταπεμψάμενος αὐτὸν ἐκδικήσω σε, καὶ σὺ τὴν σεαυτοῦ γυναῖκα πάλιν ἕξεις καὶ τοὺς
63 B ἄλλους τοὺς μὴ δυναμένους ἐγὼ ἐκδικήσω. | Ἐξελθὼν δὲ ὁ βασιλεὺς ἐκαθέσθη ἐπὶ τοῦ βήματος· καθεσθέντος δὲ αὐτοῦ ἐκέλευσεν Σιφόρα τὸν ἀρχιστρατηλάτην κληθῆναι· ἀπελθόντες οὖν εἰς τὴν οἰκίαν αὐτοῦ εὗρον αὐτὸν καθεζόμενον ἐν δεξιᾷ

---

[1] ἐν τ. Ἰ. ἄ.] ὁ στρατηλάτης P ‖ ἑβ. τ. P ‖ ὃν ἔ. κ.] καὶ δοῦλον P ‖ [2] ἰδ. ο.] ο. αὐτοῦ ἀγαγὼν P ‖ [2–3] αὐτοῦ - διδ.] πάντας τοὺς τῆς χώρας ἡμῶν οἰκήτορας ἐκ τῶν <ἰδίων?> ἐθῶν ἀποσπῶν καὶ τῆς ἰδίας θρησκείας ὡς αὔτως (cf 178, 8 - 9) καὶ πρός (scr εἴς?) τινα P ‖ [4–6] καὶ ν. - ὑμῖν] πιστεύειν αὐτοὺς πείθων ἐπαγγέλλων καὶ τοῦτο ὅτι P ‖ [4] scr τίθησιν? ‖ [5] ἀδ. - εἰσ.] non potestis filii fieri huius uitae aeternae ſ ‖ [6] ὑμῖν om ſ: del?? cf 186, 4; 202, 8 et 168, 1 al ‖ ὑμεῖς om P ‖ [7] αἱ om U ‖ ἀνδρ.] οὐ μὴ τύχητε τῆς αἰωνίου ζωῆς add P ‖ [8] ἐμὴν γαμετὴν (179, 11; 15; 216, 14 - 15; P solus: sed cf 208, 10) πρ. α. ἀπ. P ‖ [9] πιστεύσασα et add ἀπέστη μου τῆς κοινωνίας ἀλλὰ P ‖ [10] δ. τ. ν.] τῇ νυκτὶ ταύτῃ P: cf 100, 9 ‖ ἐάσασά U: uerum? cf 229, 10 et 171, 5 ‖ τ. ξ. πρ. P om ſ ‖ προσπελὰ U ‖ ἀλλὰ] καὶ παρακαλῶ P ‖ [11] μεταπεμψάμενος P ‖ τόν τε om U: del? ‖ [11–12] τ. ἐν α. κρ. μάγ. (om ἐκ. τὸν) P ‖ [11] ἐκ. del? (ſ) ‖ [11–12] κεκρυμμένον παρ' αὐτῷ U laqueos ei ponentem ſ ‖ [12] ἐπ. τ. κ. α.] ἀμφοτέρους εἰ δυνατὸν ἄνελε P poena eos adfice ſ: cf 184, 10?? 218, 13? ‖ ἵνα] scr εἰ δὲ? (ſ) ‖ [13] ἀπώλονται U: cf 114, 3 ‖ [14] ὁ] ὁ βασιλεὺς ὁ καὶ P: scr ὁ συγγενὴς καὶ?? (cf 208, 9; 215, 11) a propinquo suo Charisio ſ ‖ ἔλεγεν U ‖ [16] σὺ om P ‖ π. ἕ. γ. P ‖ πάλιν (ſ) om U: cf 163, 13 ‖ [16–17] κ. τ. - ἐκδ. om P nam si ego ulciscor alios qui se non possunt ipsi ulcisci, te praesertim ſ ‖ [17–18] ἐξ. - δὲ α. om ſ ‖ [18] βήμ.] δικαστηρίου U ‖ κ. δὲ α. om U: del? ‖ [19] κελεύσας U ‖ κλ. τ. σίφορα P ‖ ἀρχ. om P: scr στρατηλάτην? cf 178, 13 al; 206, 11; 213, 9 ‖ [20] οὖν] δὲ P ‖ αὐτοῦ om U ‖ εὗραν U

τοῦ ἀποστόλου, καὶ Μυγδονίαν πρὸς τοῖς ποσὶν αὐτοῦ, σὺν παντὶ τῷ ὄχλῳ κατακούουσαν αὐτοῦ. καὶ προσελθόντες οἱ ἀποσταλέντες παρὰ τοῦ βασιλέως τῷ Σιφόρῳ λέγουσιν· Σὺ ἐνθάδε καθέζῃ ἀκούων ματαίων λόγων, καὶ Μισδαῖος ὁ βασιλεὺς ἐν τῇ ὀργῇ αὐτοῦ σκέπτεταί σε ἀπολέσαι διὰ τὸν μάγον τοῦτον καὶ πλάνον ὃν εἰσήγαγες εἰς τὸν οἶκόν σου. Ταῦτα ἀκούσας ὁ Σιφὼρ ἠθύμησεν, οὐ διὰ τὴν ἀπειλὴν τὴν τοῦ 234 W
βασιλέως πρὸς αὐτόν, ἀλλὰ περὶ τοῦ ἀποστόλου, ὅτι ἐναντίως ἔγνω ὁ βασιλεὺς περὶ αὐτοῦ· καὶ εἶπεν τῷ ἀποστόλῳ· Ἐγὼ περὶ σοῦ λυποῦμαι· εἶπον γάρ σοι ἀπ' ἀρχῆς ὅτι ἡ γυνὴ ἐκείνη γυνή ἐστιν Χαρισίου τοῦ συγγενοῦς καὶ φίλου τοῦ βασιλέως, καὶ οὐ συγχωρεῖ αὐτὴν ποιῆσαι ὃ ἐπαγγέλλεται, καὶ πάντα ὅσα ἂν αἰτήσῃ τὸν βασιλέα παρέχει αὐτῷ. Ὁ δὲ ἀπόστολος τῷ Σιφόρῳ λέγει· Μηδὲν φοβοῦ ἀλλὰ πίστευσον Ἰησοῦ τῷ ἀπολογουμένῳ ὑπὲρ ἡμῶν ἁπάντων· πρὸς γὰρ τὴν καταφυγὴν αὐτοῦ συνηθροίσμεθα. Ταῦτα δὲ ἀκούσας ὁ Σιφὼρ καὶ περιβαλὼν τὸ ἱμάτιον αὐτοῦ ἀπῄει πρὸς Μισδαῖον τὸν βασιλέα.

103 Ὁ δὲ ἀπόστολος ἐξήταζεν τὴν Μυγδονίαν· Τίς ἡ αἰτία ἡ γενομένη τοῦ ὀργισθῆναι τὸν σὸν ἄνδρα καὶ ταῦτα ἡμῖν κατασκευάσαι; Ἡ δὲ εἶπεν· Ἐπειδὴ οὐκ ἐξέδωκα ἐμαυτὴν τῷ ὀλέθρῳ αὐτοῦ. ἐβουλήθη γὰρ ὀψὲ ὑποτάξαι με καὶ ὑποβαλεῖν ἐκείνῳ ᾧ λατρεύει πάθει· καὶ ἐλυτρώσατό με ἐκεῖνος ᾧ

[14] cf Luc 8, 50

---

[1] *πρὸς] ἐν P: cf 217, 21; 218, 1* ‖ [1–2] *καὶ πάντα τὸν ὄχλον αὐτοῦ κατακούοντα P* ‖ [2] *π. τῷ]* magna ʃ ‖ *κ. α.]* et audiebant eum ʃ et (Mygdoniam) audientem uerbum dei m ‖ [3] *εἶπον U* dicunt ʃ ‖ [4] *μ. λ. ἀκ. P* ‖ [5] *α. ὀργῇ P* ‖ *ἀπ.] καὶ add U* ‖ [5–6] *πλ. κ. μ. τ. U: cf 209, 8* ‖ [7–8] *τὴν πρ. α. τ. β. ἀπ. (om alt τὴν) P* ‖ [9] *λέγει P recte?* dixit ʃ ‖ [10] *ε. γ.] καὶ γ. ε. P: cf 15; 181, 10; 183, 13; 184, 8; 194, 8; 210, 23; 217, 24; c 141e (P: sed 206, 23 U; 183, 8; 10 PRUV)* ‖ *ἀπ' ἀ. om P* ‖ [11] *συγγ. κ. om U: cf 214, 14* ‖ [12] *ἐπ.] παρακελεύεται P: cf 206, 21 s* ‖ [13] *αἰτήσητε P* ‖ *ἀκούῃ αὐτοῦ P* ‖ [14] *εἶπεν U* dicit ʃ ‖ *μηδ. φ. om P: scr μὴ φ.?* noli timere m ʃ: *cf 229, 9* ‖ *Ἰ.] εἰς χριστὸν P* ‖ [15] *ὑπ. ἡμ. ἀπολ. P* ‖ [15–16] *ἡμ. - συνηθρ.]* et me et te et omnibus eis qui ad eum confugiunt et ad concilium eius conueniunt ʃ ‖ [15] *ἀπ.] om P* ‖ *πρ. γ.] καὶ γ. πρ. P: cf 10* ‖ [16] *ὁ σίφωρ ἀκ. P* ‖ [16–17] *κ. π. τὸ ἱμ.] ἐνδυσάμενος U: cf 211, 5; 231, 9* ‖ [17–18] *τ. β. μισδ. P* ‖ [19] *ἐξήτασεν U* ‖ [19–21] *τίς - κατασκ.] δια τὴν παρὰ τοῦ ἀνδρὸς αὐτῆς γενομένην ὀργήν P* ‖ [21] *δὲ] ἀποκριθεῖσα add P* ‖ [21]–216,[1] *ἐπειδὴ - χειρ. α.* (ʃ)] *διὰ τὸ μὴ ἔκδωτον ἐμάυτὴν ποιήσασα (scr ποιῆσαι?) κατὰ τὴν προτέραν τῆς σαρκὸς κοινωνίαν συγκαθευδῆσαι γὰρ τῇ παρελθούσῃ ἐβούλετό με νυκτὶ P* ‖ [22] *⟨μετ'⟩ αὐτοῦ?* (ʃ)

τὴν ψυχήν μου παρεθέμην ἀπὸ τῶν χειρῶν αὐτοῦ. κἀγὼ γυμνὴ ἀπέφυγον αὐτὸν καὶ πρὸς τὴν τροφόν μου ἐκαθεύδησα. τὸ δὲ συμβὰν αὐτῷ οὐκ ἐπίσταμαι διὰ τί ταῦτα ἐτεχνάσατο. Ὁ ἀπόστολος λέγει· Ταῦτα ἡμᾶς οὐ βλάψει, ἀλλὰ πίστευσον εἰς τὸν Ἰησοῦν, καὶ αὐτὸς ἀνατρέψει τὴν ὀργὴν Χαρισίου καὶ τὴν μανίαν καὶ τὸν οἶστρον ἐκείνου. καὶ αὐτός σοι σύνοδος γένηται ἐν τῇ φοβερᾷ λεωφόρῳ, καὶ αὐτός σε ὁδηγήσει εἰς τὴν βασιλείαν αὐτοῦ· εἰσάξει δέ σε εἰς τὴν αἰωνίαν ζωήν, 235 W παρέχων σοι τὴν παρρησίαν τὴν μὴ παρερχομένην μήτε ἀλλασσομένην.

104 Σιφὼρ δὲ παρέστη τῷ βασιλεῖ, καὶ ἐξήταζεν αὐτόν· Τίς ἐστιν καὶ πόθεν καὶ τί διδάσκει ὁ μάγος ἐκεῖνος ὃν ἔχεις ἐμφωλεύοντα ἐν τῷ οἴκῳ σου; Ὁ δὲ Σιφὼρ ἀπεκρίνατο τῷ βασιλεῖ· Οὐ μὴ ἀγνοῇς βασιλεῦ οἷον πόνον καὶ λύπην ἔσχον σὺν τοῖς φίλοις μου περὶ τῆς γυναικός μου, ἣν καὶ σὺ οἶδας καὶ ἄλλοι πολλοὶ διὰ μνήμης ἔχουσιν· καὶ τὰ περὶ τῆς θυγατρός μου, ἣν καὶ προτιμῶ πάσης τῆς κτήσεώς μου, οἷον καιρὸν καὶ πειρασμὸν πέπονθα· ἐγενόμην γὰρ γέλως καὶ κατάρα πάσῃ τῇ χώρᾳ ἡμῶν. ἤκουσα δὲ τῆς φήμης τοῦ ἀνδρὸς τούτου, καὶ γενόμενος πρὸς αὐτὸν ἐδεήθην αὐτοῦ, καὶ παραλαβὼν αὐτὸν ἤγαγον ἐνθάδε· καὶ ἐρχόμενος κατὰ τὴν ὁδὸν

1–2 *καγὼ γ.* (ſ)] *γ. γὰρ U* ‖ 2 *ἀπ. - πρὸς*] *εἰσπηδήσασα* (*scr ἐκπηδήσασα*) *ἐπὶ P* ‖ *αὐτὸν*] *scr αὐτοῦ? ἀπ' αὐτοῦ?* ‖ *τρ. μου*] *ἐμὴν ἀπιοῦσα τρ. P* ‖ *ἐκ.*] *ἔμεινα P* ‖ 3 *τὸ δὲ - ἐτεχν.*] *πῶς δὲ ταῦτα ἐτ. οὐκ ἐπίστ. P* ‖ *διὰ τί*] *scr διότι?? cf Al 343, 14 Callinici uita Hypatii 103, 27* ‖ 4 *ὁ ἀπ.*] *ὁ δὲ ἀπ. U καὶ ὁ ἀπ. P* apostolus ſ ‖ *εἶπεν U* dicit ei ſ ‖ *οὐ μὴ ταῦτα ἡμ. παραβλάψη* (*cf c 127 i*) *P* ‖ *scr βλάπτει?* (ſ) *cf 218, 13* ‖ *πίστευε P* ‖ 5 *ἀνατρέψαι ἔχει P* ‖ *ὀργ.*] libidinem ſ ‖ 6 *τὸν τῆς μανίας οἶ.* (*om alt καὶ*) *P* liberabit te a corruptela et luxuria ſ ‖ 6–9 *κ. αὐτ. - ἀλλασσ. om P* ‖ 6 *scr συνοδοιπόρος?* dux ſ: *cf 155, 14; 229, 16* ‖ 7 *γενήσεταί?? cf 114, 3; 220, 10* ‖ *scr αἰώνιον?? cf 191, 11* ‖ 9 *παρρ.*] imperium ſ ‖ 11 *ἐξετάζεται U* ‖ *αὐτόν om U περὶ τοῦ ἀποστόλου add P* ‖ 12–13 *πόθεν - σου*] *πῶς αὐτὸν εἰσήγαγεν εἰς τὸν οἶκον αὐτοῦ τοιοῦτον φαρμακὸν ὄντα καὶ μάγον P* ‖ 13–14 *τῷ β. ἀπ. P* ‖ 14 *οὐ μὴ ἀ.*] *ἔγνως U* num forte nescis ſ nosti enim m: *scr Μὴ ἀγνοεῖς?* ‖ *βασ. om P* ‖ 14–17 *πόν. - ἣν*] *μοι ἐν τῇ οἰκίᾳ συνέβη δεινόν πῶς ἡ ἐμὴ ἔπαθεν γαμετὴ ὡς αὔτως* (*cf 178, 8 - 9*) *δὲ καὶ ἡ ἡμῶν θυγάτηρ ἣ P* ‖ 15–16 *ἣν - ἔχ.*] cui ut scis multi honorem habebant ſ ‖ 17 *προτ. om P* ‖ *πάσ.*] *οἶδεν add P* ‖ *μου*] *πρωτεύειν add P* ‖ 17–18 *οἷον - κατάρα*] *τρεῖς γὰρ χρόνους κατὰ τοτοιοῦτον ἔπασχον πάθος καὶ γέλω P* ‖ 18 *πέπ. ἐγ. γ.*] passae sint et quomodo factae sint ſ: *cf 225, 7* ‖ 19 *χ. ἡμ.*] *ἡμ. γέγονα χ. P* ‖ 19–20 *ἤκ. - τούτ.*] *τ. φ. δὲ τούτ. ἀκούσας* ||||||||| (*in ras ἐγὼ*) *τοῦ ἀνδ. P*

θαυμάσια | καὶ ἔκπληκτα εἶδον, καὶ ἐνθάδε πολλοὶ κατήκουσαν 64 B τοῦ ὀνάγρου καὶ περὶ τοῦ δαίμονος ἐκείνου ὃν ἐξήλασεν, καὶ ἐθεράπευσεν τήν τε γυναῖκά μου καὶ τὴν θυγατέρα, καὶ νῦν ὑγιαίνουσιν· καὶ μισθοὺς οὐκ ᾔτησεν, ἀλλ' ἀπαιτεῖ πίστιν καὶ ἁγιωσύνην, ἵνα κοινωνοὶ αὐτῷ γένωνται ἐν οἷς διαπράττεται. τοῦτο διδάσκει, σέβειν καὶ φοβεῖσθαι ἕνα θεὸν τὸν πάντων δεσπότην καὶ Ἰησοῦν Χριστὸν τὸν υἱὸν αὐτοῦ, ἵνα σχῶσιν τὴν αἰώνιον ζωήν. ὃ δὲ ἐσθίει ἄρτος ἐστὶν καὶ ἅλας, καὶ τὸ ποτὸν αὐτοῦ ὕδωρ ἀφ' ἑσπέρας ἕως ἑσπέρας, πολλὴν εὐχὴν ποιούμενος· καὶ ὅσα ἂν αἰτήσῃ τὸν θεὸν αὐτοῦ, δίδωσιν αὐτῷ. καὶ διδάσκει

ὅτι θεὸς οὗτος ἅγιός ἐστιν καὶ δυνατὸς καὶ ὁ Χριστὸς ζωὴ καὶ ζωοποιῶν.	θεὸν ἅγιον καὶ ἀγαθὸν καὶ Χριστὸν τὸν υἱὸν αὐτοῦ ζωὴν καὶ ζωοποιόν. 236 W

διὸ καὶ παραινεῖ τοῖς παροῦσιν αὐτῷ ἐν ἁγιωσύνῃ καὶ ἁγνείᾳ καὶ ἀγάπῃ καὶ πίστει προσέρχεσθαι αὐτῷ.

105 Καὶ ταῦτα ἀκούσας Μισδαῖος ὁ βασιλεὺς παρὰ Σιφόρου πολλοὺς ἔπεμψεν στρατιώτας εἰς τὸν οἶκον Σιφόρου τοῦ στρατηλάτου, ἀγαγεῖν Θωμᾶν τὸν ἀπόστολον καὶ πάντας τοὺς εὑρισκομένους ἐκεῖσε. εἰσελθόντες δὲ οἱ πεμφθέντες ἔσω εὗρον αὐτὸν πλῆθος πολὺ διδάσκοντα· καὶ ἡ Μυγδονία πρὸς τοῖς ποσὶν αὐτοῦ ἐκάθητο. θεασάμενοι δὲ τὸν πολὺν ὄχλον περὶ αὐτὸν ἐφοβήθησαν καὶ ἀπῆλθον πρὸς τὸν βασιλέα αὐτῶν καὶ εἶπον· Οὐκ ἐτολμήσαμεν εἰπεῖν αὐτῷ τι· ὄχλος γὰρ

---

[1] θαυμ.] μεγάλα *add* P: *recte?? cf* 186, 4; *c* 141*m* ‖ καὶ *prius om* ʃ: *del?* ‖ καὶ *alt*] ἀλλὰ καὶ P: *cf* 213, 26 ‖ [1–2] τ. ὀν. κατ. P ‖ [2] περὶ - ἐξ.] quae daemon de eo pronuntiauit ʃ ‖ [3] τε *om* U ‖ [4] ἀλλ' ἀπ.] praeter ʃ ‖ ἀπ.] αἰτεῖ U ‖ [5] αὐτοῦ U: *cf* 213, 21; 230, 13 ‖ [7] ἵνα] διὰ τῆς τοιαύτης πίστεως *add* P ‖ [7–8] τ. αἰ. σχ. P ‖ [7] ἔχωσίν U: *cf* 141, 4 ‖ [9–10] ἀφ'- ποι.] καὶ ἀπο ἑσπέρας ἕως πρωΐ παννύχον στάσιν ποιεῖ P ‖ *scr* ⟨καὶ⟩ π. εὐχ. ποιεῖ?? (ʃ) ‖ [12–14] *U et P separatim posui. sic fere scr:* ὅτι ⟨ὁ??⟩ θ. οὗτ. ἅγ. ἐ. κ. δυν. (*om* ʃ) καὶ ἀγαθὸς καὶ χρηστὸς καὶ ζωὴ (mansuetus ʃ: *scr* προσηνής??) καὶ ζωοποιός (ʃ) ‖ [15] παροῦσιν] *scr* πιστεύουσιν? (ʃ) παριοῦσιν? ‖ ἁγ. κ. ἁγ.] munditia et puritate ʃ: *cf* 201, 5 ‖ [16] κ. π. *om* ʃ: *del??* ‖ προσεύχεσθαι P accedere ʃ: *cf* 166, 4 ‖ [17] καὶ *om* P ‖ [18] Σιφ.] τοῦ ἀρχιστρατηλάτου *add* U: *cf* 19; 214, 19 ‖ [19] τ. στρ. (ʃ) *om* U ‖ ἀπ.] κυρίου *add* U ‖ [20] ἐκ. εὑρ. P ‖ οἱ π. *om* ʃ: *del? cf* 22 ‖ ἔσω] ἔνδοθεν τῆς οἰκίας P ‖ [21] αὐτὸν *om* P sedentem et *add* ʃ ‖ πολὺ (ʃ) *om* U ‖ διδασκόμενον P ‖ ἡ *om* P ‖ μυγδονίαν P ‖ παρὰ P: *cf* 215, 1; 218, 1 ‖ [22] αὐτοῦ *om* P ‖ καθημένην *et add* τοῦ ἀποστόλου P ‖ τ. πολ. δὲ οἱ ἀποσταλέντες (*cf* 20) θεασ. ὄ. P ‖ τ. πολ. (ʃ) *om* U ‖ [23] περὶ α. *om* P οἱ στ(ρ?)ατιῶται *add* U: *cf* 20 ‖ ἐφ.] εἰσελθεῖν οὐκ ἐτόλμησαν P: *cf* 24 ‖ κ. ἀπ.] ἀπελθόντες δὲ P ‖ [24] αὐτ. κ. *om* P ‖ τι κακείνω εἰπ. P: *cf* 205, 19 ‖ ὄ. γ.] καὶ γ. ὄ. P: *cf* 215, 10

ην πολὺς περὶ αὐτόν· καὶ ἡ Μυγδονία πρὸς τοῖς ποσὶν αὐτοῦ καθεζομένη ἠκροᾶτο τὰ ὑπ' αὐτοῦ λεγόμενα. Καὶ ταῦτα ἀκούσαντος Μισδαίου τοῦ βασιλέως καὶ Χαρισίου ἐκπηδήσας ὁ Χαρίσιος ἀπ' ἔμπροσθεν τοῦ βασιλέως συνεπισπασάμενος ὄχλον πολὺν εἶπεν· Ἐγὼ αὐτὸν φέρω βασιλεῦ καὶ τὴν Μυγδονίαν, ἧς τὸν νοῦν ἀφείλατο. Καὶ ἦλθεν εἰς τὴν οἰκίαν Σιφόρου τοῦ στρατηλάτου ἐντάραχος. καὶ εὗρεν αὐτὸν διδάσκοντα· Μυγδονίαν δὲ οὐ κατέλαβεν, ἀναχωρήσασα γὰρ ἦν εἰς τὸν οἶκον αὐτῆς, ἐγνωκυῖα ὅτι ἐμηνύθη τῷ ἀνδρὶ αὐτῆς ὅτι ἐκεῖ ἦν.

106 Ὁ δὲ Χαρίσιος εἶπεν τῷ ἀποστόλῳ· Ἀνάστα πονηρὲ καὶ ἀφανιστὰ καὶ ἐχθρὲ τοῦ ἐμοῦ οἴκου· ἐμὲ γὰρ ἡ σὴ μαγεία οὐ βλάπτει· τὴν γὰρ σὴν μαγείαν ἐπὶ τὴν σὴν κεφαλὴν θήσομαι. Ταῦτα δὲ αὐτοῦ εἰπόντος προσέσχεν αὐτῷ ὁ ἀπόστολος καὶ εἶπεν αὐτῷ· Αἱ ἀπειλαί σου ἐπιστρέψουσιν πρὸς σέ. ἐμὲ γὰρ ἐν οὐδενὶ καταβλάψεις· μείζων γάρ σοῦ ἐστιν
237 W καὶ τοῦ σοῦ βασιλέως καὶ πάσης ὑμῶν τῆς στρατιᾶς ὁ κύριος
65 B Ἰησοῦς Χριστὸς εἰς ὃν τὰς ἐλπίδας ἔχω. | Λαβὼν δὲ ὁ Χαρίσιος ἡμιφόριον ἑνὸς τῶν οἰκείων αὐτοῦ ἐπέβαλεν τῷ τραχήλῳ τοῦ ἀποστόλου λέγων· Σύρατε καὶ ἀπαγάγετε αὐτόν· ἴδω εἰ δύναται ὁ θεὸς ῥύσασθαι αὐτὸν ἀπὸ τῶν χειρῶν μου. Σύραντες δὲ αὐτὸν ἀπήγαγον πρὸς Μισδαῖον τὸν βασιλέα. στὰς δὲ ὁ ἀπόστολος ἔμπροσθεν τοῦ βασιλέως λέγει αὐτῷ ὁ βασιλεύς· Εἰπὲ τίς εἶ καὶ ποίᾳ δυνάμει ταῦτα διαπράττῃ. Ὁ δὲ ἀπόστολος ἡσύχαζεν. ἐκέλευσεν δὲ ὁ βασιλεὺς τοῖς ὑπηκόοις αὐτοῦ μαστιχθέντα αὐτὸν ἑκατὸν κη' δέσμιον βληθῆναι εἰς

---

[1] ἡ om P ‖ [4] συν.] καὶ P ‖ [5] εἶπεν] ἀράμενος λέγει P ‖ εἰσφέρω P recte? cf 211, 12? ‖ [7] ἀρχιστρατηλάτου U: cf 214, 19 ‖ ἐντ.] μετὰ πολλῆς τῆς ταραχῆς P: cf 160, 8 ‖ [8] μυγδονία U ‖ κατ. (ʃ)] παρῆν U ‖ ἀ. γ. ἦν] ἀνακεχωρήκει γ. U: cf 123, 2 ‖ [9] ἑαυτῆς οἶκ. U: cf 204, 6 ‖ [9–10] ἐγν. - ἦν om P ‖ [11] ἀν.] περιπάτη add U ‖ [11–12] π. κ. ἀφ. (ʃ)] μάγε καὶ φαρμακὲ P malefice m ‖ [12–14] ἐμὲ - θήσ.] καὶ ἄγομε (scr ἄγωμεν?) εἰς τὸν βασιλέα μισδαία (et ueni in praesentiam regis m) ἵνα περὶ τῶν σῶν μαγιῶν κακεῖ τὰς δίκας ἀποτιννύεις P ‖ [15–16] σαὶ ἀπ. π. σὲ ἐπ. P ‖ [17] βασ. σου U ‖ ὁ om U ‖ [18] ἔσχω καὶ (cf 227, 22) τ. ἐ. P ‖ [20] α. κ. ἀπαγ. et add ἕως τοῦ βασιλέως μισδαίου καὶ P ‖ [21] ὁ θ.] Iesus ʃ Christus m: scr ὁ Ἰησοῦς? cf 17 ‖ ῥύσ. om P eruat m ‖ αὐτοῦ P ‖ ἐκ P: cf c 122i ‖ τῶν] (⟨ἐμῶν⟩?) ἀφαρπάσαι add P ‖ μου om P ‖ [22] πρὸς] usque ad ʃ: cf 20 ‖ μισδαία P: cf 12 - 14 ‖ [23] λ. α. ὁ β.] ἠρωτάτω καὶ φησίν U ‖ ὁ βασ. om ʃ: del? ‖ [26] ⟨μάστιξιν⟩ μαστιχθέντα (del αὐτὸν)? cf Am 54, 6 An 58, 13 ‖ ἑκ. κη' (centum quinquaginta ʃ) δ. om P ‖ [26]–219,[1] ἐν τῇ φυλακῇ P: cf 219, 1 (P); 133, 2 (et 219, 6; c 125m; 142i; 151m; 159i P solus)

τὴν φρουράν. οἳ δὲ δεσμεύσαντες αὐτὸν ἀπήγαγον. ὁ δὲ βασιλεὺς καὶ Χαρίσιος ἐσκέπτοντο τὸ πῶς αὐτὸν θανατώσουσιν· τὸ δὲ πλῆθος ὥσπερ θεὸν προσεκύνουν αὐτόν· τοῦτο δὲ εἶχον κατὰ νοῦν εἰπεῖν ὅτι Τὸν βασιλέα ὕβρισεν καὶ πλάνος ἐστὶν ὁ ξένος.

107 Ὁ δὲ ἀπόστολος ἀπιὼν ἐπὶ τὸ δεσμωτήριον χαίρων καὶ ἀγαλλιῶν ἔλεγεν· Ἐξομολογοῦμαί σοι Ἰησοῦ ὅτι οὐ μόνον τῆς πίστεώς σου ἄξιόν με ἐποίησας, ἀλλὰ καὶ τοῦ ὑπομεῖναι πολλὰ διὰ σέ. εὐχαριστῶ οὖν σοι κύριε ὅτι ἐφρόντισάς μου καὶ δέδωκάς μοι τὴν ὑπομονήν· εὐχαριστῶ σοι κύριε ὅτι διὰ 238 W
σὲ φαρμακὸς ἤκουσα καὶ μάγος. πρόσδεξαί με τοίνυν ἐκ τοῦ μακαρισμοῦ τῶν μετρίων καὶ τῆς ἀναπαύσεως τῶν κεκμηκότων καὶ τῶν μακαρισμῶν ἐκείνων οὓς μισοῦσιν οἱ ἄνθρωποι καὶ διώκουσιν καὶ ὀνειδίζουσιν, φαύλους περὶ αὐτῶν φθεγγόμενοι λόγους. ἰδοὺ γὰρ διὰ σὲ μισοῦμαι· ἰδοὺ διὰ σὲ τῶν πολλῶν κεχώρισμαι, καὶ διὰ σὲ τοιοῦτον οἷος οὐκ εἰμὶ λέγουσίν με.

108 Προσευχόμενον δὲ πάντες ἔβλεπον αὐτὸν οἱ δέσμιοι καὶ ἐδέοντο αὐτοῦ ὑπὲρ αὐτῶν εὔξασθαι. προσευξάμενος δὲ καὶ καθεσθεὶς ἤρξατο λέγειν ψαλμὸν τοιοῦτον· Ὅτε ἤμην βρέφος ἄλαλον ἐν τοῖς τοῦ πατρός μου βασιλείοις ἐν πλούτῳ καὶ τρυφῇ τῶν τροφέων ἀναπαυόμενος, ἐξ Ἀνατολῆς τῆς πατρίδος ἡμῶν ἐφοδιάσαντές με οἱ γονεῖς ἀπέστειλάν με· ἀπὸ δὲ πλούτου τῶν θησαυρῶν τούτων φόρτον συνέθηκαν μέγαν τε καὶ ἐλαφρόν, ὅπως αὐτὸν μόνος βαστάσαι δυνηθῶ· χρυσός ἐστιν ὁ φόρτος τῶν ἄνω, καὶ ἄσημος τῶν μεγάλων

[6] cf Matth 5, 12 ‖ [12] cf Matth 5, 3; 11, 28 ‖ [13] cf Matth 5, 11

---

[1] *δὲ prius] καὶ P: cf 227, 22* ‖ *δεσμ.* (ſ)] *μαστίξαντες et add ἐν τῇ φρουρᾷ P* ‖ *τοῦτον P* ‖ *ἀπ.] πρὸς τοὺς συγκεκλεισμένους add U* et cum abisset et introisset in carcerem *add* ſ ‖ [2] *τὸ om U: cf 126, 2; 134, 10* ‖ *ἀνέλωσιν U: cf 134, 10; c 125i; 164i* ‖ [3] *δὲ prius] scr γὰρ?* ‖ [3–5] *τοῦτο - ξένος om P* ‖ [5] *ὁ ξ. om* ſ ‖ [6] *ἀπελθὼν ἐν τῇ φυλακῇ P* ‖ *ἐπὶ] scr εἰς?* ‖ [9–10] *ὅτι - κύριε om P non nulla add* ſ ‖ [10] *scr ἔδωκας??* ‖ [11] *φ. - μάγ.] al* ſ ‖ *κ. μάγ. om U: del? cf 218, 11 - 12* ‖ [11]–224,[20] *πρόσδ. - βασιλεῖ om P: cf praef*

[11] *πρ. με]* accipiam ſ: *scr προσδεξαίμην?* ‖ [13] *scr ⟨ἐκ⟩ τοῦ μακαρισμοῦ? cf 11* ‖ [16] *τοι. - εἰμὶ]* nescio quid ſ ‖ [19] *⟨καὶ⟩ ὑπὲρ??* (ſ) ‖ [20]–224,[20] *de Niceta Thess Noeldeke Macke Beuan cf praef* ‖ [21] *ἄλ.]* paruulus ſ ‖ [24] *δὲ ⟨τοῦ⟩?* ‖ *τούτ.]* nostrorum ſ: *scr αὐτῶν??* ‖ [26] *ὁ φ. τ. ἄνω]* Beth Ellaie ſ (*Wright:* Beth Gelaie *Noeldeke ᾧ πᾶς ἄλλος ὑπείκει καὶ διαπέφευγε σίδηρος add Nicetas Thess dub Beuan*) ‖ *ὁ φ.]* e terra ſ (*Beuan*)

θησαυρῶν, καὶ λίθοι ἐξ Ἰνδῶν οἱ χαλκεδόνιοι, καὶ μαργαρῖται 239 W *ἐκ Κοσάνων· καὶ ὥπλισάν με τῷ ἀδάμαντι· καὶ ἐνέδυσάν με ἐσθῆτα διάλιθον χρυσόπαστον, ἣν ἐποίησαν στέργοντές με, καὶ στολὴν τὸ χρῶμα ξανθὴν πρὸς τὴν ἐμὴν ἡλικίαν. σύμφωνα δὲ πρὸς ἐμὲ πεποιήκασιν, ἐγκαταγράψαντες τῇ διανοίᾳ μου ἐπιλαθέσθαι με, ἔφησάν τε· Ἐὰν κατελθὼν εἰς Αἴγυπτον κομίσῃς ἐκεῖθεν τὸν ἕνα μαργαρίτην τὸν ὄντα ἐκεῖ περὶ τὸν δράκοντα τὸν καταπότην, ὅπως ἐνδύσῃ τὴν διάλιθον ἐσθῆτα καὶ τὴν στολὴν ἐκείνην ἣν ἐπαναπαύεται· τοῦ εὐμνήστου καὶ γένῃ μετὰ τοῦ ἀδελφοῦ σου κῆρυξ τῇ ἡμετέρᾳ βασιλείᾳ.*

109 *Ἠρχόμην δὲ ἐξ Ἀνατολῆς ἐφ' ὁδὸν δυσχερῆ τε καὶ φοβερὰν μεθ' ἡγεμόνων δύο, ἄπειρος δὲ ἤμην τοῦ ταύτην ὁδεῦσαι. παρελθὼν δὲ καὶ τὰ τῶν Μοσάνων μεθόρια, ἔνθα ἐστὶν τὸ καταγώγιον τῶν ἀνατολικῶν ἐμπόρων, ἀφικόμην εἰς τὴν τῶν Βαβυλωνίων χώραν. εἰσελθόντος δέ μου εἰς Αἴγυ-* 240 W *πτον ἀπέστησαν οἱ συνοδεύσαντές μοι ἡγεμόνες, ὥρμων δὲ ἐπὶ τὸν δράκοντα τὴν ταχίστην καὶ περὶ τὸν τούτου φωλεὸν κατέλυον, ἐπιτηρῶν νυστάξαι καὶ κοιμηθῆναι τοῦτον, ὅπως μου τὸν μαργαρίτην ὑφέλωμαι. μόνος δὲ ὢν ἐξενιζόμην τὸ σχῆμα καὶ τοῖς ἐμοῖς ἀλλότριος ἐφαινόμην. ἐκεῖ δὲ εἶδον ἐμὸν συγγενῆ τὸν ἐξ Ἀνατολῆς, τὸν ἐλεύθερον, παῖδα εὐχαρῆ καὶ ὡραῖον, υἱὸν μεγιστάνων. οὗτός μοι προσελθὼν συγγέγονεν,*

---

[1] *θησ.*] Gazzak ſ ‖ *οἱ χ.*] carbunculi (?) ſ ‖ *scr χαλκηδόνιοι?* ‖ *μαργ.*] achates ſ (? *dub Beuan*) ‖ [2] *ἀδ.*] qui potest ferrum conterere *add* ſ *ᾧ πᾶς ἄλλος ὑπείκει καὶ διαπέφευγε σίδηρος add Nicetas Thess* ‖ *ἐνέδ.*] exuerunt ſ: *scr ἐξέδυσαν??? etiam τὴν ἐσθῆτα et τὴν στολὴν* (ſ) *oportuit* ‖ [3] *δ. χ.*] fulgentem ſ: *cf 8* ‖ [4] *τὸ χ. ξ.*] purpuream quae mensa (et) texta erat ſ ‖ [6] *ἐπιλ.*] ne obliuione obrueretur ſ *μὴ ἐκλαθέσθαι τῶν δωρεῶν καὶ τοῦ φύσαντος Nicetas Thess: ⟨τοῦ μὴ⟩ ἐπιλ.?* ‖ [7] *ἐκεῖ*] in medio mari *add* ſ ‖ [7–8] *π. τ. δ.*] circumdatum a serpente ſ (*Macke:* iuxta serpentem *Wright*) ‖ [7] *scr παρὰ?? cf 17* ‖ [8] *κατ.*] clare spirantem ſ: *cf 222, 14* ‖ *ὅπως*] denuo ſ: *scr αὖθις??* ‖ *δ.*] fulgentem ſ: *cf 3* ‖ [9] *ἣν ἐπ.*] qua contentus es ſ (*Wright:* qua gaudes *idem et Macke* quae supra posita est *Beuan*)*: scr ᾗ ἐπαναπαύεσαι???* ‖ *scr ἢ??* ‖ *τ. ε.*] *post σου* (*10*) *ponend?* qui est nobis loco proximus ſ: *cf 221, 20* ‖ [10] *scr γενήσῃ?? cf 114, 3; c 123 e* ‖ *κῆρ.*] heres ſ: *scr κληρονόμος??* ‖ *⟨ἐν⟩ τῇ?* (ſ) ‖ [11] *Ἀν.*] et descendi *add* ſ ‖ [12] *ἄπ.*] paruulus ſ ‖ [13] *Μοσ.*] *scr Μεσηνῶν?? cf 223, 5* ‖ [15] *χ.*] et intraui moenia Sarbug (*dub Beuan*) *add* ſ *καὶ Λαβυρίνθου add Nicetas Thess: cf 222, 7* ‖ *εἰσ.*] *scr κατελθόντος* (ſ)? *cf 6* ‖ [17] *scr παρὰ??* circum ſ (*Wright Macke:* iuxta *Beuan*) *cf 7* ‖ *κατέλ.*] habitaui ſ (*Wright Beuan:* circumiui *Macke*) ‖ [21] *τὸν utrumque om* ſ ‖ [22] *μεγ.*] mercatoris olearii ſ (*Wright:* unctionis *Lipsius dub Beuan*)

καὶ συνόμιλον αὐτὸν ἔσχον, καὶ φίλον καὶ κοινωνὸν τῆς ἐμῆς πορείας ποιησάμενος. παρεκελευσάμην δὲ αὐτῷ τοὺς Αἰγυπτίους φυλάσσεσθαι καὶ τῶν ἀκαθάρτων τούτων τὴν κοινωνίαν. ἐνεδυσάμην δὲ αὐτῶν τὰ φορήματα, ἵνα μὴ ξενίζωμαι ὥσπερ ἔξωθεν ἐπὶ τὴν τοῦ μαργαρίτου ἀνάληψιν, καὶ τὸν δράκοντα διυπνίσωσιν κατ' ἐμοῦ οἱ Αἰγύπτιοι. οὐκ οἶδα δὲ ἐξ οἵας ἔμαθον προφάσεως ὡς οὐκ εἰμὶ τῆς χώρας αὐτῶν, δόλῳ δὲ συνέμειξάν μοι τέχνην, καὶ ἐγευσάμην τῆς αὐτῶν τροφῆς. ἠγνόησα ἐμαυτὸν υἱὸν ὄντα βασιλέως, τῷ δὲ αὐτῶν ἐδούλευσα βασιλεῖ. ἦλθον δὲ καὶ ἐπὶ τὸν μαργαρίτην, ἐφ' ὃν οἱ πατέρες μου ἀπεστάλκασίν με, τῷ δὲ τῆς τροφῆς αὐτῶν βάρει εἰς ὕπνον κατηνέχθην βαθύν.

110 ταῦτα δέ μου παθόντος καὶ οἱ πατέρες μου ᾔσθοντο καὶ ἔπαθον ὑπὲρ ἐμοῦ. ἐκηρύχθη δὲ κήρυγμα ἐν τῇ βασιλείᾳ ἡμῶν ἵνα πάντες ἐπὶ τὰς ἡμετέρας ἀπαντῶσιν θύρας. καὶ τότε οἱ βασιλεῖς τῆς Παρθενίας καὶ οἱ ἐν τέλει καὶ οἱ Ἀνα- 241 W τολῆς πρωτεύοντες γνώμης ἐκράτησαν περὶ ἐμοῦ ἵνα μὴ ἔλθω ἐν Αἰγύπτῳ. ἔγραψαν δέ με καὶ οἱ δυνάσται σημαίνοντες οὕτως· Παρὰ τοῦ πατρὸς βασιλέων βασιλεὺς καὶ μητρὸς τὴν Ἀνατολὴν κατεχούσης καὶ ἀδελφοὺς αὐτῶν δευτέρους ἀφ' ἡμῶν τῷ ἐν Αἰγύπτῳ υἱῷ ἡμῶν εἰρήνη. ἀνάστηθι καὶ ἀνάνηψον ἐξ ὕπνου, καὶ τῶν ἐπιστολιμαίων ῥημάτων ἄκουσον, καὶ ὑπομνήσθητι υἱὸς βασιλέων ὑπάρχων. δουλικὸν ὑπεισῆλθες ζυγόν·

1–2 *ἐ. π.*] *scr ἐμπορείας? ἐμῆς ἐμπορείας?* mercaturae meae ſ ‖ 2 *παρεκ. δὲ α.*] *ὅς μοι ἀεὶ συμπαρῆν καὶ συνεβούλευεν Nicetas Thess certe aptius* ‖ 3 *τούτ. om* ſ ‖ 4 *ξεν.*] me auersarentur ſ (*Wright sed dub:* me suspectum haberent *Macke* me cognoscerent *Noeldeke* mihi male dicerent *Beuan*) ‖ 5 *⟨ἐλθὼν⟩ ἐπὶ?* (ſ) ‖ 6 *οἱ Α. om* ſ ‖ 8 *μ. τέχ.*] *καὶ τέχνῃ παρέκλιναν Nicetas Thess: scr ⟨καὶ⟩ τέχνῃ?? cf 149, 18* ‖ *ἐγ.*] dederunt mihi ſ *ἀπογεύσασθαι ὑπηγάγοντο Nicetas Thess* ‖ 9 *⟨καὶ⟩ ἠγνόησα?* ‖ *scr βασιλέων?* (ſ) ‖ 10 *ἦλθον*] oblitus sum ſ *μακρὰ χαίρειν εἰπὼν τῇ φροντίδι τοῦ μαργαρίτου Nicetas Thess: scr ἐπελαθόμην δὲ καὶ τοῦ μαργαρίτου??* ‖ 11 *τρ.*] oppressionis ſ (*Wright:* cibi *coni Noeldeke dub Beuan*)*: cf 9* ‖ 12 *κατ.*] iacebam ſ ‖ 13 *τ.*] omnia *add* ſ ‖ *scr δ' ἐμοῦ?* ‖ 15–16 *κ. τ. om et interpungit ante γνώμης (17)* ſ ‖ 16 *Παρθίας* (ſ) *Nicetas Thess recte: cf Ph 92, 13* ‖ 17 *πρωτ.*] omnes *add* ſ ‖ *ἔλθω*] relinquerer ſ: *scr λειφθῶ??* ‖ 18 *με*] *scr μοι* (ſ): epistulam *add* ſ ‖ 18–19 *σ. οὕτ.*] et signauerunt eam ſ ‖ 19 *βασιλεὺς*] *scr βασιλέως* (ſ)*: cf 223, 20* ‖ 20 *ἀδ.-ἡμ.*] *ἀδελφοὶ ἐξ αὐτῶν τὴν γένεσιν ἔχοντες Nicetas Thess* ‖ *scr ἀδελφοῦ σου τοῦ δευτέρου??* (ſ) ‖ 21 *ἡμ.*] *καὶ ἀδελφῷ add Nicetas Thess* ‖ 22 *ὕπνου*] tuo *add* ſ ‖ 23 *δ. ὑ. ζ.*] uide seruitutem: cui seruis! ſ (*Wright Beuan:* quam seruis *Macke*)

μνημόνευσον τῆς ἐσθῆτός σου τῆς χρυσοπάστου· μνημόνευσον τοῦ μαργαρίτου δι' ὃν εἰς Αἴγυπτον ἀπεστάλης. ἐκλήθη δὲ τὸ ὄνομά σου βιβλίον ζωῆς καὶ τοῦ ἀδελφοῦ σου οὗ παρείληφας ἐν τῇ βασιλείᾳ ἡμῶν.

111 *Ὁ δὲ βασιλεὺς ὡς πρεσβευτὴς κατεσφραγίσατο διὰ τοὺς πονηροὺς τοὺς Βαβυλωνίους παῖδας καὶ δαίμονας τυραννικοὺς Λαβυρίνθους. ἐγὼ δὲ πρὸς τὴν ταύτης φωνήν τε καὶ αἴσθησιν ἐξ ὕπνου ἀνερμησάμην, ἀναλαβὼν δὲ καὶ καταφιλήσας* 242 W *ἀνεγίνωσκον. ἐγέγραπτο δὲ περὶ ἐκείνου τοῦ ἐν τῇ καρδίᾳ μου ἀναγεγραμμένου· καὶ ὑπεμνήσθην παραχρῆμα ὅτι βασιλέων εἰμὶ υἱὸς καὶ ἡ ἐλευθερία μου τὸ γένος μου ἐπιζητεῖ. ὑπεμνήσθην δὲ καὶ τοῦ μαργαρίτου ἐφ' ὃν κατεπέμφθην εἰς Αἴγυπτον· ἠρχόμην δὲ ἐφ' ἅρμασιν ἐπὶ τὸν δράκοντα τὸν φοβερόν, καὶ κατεπόνεσα τοῦτον ἐπονομάσας τὸ τοῦ πατρός μου ὄνομα. ἁρπάσας δὲ τὸν μαργαρίτην ἀπέστρεφον πρὸς τοὺς ἐμοὺς ἀποκομίσας πατέρας. καὶ ἀποδυσάμενος τὸ ῥυπαρὸν ἔνδυμα ἐν τῇ αὐτῶν κατέλειψα χώρᾳ, ηὔθυνον δὲ αὐτὸ καὶ τὴν ὁδὸν πρὸς τὸ φῶς τῆς κατὰ ἀνατολὴν πατρίδος. καὶ εὗρον καθ' ὁδὸν διαιροῦσάν με· αὐτὴ δέ, ὥσπερ φωνῇ*

---

[1] *χρ.* (*Nicetas Thess*)] fulgentem ſ (*Beuan*) et recordare togam gloriosam qua indueris et adornaberis *add* ſ *καὶ τὴν εἰδεχθῆ ταύτην καὶ ἄμορφον τῶν Αἰγυπτίων ἀπόρριψον add Nicetas Thess* ‖ [1–2] *μν. - ἀπεστ. ante μν. - χρυσ.* (*1*) ſ ‖ [2] *ἐκλ. δὲ*] cum uocatum erit ſ (*Wright Beuan:* uocabitur *Macke*) ‖ [3] *βιβ.*] *scr ἐν βιβλίῳ?* (ſ) ‖ *ζ.*] uirorum fortium ſ ‖ *⟨μετὰ⟩ τοῦ?* (ſ) ‖ *οὗ π.*] eris ſ (*? Macke: dub Wright et Beuan*) ‖ [5] *ὁ δὲ β.*] epistula mea est epistula quam rex ſ ‖ *ὡς πρ.*] dextra sua ſ ‖ [6] *B. π.*] filios Babylonis ſ: *scr Βαβυλωνίων π.?* ‖ [7] *scr Λαβυρίνθου?* (*cf 220, 15*) uolauit (epistula) instar aquilae reginae auium omnium, uolauit et consedit prope me et tota facta est sermo *add* ſ *αὕτη ἡ ἐπιστολὴ φῶς γέγονεν ἐμοὶ καὶ πῦρ καὶ τὸ ἐνόν μοι ζώπυρον ἀνάψασα εἰς ὕψος ἦρεν καὶ ἀετοῦ δίκην ἀνῇξεν ὥσπερ ὑπόπτερον add Nicetas Thess* ‖ [8] *αἴσθ.*] strepitum ſ ‖ *scr ἀνωρμησάμην??* surrexi ſ ‖ *καταφ.*] solui et *add* ſ(?) ‖ [9] *περὶ ἐκ.*] secundum illud ſ ‖ [11] *τὸ γ. μ.*] naturam suam ſ ‖ *scr ἐπεζήτει?* requirebat ſ (*Beuan:* confirmabat *Wright Macke*) ‖ [12] *δὲ καὶ om* ſ ‖ [13] *ἠ. δὲ ἐφ' ἅ. ἐπὶ*] *scr ἠ. δὲ ἐπᾴσμασι κηλεῖν?* coepi incantare ſ *ἐπῳδαῖς τε καὶ θείοις κατακηλήσας ἐπᾴσμασι Nicetas Thess: nunc ἠρχ. ab ἔρχομαι deriuatum uid* ‖ [14] *φοβ.*] clare spirantem *add* ſ: *cf 220, 8* ‖ *scr κατεπόνησα?* (*cf 162, 24*) *κατεκοίμισα?* (ſ) ‖ [15] *ὄν.*] et nomen eius qui est loco proximus et matris meae reginae orientis *add* ſ ‖ [16] *τ. ἐ. ἀ. π.*] domum patris mei ſ ‖ *scr ⟨αὐτὸν⟩ ἀποκομίσαι?? ⟨καὶ⟩ ἀποκομίσας post μαργ.* (*15*) *ponend??* ‖ [17] *ἐνδ.*] eorum *add* ſ ‖ [17–18] *α. καὶ*] *scr αὐτίκα?* (ſ) ‖ [18] *ὁδ.*] ut uenirem *add* ſ (*Wright Beuan:* qua ueneram *Macke*) ‖ [19] *scr ⟨τὴν ἐπιστολὴν τὴν⟩ διεγείρουσάν* (*uel διεγείρασάν*)*??* (ſ)

χρησαμένη ἀνέστησεν ὑπνωθέντα με, καὶ ὡδήγησέν με τῷ παρ' αὐτῆς φωτί. ἔστιν γὰρ ὅτε ἡ ἀπὸ σηρικῶν ἐσθὴς βασιλικὴ πρὸ τῶν ἐμῶν ὀφθαλμῶν. ἀγούσης δέ με καὶ ἑλκούσης τῆς στοργῆς τὴν Βαβύρινθον παρῆλθον· καὶ καταλείψας ἐπ' ἀριστερὰ τὴν Βαβυλῶνα εἰς τὴν Μέσον ἀφικόμην τὴν μεγάλην οὖσαν παραλίαν. 243 W

112 οὐκ ἐμνημόνευον δὲ τῆς λαμπρότητός μου· παῖς γὰρ ὢν ἔτι καὶ κομιδῇ νέος κατελελοίπειν αὐτὴν ἐν τοῖς τοῦ πατρὸς βασιλείοις· ἐξαίφνης δὲ ἰδόντος μου τὴν ἐσθῆτα ὡς ἐν ἐσόπτρῳ ὁμοιωθεῖσαν, καὶ ὅλον ἐμαυτὸν ἐπ' αὐτὴν ἐθεασάμην, καὶ ἔγνων καὶ εἶδον δι' αὐτῆς ἐμαυτόν, ὅτι κατὰ μέρος διῃρήμεθα ἐκ τοῦ αὐτοῦ ὄντες, καὶ πάλιν ἓν ἐσμεν διὰ μορφῆς μιᾶς. οὐ μὴν ἀλλὰ καὶ αὐτοὺς τοὺς ταμειούχους τοὺς τὴν ἐσθῆτα κομίσαντας ἑώρων δύο, μορφὴ δὲ μία ἐπ' ἀμφοτέρων, ἓν σύμβολον βασιλικὸν ἐν ἀμφοτέροις ἔκειτο· τὸ δὲ χρῆμα καὶ τὸν πλοῦτον ἐν χερσὶν εἶχον, καὶ ἀπεδίδουν μοι τιμήν· καὶ τὴν ἐσθῆτα τὴν εὐπρεπεστάτην, ἥτις ἐν φαιδροῖς χρώμασιν χρυσῷ πεποίκιλτο καὶ λίθοις τιμίοις καὶ μαργαρίταις χροιᾷ πρεπούσῃ· ἵδρυντο ἐν ὕψει· καὶ ἡ εἰκὼν τοῦ τῶν βασιλέων (244 W) βασιλεὺς ὅλη δι' ὅλης· λίθοις σαμπφειρίνοις ἐν ὕψει ἐπεπήγεισαν ἁρμοδίως.

---

[2] *ἔστιν - βασ.*] *de* ſ *dub Wright Macke Beuan* ‖ [3] *τ. ἐ. ὀ.*] me *et add* forma sua (*? Wright Beuan:* in itinere meo *Macke*) et uoce sua et ductu me hortata est ut properarem ſ *unde explenda uid* ‖ [4] *scr τῇ στοργῇ?* (ſ) ‖ *B.*] *scr Λαβύρινθον?* (*cf 222, 7*) Sarbug ſ (*Wright Macke: dub Beuan*) ‖ [5] *scr Μεσήνην??* (*cf 220, 13*) Maishan ſ ‖ *μεγ.*] portum mercatorum *add* ſ ‖ [6] *παραλ.*] et uestem meam fulgentem (ornatum meum *Macke: item 222, 1*) quam exueram et togam qua amictus eram ex Ramtha et Reken (*Wright:* Ramka et Reken *Macke* summa Hyrcania *coni Beuan*) parentes mei eo miserant per dispensatores (*ταμειούχους: cf 13*) suos quibus propter fidem eorum illa credi poterant *add* ſ ‖ [7] *τ. λ. μου*] formam eius ſ ‖ [9] *ὡς ἐν*] *scr ὡσεὶ?* (ſ) ‖ [10] *καὶ del?* (ſ) ‖ totam uidi in toto (*Wright Macke:* in me toto *Beuan*) *add* ſ ‖ *ἐμ. om* ſ? (*Wright Macke; non Beuan*) ‖ *scr αὐτῇ?* ‖ [11] *κ. ἔγν. - ἐμ. om* ſ ‖ [13] *οὐ μ. ἀ. κ.*] *cf c 127 e* ‖ [15–16] *τὸ δὲ - τιμ.*] manibus eius qui mihi reddebat depositum (*? Wright:* ornatum *Macke* thesaurum *Beuan*) meum et diuitias meas per eos ſ ‖ [18] *scr πεποίκιλτο, χρυσῷ?* (ſ) ‖ *λ. τιμ.*] beryllis ſ ‖ *μαργ.*] *lapidum nomina habet* ſ ‖ [19] *scr ἵδρυτο?* paratum erat ſ ‖ *ἐν ὕ.*] domi suae in alto ſ? (*Wright Beuan:* in perfectione sua *Macke*) et adamantinis lapidibus omnes orae eius firmatae erant (omnes partes eius coniunctae erant *Macke*) *add* ſ ‖ *τῶν del?* ‖ [20] *scr βασιλέως* (ſ): *cf 221, 19* ‖ [20–21] quasi lapides sapphirini erant uarii eius colores ſ ‖ [20] *ὅλης <ἐπεποίκιλτο>?* (ſ) ‖ *scr λίθοι σαπφείρινοι??*

113 *ἑώρων δὲ αὖθις ὅτι δι' ὅλων κινήσεις ἐξεπέμποντο γνώσεως, καὶ ἦν ἑτοίμη ἀφεῖναι λόγον· ἤκουον δὲ αὐτῆς ὁμιλούσης· Ἐγώ εἰμι ἐκείνου τῶν πάντων ἀνθρώπων ἀνδρειοτάτου οὗ ἕνεκεν παρ' αὐτῷ τῷ πατρὶ ἐνεγράφην· καὶ αὐτὸς δὲ ᾐσθόμην αὐτοῦ τῆς ἡλικίας.' Αἱ δὲ κινήσεις αἱ βασιλικαὶ πᾶσαι ἐπανεπαύοντό μοι αὐξανούσης πρὸς ταύτης ὁρμάς· ἔσπευδεν ἐκ χειρὸς αὐτοῦ ὀρεγομένη ἐπὶ τὸν δεχόμενον αὐτήν. κἀμὲ ὁ πόθος διήγειρεν ὁρμῆσαι εἰς ὑπάντησιν αὐτοῦ καὶ δέξασθαι αὐτήν. ἐκταθεῖσαν δὲ χρωμάτων ἐκομίσθην, καὶ τὴν στολήν μου τὴν βασιλικὴν ὑπερέχουσαν ἐστολισάμην δι' ὅλου· ἐνδυσάμενος δὲ ἤρθην εἰς χώραν εἰρήνης σεβάσματος· καὶ τὴν κεφαλὴν κλίνας προσεκύνησα τοῦ πατρὸς τὸ φέγγος τοῦ ἀποστείλαντός μοι ταύτην, ὅτι ἐγὼ μὲν ἐποίησα τὰ προσταχθέντα, καὶ αὐτὸς ὁμοίως ὅπερ κατεπηγγείλατο· καὶ ἐν ταῖς θύραις τοῦ βασιλικοῦ τοῦ ἐξ ἀρχῆς αὐτοῦ κατεμειγνύμην.*
245 W *ἤσθη δὲ ἐπ' ἐμοὶ καὶ εἰσεδέξατό με μετ' αὐτοῦ ἐν τοῖς βασιλείοις· πάντες δὲ οἱ ὑπήκοοι αὐτοῦ εὐφήμοις φωναῖς ὑμνοῦσιν· ὑπέσχετο δέ μοι καὶ εἰς τὰς τοῦ βασιλέως θύρας σὺν αὐτῷ ἀποσταλεῖσθαι, ἵνα μετὰ τῶν ἐμῶν δώρων καὶ τοῦ μαργαρίτου ἅμα αὐτῷ φαινώμεθα τῷ βασιλεῖ.*

251 W 114 *Καὶ ὁ Χαρίσιος γεγηθὼς ἀπῄει οἴκαδε, νομίζων συνεῖναι τὴν αὐτοῦ γυναῖκα καὶ τοιαύτην γεγενῆσθαι οἵαν πρὸ*

---

1 *ἐξεπ.*] operabantur ſ: *scr ἐξεπονοῦντο??* ‖ *ὁμ.*] strepitum sonorum eius ſ quos edebat in eos qui eam detulerant *add* ſ (*? dub Wright Macke Beuan*) ‖ 3–5 *ἐγώ - ἡλικ. et* 6 *αὐξ. - ὁρμ.*] *obscura et incerta:* ego sum operans in actibus quem eduxerunt (ei *add Wright Beuan*) coram patre meo, et ego quoque animum aduerti (in me *add Macke Beuan*) staturam meam crescere secundum laborem suum (? eius *Wright Beuan*) ſ *non minus obscura* ‖ 3 *τῶν*] *scr τοῦ?* ‖ 4 *scr αὐτὴ??* ‖ 5 *scr ἐμαυτοῦ??* ‖ 6 *αὐξ. π. ταύτης ⟨τὰς⟩ ὁρμάς ante αἱ δὲ* (5) *ponenda et cum ἡλικ. coniungenda* (ſ) ‖ 7 *ἔσπ. - αὐτήν*] et in manu eorum qui dabant eam properabat ut eam acciperem ſ ‖ *αὐτοῦ*] *scr αὐτῶν?* (ſ) ‖ 8 *αὐτοῦ*] *scr αὐτῆς??* ‖ 9 *ἐκτ.*] manum porrexi et cepi eam ſ ‖ *χρ.*] eius pulchritudine *add* ſ ‖ *scr ἐκοσμήθην uel ἐκοσμίσθην* (ſ) ‖ 10 *β. ὑπ.*] fulgentibus coloribus ſ ‖ *scr βασιλικῆς??* ‖ 11 *εἰρήνης ⟨καὶ⟩?* (ſ) ‖ 15 *τοῦ ἐξ*] *scr τοῖς ἐξ?* (ſ) ‖ 17 *εὐφ.*] *incertum* ſ (luminum *coni Macke* laudis *coni Beuan*) ‖ 18 *⟨αὐτὸν⟩ ὑμνοῦσιν?* (ſ) ‖ *⟨βασιλέων⟩ βασιλέως?* (ſ) ‖ 19 *scr ἀποσταλήσεσθαι?* ‖ 21 *καὶ*] *τοῦ ἀποστόλου δὲ ἐν τῇ εἱρκτῇ (cf c 159 i) βληθέντος P: cf 218, 26* ‖ *οἴκ. γεγ. ἀπ. et add προσδοκῶν (partim in ras) καὶ P* ‖ 21–22 *τ. α. συγκαθευδῆσαι P: cf c 125 m; 127 i* ‖ 21 secum futuram ſ copulabitur mihi m ‖ 22 *γενήσεσθαι Vsener* ‖ 22–225,1 *scr οἵα ἦν πρὸ τοῦ uel καὶ τὸ πρότερον? cf 228, 5; c 123 e; 125 m; 128 e* ‖ 22 *οἵαν* (ſ) *om P: cf 228, 5; c 128 e* ‖ 22–225,1 *πρὸ τοῦ* (ſ) *om U*

τοῦ, πρὶν ἀκοῦσαι τοῦ θείου λόγου καὶ πιστεῦσαι τῷ Ἰησοῦ. ἀπελθὼν δὲ εὗρεν αὐτὴν τὰς τρίχας κεκομμένας ἔχουσαν καὶ τὴν ἐσθῆτα διαρερηγμένην· ἰδὼν δὲ εἶπεν αὐτῇ· Κυρία μου Μυγδονία, τί σε ἡ χαλεπὴ αὕτη κατέχει νόσος; καὶ τίνος ἕνεκα διεπράξω ταῦτα; ἐγώ εἰμι ὁ ἐκ παρθενίας σου γαμέτης, τῶν τε θεῶν καὶ τῶν νόμων ἄρχειν σού μοι διδόντων· τίς ἡ τοσαύτη σου μανία; ὅτι κατάγελως ἐν παντὶ τῷ ἔθνει γεγένησαι. ἀλλὰ ἀπόθου τὴν παρ' ἐκείνου τοῦ φαρμακοῦ μέριμναν· περιελῶ δὲ ἐκ μέσου τὴν ὄψιν ἐκείνου, ἵνα μηκέτι αὐτὸν ἴδῃς.

115 Ἡ δὲ Μυγδονία τούτων ἀκούσασα ἀνεδίδου τῇ λύπῃ, στενάζουσα καὶ ὀδυρομένη. καὶ αὖθις ὁ Χαρίσιος· Τοσοῦτον ἄρα τοὺς θεοὺς ἠδίκησα, ὅτι τηλικαύτῃ με νόσῳ περιβεβλή- 252 W κασιν; τί τοσοῦτον πεπλημμέληκα, ὅτι εἰς τοσαύτην με κατέβαλον ταπεινότητα; δέομαί σου Μυγδονία, μή μου τὴν ψυχὴν ἄγχε ἐπὶ τῇ θέᾳ σου ταύτῃ τῇ οἰκτρᾷ καὶ τῷ ταπεινῷ σχήματι, καὶ μή μου τὴν καρδίαν καταπόνει ταῖς ἐπὶ σοὶ φροντίσιν. ἐγώ εἰμι Χαρίσιος ὁ σὸς γαμετός, | ὃν ὅλον τὸ ἔθνος 66 B τιμᾷ καὶ δέδιεν· τί με δεῖ πρᾶξαι; καὶ οὐκ οἶδα πῶς ἀναστρέψω· τί δὲ καὶ λογίσωμαι; σιγήσω καὶ καρτερήσω; καὶ τίς ἀνέξεται ὅταν τινὲς τὸν θησαυρὸν αὐτοῦ λαμβάνωσιν; τίς δὲ τὸν σὸν καρτερήσειεν ἀγαθὸν τρόπον; τί γάρ ἐμοί; ἡ εὐωδία σου ἐν ταῖς ῥισίν μού ἐστιν, καὶ τὸ φαιδρόν σου πρόσωπον ἐν τοῖς ὀφθαλμοῖς μου ἐγκάθηται· ἀφαιροῦντά

[2] *αὐτ.*] sedentem *add* ſ decumbere solo *add* m ‖ *τὰς - ἔχ.*] et uultus eius erat demissus ſ ‖ *scr κεκαρμένας?* detonso capite m ‖ *ἔχουσα P* ‖ [3] *ἰδ. δὲ*] et erat tamquam insana propter Iudam ſ ‖ [4] *ἕνεκεν P: recte? cf 162, 11 et index* ‖ [5] *τ. δ. P* ‖ *σου γ.*] *νυμφίος* (*recte? cf 18; 110, 8; 233, 25; al*) *σου διαπρέψας P* ‖ [6] *μοι om P* ‖ *δεδωκότων P* ‖ [7] *σου om P* ‖ *τῷ*] *ἡμῶν add P* hoc ſ: *cf 230, 11* ‖ [8] *ἀλλὰ om P* ‖ *φαρμ.*] *δοθεῖσαν σοι add P* ‖ [9] *ἐκεῖν*|||| (*ου in ras*) *P* ‖ [10] *αὐτ.* (ſ)] *αὐτοῦ τὴν ὄψιν U* ‖ [11] *τούτ.*] *τῶν λόγων add P* haec a Charisio uiro suo ſ ‖ *ἀνεδίδου <ἑαυτὴν>?* ‖ [13] *scr ἠδίκησας?* (ſ) ‖ *scr σε?* (ſ): *cf 14; 241, 15* ‖ [14] *scr πεπλημμέληκας?* (ſ) ‖ *scr σε?* (ſ) ‖ [16] *ταύτῃ - σχ. om* ſ ‖ *τῷ om P* ‖ [18] *γ.*] *ποθητός P: scr γαμέτης??* (ſ) *cf 5* ‖ [19] *δεδίει U* ‖ *scr πρᾶξαι οὐκ ο. καί?* (ſ) ‖ *καὶ - ἀν. om P* ‖ *scr ἀναστρέψομαι? ἀναστραφῶ??cf 259, 8* ‖ [20] *δὲ*] *δεῖ U πάλιν add P: cf 211, 10* ‖ *σ. κ. κ.*] *σ. δὲ μᾶλλον καρτερήσας U:* recorderne pulchritudinem tuam et sileam? an meminerim castitatis tuae et taceam? ſ ‖ [21] *λαμβάνουσιν P* ‖ [22] *τίς - τρ.*] possumne sustinere laetas tuas pulchritudines quae sunt coram me omni tempore? ſ ‖ *τρ. ἀγ. U* ‖ *τρόπον <ἀφαιρεθῆναι>??* ‖ *τί γ. ἐ. om P: scr τὸν ἀεὶ ὄντα παρ' ἐ.??* ‖ [22-23] *ἐν τ. ῥισὶ γὰρ τοῖς ἐμοῖς ἡ εὐ. σου P* ‖ [24] *scr ἀφαιροῦνταί*

μου τὴν ψυχήν, καὶ τὸ περικαλλὲς σῶμα ᾧ ἠγαλλόμην ὁρῶν
διαφθείρουσιν· καὶ τὸν ὀφθαλμὸν τὸν ὀξυδερκέστατον πη-
ροῦσιν· ἐκκόπτουσιν δὲ τὴν δεξιάν μου χεῖρα. ἡ χαρὰ ἡ ἐμὴ
εἰς λύπην μετατρέπεται καὶ ἡ ζωή μου εἰς θάνατον· καὶ τὸ
φῶς σκότῳ βαδίζεται. μηδεὶς λοιπὸν τῶν συγγενῶν βλέπετέ
253 W με, παρ' ὧν οὐδεμία μοι βοήθεια γέγονεν· οὐδὲ τοὺς θεοὺς
τῆς ἀνατολῆς προσκυνήσω λοιπὸν τηλικούτοις με περιβαλόν-
τας κακοῖς· οὐδὲ μὴν προσευξαίμην αὐτοῖς ἔτι, οὐδὲ μὴν
θυσιάσαιμι αὐτοῖς ἀποστερηθεὶς τῆς συμβίου μου. τί δὲ
αἰτήσαιμι ἕτερον παρ' αὐτῶν; ἡ γὰρ δόξα μου πᾶσα ἀφῄρη-
ται. εἰμὶ δὲ ἄρχων, δεύτερος τῆς τοῦ βασιλέως ἀρχῆς· ἠθέ-
τησεν δέ με Μυγδονία ταῦτα πάντα ἀφείλατο· εἴθε δὲ τὸν
ὀφθαλμόν μου σκόπτε σέ μοι προσεχούσης συνήθως.

116 *Λέγοντος δὲ τοῦ Χαρισίου ταῦτα μετὰ δακρύων
ἐκαθέζετο ἡ Μυγδονία σιωπῶσα καὶ εἰς τὸ ἔδαφος ἀφορῶσα·
ὁ δὲ αὖθις προσελθὼν εἶπεν· Κυρία μου ποθεινοτάτη Μυγ-
254 W δονία, ὑπομνήσθητι ὅτι σὲ ἐκ πάντων τῶν ἐν τῇ Ἰνδίᾳ γυ-
ναικῶν ὡς καλλίστην ἐπελεξάμην καὶ ἔλαβον, δυνηθεὶς ἑτέρας
πολλῷ σου καλλίω εἰς γάμον συνάψαι ἐμαυτῷ. μᾶλλον δὲ
ψεύδομαι Μυγδονία· μὰ τοὺς γὰρ θεοὺς οὐκ ἂν ἔσται ἑτέραν
κατὰ σὲ ἐν τῇ τῶν Ἰνδῶν εὑρεθῆναι χώρᾳ· οὐαὶ δέ μοι διὰ
παντός, ὅτι οὐδὲ*

---

169 *Σιφὼρ δὲ καὶ Ἰουζάνης οὐκ ἐβούλοντο κατιέναι εἰς τὴν πόλιν, ἀλλ' ἐπαρεκαθέζοντο ὅλην τὴν ἡμέραν. ἐφάνη δὲ αὐτοῖς ὁ ἀπόστολος Θωμᾶς καὶ εἶπεν· Τί καθέζεσθε τηροῦντές με; | οὐκ εἰμὶ ἐνθάδε, ἀλλ' ἀνῆλθον καὶ ἀπέλαβον πάντα* 93 B *ἃ εὐηγγελίσθην. ἀλλ' ἀναστάντες κατέλθετε ἐντεῦθεν· μετ' ὀλίγον γὰρ χρόνον καὶ ὑμεῖς παρ' ἐμοὶ συνάγεσθε. Μισδαῖος δὲ καὶ Χαρίσιος ἀπήνεγκαν Μυγδονίαν καὶ Τερτίαν,*

[15] cf Luc 24, 5; 6 ‖ [17] cf Matth 28, 7

---

[1] *ὀθονίοις πολλοῖς KU(V) om R* ‖ *κατέθηκαν Ω* ‖ *τὸ om Ω* ‖ *μνημεῖον Ω: cf 268, 14* ‖ *πάλαι* (ſm) *om Ω* ‖ [3] *σοιφὼρ A τερτία Ω* ‖ *εἰουζάνης A ἰουζάνης V: cf 259, 3* ‖ *οὐ κατῆλθον (om ἤθ.) A* noluerunt descendere ſ recusantibus redire m: *cf 13* ‖ [4] *ἐπὶ A* ‖ *ἀλλὰ KRU* ‖ *τὴν om A* ‖ *ἐκ.] καὶ add A* ‖ *δι.] διανυκτερεύσαντες προσεκαρτέρουν A* ‖ [5] *Ἰ.] θωμᾶς A. R ἀπόστολος KV* ‖ [6] *με om A* ‖ *ἀναβὰς Ω* ‖ *καὶ om Ω* ‖ [6–7] *τῶν ἐλπιζομένων A* ‖ [7] *ἀλλὰ KRU* ‖ *ἄπιτε Ω* descendite hinc mſ: *cf 17* ‖ *μ. ο. π.]* breui tempore mſ ‖ *μετ' οὐ] μετὰ KUV* ‖ *πολὺν Ω* ‖ [8] *ἀναχθήσεσθε (KR)U(V)* ‖ [9] *μαγδονίαν R: cf 260, 9; 291, 2* ‖ [9–10] *ἐξιστάναι τὴν γνώμην A* ‖ [10] *Ἰ.] θωμᾶς A. R ἀπόστολος (K)V* ‖ *αὐτὰς A. (K) τεκνία ἀγαπητὰ add V*

[11] *πάνυ - καλήν om Σ* ‖ *ἔθ. α.] ἐνταφιάσαντες α. ἔθηκαν Σ* ‖ [13] *σιφόρα Z σιφώρας S* ‖ *ἠβούλοντο FL* ‖ [13–14] *κατελθεῖν ἐν τῇ πόλει Σ* ‖ [14] *ἐπαρ.] ἐκεῖ ἐκαθέζοντο Σ* ‖ *ὅλ. τ. ἡμ.* (ſm) *om Σ πενθοῦντες (θρηνοῦντες Z) τὸν θωμᾶν add FLZ* ‖ [15] *πενθοῦντες Σ* ‖ [16] *οὐκ - ἀλλ' om Σ* ‖ [16–17] *π. ἃ ε.] τὰς ἐπαγγελίας Σ μου add LZ συγχάρητε οὖν μοι (μοι οὖν LZ) μᾶλλον (om Z) καὶ μὴ πενθῆτε add Σ* ‖ [17] *ἀλλ'] καὶ Σ* ‖ *κατέλθατε FL(S)Z* ‖ *ἐντ.* (ſ)] *ἐν τῇ πόλει Σ* ‖ [18] *μ. ὀ. γ.] ὅτι μ. ὀ. Σ* ‖ *παρ'] σὺν Σ* ‖ *ἀγάλλεσθε F ἀγαλλιάσεσθε LSZ* ‖ [19] *ὑπηνέγκαντο F ἐκολάκευσαν LS (cf 284, 8)* deductae m (ſä) *(cf 172, 8; 262, 4) τὴν add LSZ* ‖ *τερτιανὴν LZ τερεντιανὴν S: cf 284, 10*

Μὴ ἐπιλάθεσθε τῶν προτέρων. Ἰησοῦς γὰρ ὁ ἅγιος καὶ ζῶν αὐτὸς βοηθήσει ὑμῖν. Οἱ δὲ περὶ τὸν Μισδαῖον καὶ Χαρίσιον μὴ πείσαντες αὐτὰς εἴασαν χρήσασθαι τῇ αὐτῶν γνώμῃ. ὁμοῦ δὲ συνήγοντο πάντες οἱ ἐκεῖ ἀδελφοί· πεποιήκει γὰρ Ἰούδας ἐν τῷ ὄρει Σιφόρον μὲν πρεσβύτερον, διάκονον δὲ τὸν

καὶ πάνυ αὐτὰς ἔθλιψαν· αἳ δὲ οὐ συνεδόκησαν τῇ θελήσει αὐτῶν. ὁ δὲ ἀπόστολος ἀποκαλυφθεὶς αὐταῖς εἶπεν· Μὴ πλανηθῆτε· Ἰησοῦς ὁ ἅγιος, ὁ ζῶν, ἐν τάχει ὑμῖν τὴν βοήθειαν ἐξαποστελεῖ. Ὁ δὲ Μισδαῖος καὶ ὁ Χαρίσιος γνόντες ὅτι οὐ πείθονται αὐτοῖς ἥ τε Μυγδονία καὶ ἡ Τερτία συνεχώρησαν αὐτὰς τῷ ἰδίῳ θελήματι ζῆν. συνήγοντο δὲ οἱ ἀδελφοὶ καὶ ἠγαλλιῶντο ἐν τῇ χάριτι τοῦ ἁγίου πνεύματος. ὁ δὲ ἀπόστολος Θωμᾶς ἀπαλλαττόμενος τοῦ κόσμου τὸν μὲν Σιφόρα ἐποίησεν πρεσβύτερον, Ἰουζάνην δὲ διάκονον, ὅτε ἦλθεν ἐπὶ

---

[1] *μὴ - πρ.*] nolite errare m ‖ *ἐπιλάθησθε U ἐπιλάθηται et add εισσὰ ὑμᾶς ἐνουτέθησα K* ‖ *τ. προτ. om* ʃ uerba quae dixi uobis ä *μου παρενέσεων καθῶς ἠκούσατε add K ὧν* (*ὧνπερ V*) *παρ' ἐμοῦ ἠκούσατε add RUV* ‖ *Ἰ. - ζ.*] dominus Iesus Christus ä ‖ *ὁ om A.* (*V?*) ‖ *ἅγ. κ. ζ.*] *ἁγνὸς καὶ ἁγιάζων A χριστός μου καὶ κύριος ὑμῶν K: cf 8* ‖ [3] *πεισθείσας A* ‖ *εἴ. - γν.*] *εἰς αὐτὴν μὴ ἔσεσθαι* (*sup scr τὴν*) *γνώμην A* dimiserunt eas propriae uoluntati m (ʃ ä) ‖ *ἔασαν KRV αὐτὰς add K* ‖ *τῇ α. χρ. γν. V τῇ εαυτὸν γν. χρ. K τὴν α. χρ. γνώμην R* ‖ [4] *πάντες om KRU* ‖ *ἐκεῖ* (ʃ) *om A* ‖ [4–285,1] *πεπ. - τεθν.*] presbiter enim erat Siforus et Zuzanis diaconus, ordinati uero eo tempore a sancto apostolo quo in montem moriturus ascendit m ‖ [4] *πεποίηκεν K*(*R*)*UV* ‖ *Ἰ.*] *ὁ μακάριος A ὁ ἀπόστολος KV* ‖ [5] *ἐν τ. ὄ.* (ʃm) *om Ω* ‖ *σύμφερον A* ‖ *μὲν om Ω*

[6] *πάνυ*] *πλεῖστα Σ* ‖ *ἐκόλασαν F*(*LS*)*Z* ‖ *δειναῖς τιμωρίαις add Σ* ‖ *οὐ σ.*] *γενναίως ὑπήνεγκαν τὰς βασάνους διὰ χριστὸν μὴ συνθέμεναι FLS*(*Z*) ‖ *τῷ θελήματι Σ* ‖ [7] *ἀπ.*] *μακάριος θωμᾶς Σ* ‖ *εἶπεν α. FLS* ‖ [8] *πλαν.*] *φοβηθῆτε τὰς* (*κολακίας καὶ τὰς add S: cf 283, 19*) *κολάσεις αὐτῶν FLS*(*Z*) *καὶ ἀπατηθῆτε add FLS* ‖ *ἅγ. ὁ ζ.*] *ἁγιάσας ὑμᾶς FLS om Z: cf 1* ‖ [8–9] *τὴν βο. ὑμῖν παρέξει FLS*(*Z*) ‖ [10] *ὅτι*] *ἕως θανάτου add Σ* ‖ *τερτιανὴ LZ τερεντιανὴ S: cf 283, 19* ‖ [11] *αὐταῖς Σ: cf 135, 11* ‖ *δὲ*] *οὖν FLS* ‖ [12] *κ. ἠγ.*] *βεβαιούμενοι τῇ πίστει τοῦ χριστοῦ καὶ προστιθέμενοι τῷ κυρίῳ* (*θεῷ LS*) *ἐπληθύνοντο* (*δὲ add F*) *Σ* ‖ *διὰ τῆς χάριτος Σ* ‖ [13] *ἀπαλλ. τ. κ.*] *ἀπερχόμενος πρὸς τὸν κύριον FLS*(*Z*) ‖ *τὸν om Σ* ‖ *σιφώρα*] *σιφόραν FS σίφορον LZ* ‖ *μὲν om LZ* ‖ [14] *in πρεσβύτε(ρον) deficit L*

P. Σ (*Σ = FSZ*) [14] *ὅτε ἦλθεν*] *ἀπῆλθον δὲ P* ‖ *ἦλθεν*] *ἀνήρχετο S* ‖ *εἰς Z* (*recte? cf 278, 3; 12; 13; 280, 10*) *πρὸς S*

Οὐαζάνην, ὅτε ἀπήγετο τεθνήξεσθαι. ὁ δὲ κύριος αὐτοῖς ἐβοήθει καὶ τὴν πίστιν δι' αὐτῶν ἐπλεόναζεν.

170 (11) *Διελθόντος δὲ πολλοῦ χρόνου συμβαίνει δαιμονισθῆναι ἕνα τῶν τοῦ Μισδαίου υἱῶν· σκληροῦ δὲ ὄντος τοῦ δαίμονος οὐδεὶς ἰάσασθαι οἷός τε ἦν. διενοεῖτο δὲ ὁ Μισδαῖος καὶ ἔλεγεν· Ἀπελθὼν ἀνοίξω | τὸν τάφον καὶ λάβω ὀστέον* 241 T *ἐκ τοῦ ἀποστόλου τοῦ θεοῦ καὶ προσάψω μου τῷ υἱῷ, καὶ οἶδα ὅτι θεραπευθήσεται. Καὶ ἀπῄει πρᾶξαι ὅπερ ἐνενοήθη.*

τὸ ὄρος ἐπὶ τὸ ἀποθανεῖν. ὁ δὲ κύριος συνήργει αὐτοῖς καὶ τῆς πίστεως αὐτῶν πρόθεσιν ἐποιεῖτο.

170 *Συνέβη δὲ μετὰ πολὺν χρόνον ἓν τῶν τέκνων Μισδαίου τοῦ βασιλέως κρουσθῆναι ὑπὸ δαίμονος, καὶ οὐδεὶς αὐτὸν ἠδυνήθη θεραπεῦσαι· | πάνυ γὰρ ἦν χαλεπὸς ὁ δαίμων.* 94 B *ἐνεθυμήθη δὲ Μισδαῖος ὁ βασιλεὺς καὶ εἶπεν· Ἀπελθὼν ἀνοίξω τὸν τάφον, καὶ ἄρας ὀστοῦν ἀπὸ τοῦ ἀποστόλου τοῦ θεοῦ κρεμάσω ἐπὶ τὸν υἱόν μου, καὶ θεραπευθήσεται. Ἐν ὅσῳ δὲ τοῦτο ὁ Μισδαῖος ἐνεθυμήθη, φανεὶς αὐτῷ ὁ ἀπό-*

---

[1] *ἰουζάνην V οὐζάνιον A* ‖ *τεθνήξασθαι (K)R θνήξεσθαι A τελειωθῆναι V* ‖ [2] *δι'* (ſ) *om Ω* ‖ [3] *συνέβη UV* ‖ *δαιμονίζεσθαι A* ‖ [4] *τῶν τοῦ om A* ‖ *υἱὸν A. V* ‖ [5] *ἐδύνατο αὐτὸν θεραπεῦσαι K(R)UV: cf 13* ‖ *δὲ om A* ‖ [6] *τάφ.] τοῦ ἀποστόλου add KV* Iudae *add* ſ ‖ *λαβὼν A* ‖ [6–7] *ὀ.-θ.] ὀ. ἐκ τοῦ θεοῦ τὸν ἀπόστολον A ὀ. τῶν τ. ἀπ. U ἐκ τῶν ὀστέων τ. ἀπ. R ὀστοῦν ἐξ αὐτοῦ V ὀ. αὐτοῦ K* unum ex ossibus ſ ossa de apostoli corpore m frustum ä ‖ *ὀ. ἐκ.] scr ὀ. ἐκ ⟨τῶν⟩?? ⟨ἓν⟩ ἐκ ⟨τῶν⟩ ὀστέων?* ‖ [7] *καὶ prius om A* ‖ [8] *ὅπερ] ὧν R ὧ K* ‖ *διενοήθη Ω: cf 5*

[9] *ἐπὶ τὸ] τοῦ S om F: cf 269, 12* ‖ *τελειωθῆναι SZ ἐπάνω τοῦ τάφου αὐτοῦ add P* ‖ *συν. α.] ἦν μετ' αὐτῶν FS(Z)* ‖ [10] *τ. π. - ἐπ.] πολλοὶ τῇ πίστει προσετίθοντο Σ*

P. M. Σ (Σ = FSZ) [10] *. . . σιν αὐτοῖς ἐποιεῖτο incipit M* ‖ *scr πρόσθεσιν?* ‖ [11] *δὲ] οὐ add M* ‖ *χρ. π. Σ* ‖ *ἕνα M. FS(Z)* ‖ *παίδων M υἱῶν Σ* ‖ [12] *τ. βασ. om M. FZ* ‖ *πληγῆναι M. Σ* ‖ [12–13] *καὶ - δαίμ. om Z* ‖ [13] *ἠδ. θ. α. M* ‖ *ἠδύνατο α. FS: cf 5* ‖ *scr αὐτὸ?? cf 11* ‖ *σφόδρα FS* ‖ *χαλ. ἦν P* ‖ [14] *ὁ δὲ β. (Μισδ. om) ἐνεθ. FS(Z)* ‖ *ὁ β. μισδ. P* ‖ *μισδέος M* ‖ *κ. εἶπεν om M. Σ* ‖ *ἀπ.] ἀπελθεῖν καὶ Σ om M* ‖ [15] *ἀνοῖξαι M. Σ τοῦ ἀποστόλου add Σ* ‖ *ἐπάραι Σ αὐτοῦ add FZ* ‖ *ὀ.] τῶν ὀστέων M* ‖ [15–16] *ἀπὸ - θεοῦ] καὶ FS om Z* ‖ [15] *τοῦ prius] litterae fere octo euan M* ‖ [15–16] *τ. θ.] θωμᾶ M* ‖ [16] *κρ. - μου om Z* ‖ *κρ. ἐ. euan M* ‖ *κρεμάσαι FS* ‖ *υἱ.] τράχηλον τοῦ υἱοῦ M. S* ‖ *μου] αὐτοῦ FS* ‖ *κ. θερ.] ὅπως ἰαθῇ (ὑπὸ add Z) τοῦ δαίμονος (τ. δ. om S) Σ* ‖ [16–17] *ἐν - ἐνεθ.] ἀπεἰει οὖν ποιῆσαι ὃ ἐνεθ. ὁ μισδέος ὁ βασιλεύς M μέλλοντος δὲ αὐτοῦ ποιεῖν ὃ ἐνεθ. FS om Z* ‖ [17–286,7] *ὁ δὲ ἀπ. θ. ἐπιφανεὶς αὐτῷ M* ‖ [17] *ἐμφανισθεὶς FS(Z) δὲ add Z*

298 W καὶ ἐπιφανεὶς αὐτῷ ὁ Ἰούδας εἶπεν· Ζῶντι μὴ πιστεύσας νεκρῷ πῶς θέλεις πιστεῦσαι; ἀλλὰ μὴ φοβοῦ· φιλανθρωπεύεται εἰς σὲ Ἰησοῦς ὁ Χριστὸς διὰ τὴν πολλὴν αὐτοῦ χρηστότητα. Ὁ δὲ Μισδαῖος οὐχ εὗρεν τὰ ὀστᾶ· κεκλόφει γὰρ αὐτὰ εἷς τῶν ἀδελφῶν καὶ εἰς τὰ τῆς δύσεως μετήνεγκε μέρη· λαβὼν δὲ κόνιν ὅθεν ἦν τὰ ὀστᾶ κείμενα τοῦ ἀποστόλου προ-

---

στολος Θωμᾶς εἶπεν αὐτῷ· Εἰς ζῶντα οὐκ ἐπίστευσας, καὶ εἰς νεκρὸν πιστεύεις; πλὴν μὴ φοβοῦ· σπλαγχνίζεται γὰρ εἰς σὲ καὶ ἐλεεῖ σε ὁ κύριός μου Ἰησοῦς Χριστὸς διὰ τὴν ἑαυτοῦ χρηστότητα. Ἀπελθὼν δὲ καὶ ἀνοίξας οὐχ εὗρεν ἐκεῖ τὸν ἀπόστολον· εἷς γὰρ τῶν ἀδελφῶν κλέψας αὐτὸν εἰς Μεσοποταμίαν ἀπήγαγεν. ἀπὸ δὲ τοῦ τόπου ἐκείνου ἔνθα τὰ ὀστᾶ τοῦ ἀποστόλου ἔκειτο χοῦν ὁ Μισδαῖος λαβὼν περιέθηκεν τῷ υἱῷ αὐτοῦ λέγων· Πιστεύω εἰς σὲ Ἰησοῦ Χριστὲ νῦν ὅτε

---

[1] ὁ om R μακάριος add A ‖ Ἰ.] ἀπόστολος A. K(V) ‖ μὴ] μοι μὴ Ω: cf 2 ‖ [2] νεκ.] μοι add KRV: cf 1 ‖ ἀλλὰ om A ‖ φιλανθρωπεύσεται KU(V) miserebitur m ‖ [3] εἰς om Ω ‖ σὲ om R ‖ Ἰ. ὁ Χρ.] ὁ ἰησοῦς R ἰησοῦς U ‖ [4] ὁ δὲ Μ.] καὶ ἀπελθὼν ὁ μ. V ὁ δὲ μ. ἀπῆλθον K καὶ ἀνοίξας τὸν τάφον add KV: cf 10 ‖ μὴ εὑρεθέντων <τῶν> (?) ὀστέων A τοῦ ἀποστόλου add KV: cf 10 ‖ εἰλήφει A rapuerunt m ‖ αὐτῶ A αὐτὸν K: cf 11 ‖ [5] καὶ - μ. μ.] et in urbe Edissa a nostris sepultus est m: cf 11 et Burkitt l s (100, 4) p 289 ‖ μετέθηκεν (K)(R)UV ‖ [6] δὲ om A ὁ μισδέος add K: cf 13 ‖ ὀστέα U ‖ τοῦ om A ‖ ἀπ. (ʃ)] Ἰοῦδα U om A: cf 287, 8

[7] αὐτῷ om M. Σ ‖ εἰς ζ.] ζ. με P ‖ ζῶντας M ‖ [8] εἰς ν.] ν. ἄρτι P ‖ νεκροὺς M ‖ μὴ φ.] οὖν θάρσει P ‖ σπ. γ.] ἐπεὶ σπ. M: recte? ἐπεὶ σπ. γ. (leg ἐπισπλαγχνίζεται γ.? perperam defendit Brinkmann l s (274, 16): cf 174, 2; 8) S ἐπίσπλαγχνίσθητι Z ‖ [8–9] εἰς σὲ] σοι F μοι Z ‖ [9] κ. ἐλ. σε om Σ ‖ ἐλεήσει M ‖ μου om M ‖ αὐτοῦ M. Σ ‖ [10] ἀπ. - ἀν.] ἀπῆλθεν δὲ ὁ μισδαῖος ἐν τῇ τοῦ ἁγίου ἀποστόλου σωρῷ κ. ἀν. τὴν θήκην P καὶ πορευθεὶς ὁ βασιλεὺς Σ: scr καὶ? (ʃ) cf 4 ‖ [10–11] ἐκ. τ. ἀπ.] ὀστέα ἐκεῖ M ὀστέον (ὀστοῦν SZ) ἐν τῷ τάφῳ Σ: cf 4 ‖ [11] αὐτὸν] τὸ λείψανον τοῦ μακαρίου M. Σ reliquias sancti apostoli m ‖ [11–12] ἀπήγ. (ἀπήνεγκεν M) εἰς τὴν μεσ. M. Σ ‖ [12] ἐκ.] τοῦ μνημείου M om S ‖ [13] λαβ. χοῦν ante ἔνθα (12) Σ ‖ [12–13] τὰ ὀ. τ. ἀπ.] τὰ ὀ. M τὸ σῶμα (λείψανον S) τοῦ ἁγίου FS τοῦ ἀποστόλου τὸ λείψανον P reliquiae apostoli m | [13] κατέκειτο SZ κατετέθη F ‖ ὁ Μ. om M. Σ: del?? ‖ [13–14] τῷ υἱ. α. περιέθηκε P ‖ [13] περιθεὶς F(S)Z ‖ [14] εἶπεν F(S)Z καὶ εἶπεν M ‖ ἰ. χρ. π. εἰς σε FS(Z) ‖ εἰς om M ‖ [14–287,11] νῦν - σε] ὅτι διὰ τοῦ ἁγίου (om Z) σου (θωμᾶ τοῦ S) ἀποστόλου θεραπεύεις τὸν υἱόν μου (θεραπεύεται ὁ υἱός μου F) Σ διὰ τοῦ σοῦ ἀποστόλου θωμᾶ καὶ ἀδιστάκτω πίστει ὁμολογῶ πατέρα υἱὸν καὶ ἅγιον πνεῦμα P: cf 287, 1

σῆψε τῷ υἱῷ αὐτοῦ καὶ εἶπεν· Πιστεύω σοι Ἰησοῦ νῦν ὅτε με ἀφῆκεν ἐκεῖνος ὁ ἀεὶ τοὺς ἀνθρώπους ταράττων ἵνα μὴ βλέψουσιν πρὸς τὸ νοερὸν φῶς σου. Ὑγιάναντος δὲ τοῦ υἱοῦ αὐτοῦ τῷ τρόπῳ τούτῳ συνήγετο μετὰ τῶν λοιπῶν ἀδελφῶν ὑποκατακλινόμενος τῷ Σιφόρῳ· καὶ τοὺς ἀδελφοὺς πάντας παρεκάλει εὔξασθαι ὑπὲρ αὐτοῦ ἵνα ἐλέους τύχῃ παρὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

171 Ἐπληρώθησαν αἱ πράξεις Ἰούδα Θωμᾶ τοῦ ἀποστόλου ἃς ἔπραξεν εἰς τὴν Ἰνδῶν, πληρῶν τὸ πρόσταγμα τοῦ

κα . . . . . νος ὁ ταράσσων τοὺς ἀνθρώπους καὶ ἀντικείμενος αὐτοῖς ἵνα μὴ ἴδωσίν σε. Καὶ κρεμάσαντος αὐτοῦ τῷ παιδὶ ὑγιὴς ὁ παῖς ἐγένετο. συνηθροίζετο οὖν καὶ Μισδαῖος ὁ βασιλεὺς μετὰ τῶν ἀδελφῶν καὶ ὑπέκλινεν τὴν κεφαλὴν αὐτοῦ | ὑπὸ τὰς χεῖρας Σιφόρου τοῦ πρεσβυτέρου· ἔλεγεν δὲ τοῖς 95 B
ἀδελφοῖς ὁ Σιφώρ· Εὔχεσθε ὑπὲρ Μισδαίου τοῦ βασιλέως ἵνα παρὰ Ἰησοῦ Χριστοῦ εὐσπλαγχνίαν δέξηται, καὶ ἀμνησικακήσῃ αὐτῷ. Πάντες οὖν ἐν συμφωνίᾳ χαίροντες εὐχὰς ἐποιοῦντο ὑπὲρ αὐτοῦ· ὁ δὲ φιλάνθρωπος δεσπότης ὁ βασι-

---

[1] *αὐτοῦ om A* ‖ *Ἰ. ν.] ν. κύριε ἰησοῦ χριστέ KV* domine mi Iesu ʃ: *cf 286, 14* ‖ *ὅτε* (ʃ)] quia m ‖ [2] *μὲν A* ‖ *ἀφ.] ὁ πλάνος add R* ‖ *ἀεὶ* (ʃ) *om Ω* ‖ *σπαράττων KV* qui turbat mʃ ‖ [3] *βλ. - σου] σωθῶσιν Ω δέσποτα φιλάνθρωπε add A* ‖ *del πρὸς? et νοερὸν? et σου?* (*om* ʃ) ‖ [3–4] *ὑγ. - αὐτοῦ] καὶ εὐθέως ὁ υἱὸς α. ὑγιὴς ἐγένετο* (*KR*) ‖ [3] *ὑγ. δὲ] καὶ εὐθέως ὑγ. V* ‖ [4] *σ.] καὶ σ. R σ. δὲ K* ‖ [5] *ὑπ.] ὑπὸ τῶν κατακλινομένων A* ‖ *νιφόρῳ A* ‖ *πάντας τ. ἀδ. K* ‖ *πάντας] αὐτοῦ R om A. U καὶ add R* ‖ [6] *εὔχεσθαι KU(V)* ‖ [7] *Χρ.] εἰς τοὺς αἰῶνας ἀμήν add U* ‖ [8–288,1] *ἐπλ. - αὐτόν om A. V* ‖ [8] *Ἰ. om* (*K*)*R* ‖ *ἀπ.] ἰησοῦ χριστοῦ add U* ‖ [9] *ἐν τῇ ἰνδίᾳ U*

[10] *κα . . . . νος] κατέλιπέν με ἐκεῖνος Tischendorf probabiliter: cf 2* ‖ [11] *σε]* te m: *cf 3* ‖ *κρεμ. - παιδὶ] τοῦτο εἰπὼν περιέθηκεν τὸν χοῦν ἐν τῷ τραχήλῳ τοῦ παιδὸς αὐτοῦ καὶ παραχρῆμα P εὐθέως Σ* ‖ [12] *ὁ π. ὑγ. P* ‖ *ὁ π. om F(S)Z* ‖ *συνηθροίσθη P ἔκτοτε FS(Z)* ‖ *οὖν] δὲ M: cf 17* ‖ [12–13] *καὶ - ἀδ.] πιστεύσας τῷ χριστῷ μετὰ τ. ἀδ. συνήγετο μισδ. ὁ β. F(S)Z* ‖ [13] *τῶν] λοιπῶν add P* ‖ [14] *σίφωρος P σιφόρα S* ‖ *τ. πρ.* (ʃä) *om P. M* ‖ *δὲ om P* ‖ [15] *ὁ om P. Σ: del?* ‖ *Σιφ. om Σ* ʃä: *del? cf 6* ‖ *εὔξασθε FS εὔξασθαι Z* (*cf 6*): *scr εὔχεσθαι?? cf Ph 12, 13* ‖ *ὑπὲρ] τοῦ add M* ‖ [16] *δέξ.] καὶ ἄφεσιν ἁμαρτιῶν add Σ* ‖ [17] *αὐτῷ] κύριος add F(S)Z* ‖ [17–288,7] *πάντες - αἰώνων] fere ut 8 - 9* ʃ ‖ [17] *οὖν] δὲ M: cf 12* ‖ *ἐν om Σ* ‖ [17–18] *ὑπ. α. προσευχὴν ἐπ. M ἐποίουν ὑπ. α. τὴν δέησιν Σ* ‖ [18–288,6] *ὁ δὲ - πνεῦμα] καὶ ἐγένετο χαρὰ μεγάλη ἐν τοῖς ἀδελφοῖς σὺν τῷ βασιλεῖ ἐπὶ τοῖς παραδόξοις τοῖς γινομένοις διὰ τοῦ ἀποστόλου θωμᾶ ἐν τῷ τόπῳ ἔνθα τὸ αὐτοῦ κατετέθη λείψανον F(SZ)*

πέμψαντος αὐτόν· ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

— — —— —

λεὺς τῶν βασιλευόντων καὶ κύριος τῶν κυριευ . . . ἔδωκεν καὶ Μισδαίῳ τὴν εἰς αὐτὸν ἐλπίδα· καὶ συνήγετο μετὰ τοῦ πλήθους τῶν πεπιστευκότων τῷ Χριστῷ, δοξάζων πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα, οὗ τὸ κράτος καὶ ἡ προσκύνησις νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

---

[1] *δ. et q s] uar KRV ‖ τῶν αἰ. om U*

[3] *κ. κύρ. τ. κυρ. om P ‖ κυριευόντων Tischendorf recte ‖* [4] *μισδαῖον P ‖ κ. συν.] συν. οὖν M ‖* [5] *πιστευόντων M ‖ τ. Χρ. om M ‖* [6] *οὗ - προσκ.] uar FSZ ‖ οὗ τὸ] ᾧ M ‖ ἡ πρ.] μεγαλοπρέπεια M ‖* [7] *τοὺς] σύμπαντας add P*

Ἡ τελείωσις Θωμᾶ τοῦ ἀποστόλου. 235 T

Προστάξη.ντος Μισδαίου τοῦ βασιλέως ἐβλήθη εἰς τὸ δεσμωτήριον ὁ μακάριος Θωμᾶς ὁ ἀπόστολος, καὶ εἶπεν· Δοξάζω τὸν θεόν, καὶ τὸν λόγον καταγγέλλω τοῖς κατακλείστοις· Ὡς πάντας ἀγαλλιᾶν ἐπὶ τῇ παρουσίᾳ αὐτοῦ. ἐπεὶ οὖν Ἰουζάνης ὁ υἱὸς τοῦ βασιλέως καὶ Τερτία ἡ αὐτοῦ μήτηρ καὶ Μυγδονία καὶ Ναρκία πιστοὶ μὲν γέγοναν, οὔπω δὲ τοῦ λουτροῦ ἠξιώθησαν, πάνυ ἐδυσφόρουν ἐπὶ τῷ συγκλεισθῆναι τὸν μακάριον, καὶ ἐλθοῦσαι εἰς τὸ δεσμωτήριον καὶ χρήματα πλείονα δοῦσαι τῷ δεσμοφύλακι εἰσῆλθον πρὸς αὐτόν. ὃ δὲ ἰδὼν αὐτὰς ἐχάρη, καὶ δοξάσας τὸν κύριον εὐλόγησεν αὐτάς· αἳ δὲ παρεκάλουν καὶ ᾐτοῦντο τὴν ἐν κυρίῳ σφραγῖδα, ἐμφανισθέντος αὐταῖς νεανίσκου εὐμόρφου κατ' ὄναρ καὶ λέγει τὸν ἀπόστολον εἰς τὸν Ἰουζάνου οἶκον κελεύσαντος. |

(2) *Αὐτὸς δὲ πάλιν ὁ καλὸς νεανίας προλαβὼν αὐτὰς καὶ* 236 T
τῷ Θωμᾶν τοῦτο ποιεῖν διεκελεύετο τῆς νυκτὸς ἐπελθούσης· ὅστις καὶ προτρέχων ἐν φωτοποιεῖ αὐτάς, καὶ τὰς ἠσφαλισμένας θύρας ἀψοφητὶ διήνοιγεν, ἕως οὗ τὸ πᾶν ἐτελέσθη μυστήριον, καὶ κοινωνήσας αὐτὰς τῆς εὐχαριστίας, πλεῖστά τε προσομιλήσας καὶ στηρίξας αὐτὰς εἰς τὴν πίστιν καὶ παραθέμενος τῷ κυρίῳ, ἐξῆλθεν ἐκεῖθεν καταλείψας τὰς γυναῖκας, καὶ πάλιν ἦλθεν συγκλεισθησόμενος·

A [1] ἡ - ἀπ. *in summo margine non tam inscriptionis quam indicis loco A* ‖ [2] προστάξη|||ντος *A: scr* προστάξαντος? *cf 248, 11* ‖ μισδέου *A: cf 290, 12; 15 (etiam F et Z et alii passim) et Sylvain Lévi Journ Asiat IX (1897) p 38* ‖ [3] εἶπεν] *cf 248, 21* ‖ [4] ὡς] ὃς *A* ‖ [8] τῷ] τὸ *A: cf 269, 12* ‖ [13] λέγει *del Tischendorf: scr* ἀπελθεῖν πρὸς? *cf 263, 14* ‖ [16] τῷ] τὸ *A* τὸν *Tischendorf* ‖ θωμᾶ *A* Θωμᾶν *Tischendorf: scr* Θωμᾷ? ‖ [17] ἐν φ.] *scr* ἐφωτοποίει? ἐν ὁδῷ φ. *Tischendorf* ‖ [21] κατ.] *cf 273, 1*

Μαρτύριον τοῦ ἁγίου καὶ πανευφήμου ἀποστόλου Θωμᾶ.

Ἐξελθόντος δὲ τοῦ ἀποστόλου κατὰ τὴν πρόσταξιν τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ὤφθη αὐτῷ ὁ κύριος εἰρηκὼς αὐτῷ· Εἰρήνη σοι μαθητά μου καὶ ἀπόστολε. Πεσὼν δὲ ὁ ἀπόστολος κατὰ πρόσωπον ἐπὶ τὴν γῆν ἐδέετο τοῦ κυρίου ὅπως ἀποκαλύψῃ αὐτῷ τὰ περὶ τῆς τιμίας αὐτοῦ ἐξόδου. εἰρήκει δὲ αὐτῷ ὁ κύριος ὅτι Μισδαῖος ποιεῖται κατὰ σοῦ σκέψιν τοῦ τάχιόν σε ἀπολέσαι· ἀλλ᾽ ἰδοὺ ἔρχεται πρός με. Καὶ κατασφραγίσας αὐτὸν ἀνῆλθεν εἰς τοὺς οὐρανούς. ὁ δὲ ἀπόστολος ἐδίδασκεν τῷ λαῷ καὶ προσετίθετο ἡ ποίμνη τοῦ Χριστοῦ. τινὲς δὲ μισόχριστοι ἄνδρες διέβαλον αὐτὸν πρὸς τὸν βασιλέα Μισδαῖον λέγοντες ὅτι Ἀπόλεσον τὸν μάγον τοῦτον τὸν καταλυμηνάμενον καὶ ἀπατῶντα τὸν λαὸν ἐπὶ νέῳ θεῷ ἑνὶ ὃν κηρύσσει, ἔτι δὲ καὶ τῇ σῇ δεσποίνῃ καὶ τῷ σῷ υἱῷ. Ταῦτα ἀκούσας Μισδαῖος ἀνεξετάστως ἐκέλευσεν συλλαβέσθαι αὐτὸν καὶ ἐν τῇ φυλακῇ ἐγκλεῖσαι. οἳ δὲ τάχιον ποιήσαντες τὸ προσταχθὲν αὐτοῖς ἔβαλον αὐτὸν ἐν φυλακῇ σφραγίσαντες. ἀκούσασαι δὲ αἱ πιστεύσασαι γυναῖκες τῷ θεῷ ὅτι Ἰούδας συνεκλείσθη, δώσασαι τοὺς τηρῶντας φύλακας χρήματα πολλὰ εἰσῄεσαν πρὸς αὐτὸν ἐν τῇ εἱρκτῇ. ὁ δὲ ἀπόστολος λέγει αὐτάς·

Μαρτύριον τοῦ ἁγίου ἀποστόλου Θωμᾶ.

Μισδαίου τοῦ βασιλέως ἡ γυνὴ ἦν πάνυ εὐπρεπεστάτη τῇ ψυχῇ καὶ τῷ σώματι· ἥτις γνοῦσα τὰ περὶ τοῦ μακαρίου Θωμᾶ τοῦ ἀποστόλου λάθρα τοῦ ἀνδρὸς αὐτῆς μετεστείλατο

O [8] *scr* ἔρχῃ? ‖ [12] μισδέον *O* ‖ [15] μισδέος *O* ‖ [19] τοὺς] πρὸς τοὺς *Tischendorf* ‖ τηροῦντας *Tischendorf fort recte* ‖ ὁ δὲ] *cf* 270, 1 ‖ αὐτάς] πρὸς αὐτάς *Tischendorf*

Σ (= *FSZ*) [21] μαρτ. - ἀπ.] καὶ παραθέμενος αὐτοὺς τῷ κυρίῳ ἐξῆλθεν καὶ ἦν ἐν ἀγαλλιάσει πολλῇ ἐπὶ τῇ προτροπῇ τοῦ κυρίου κηρύσσων τὸ εὐαγγέλιον ἐν πάσῃ τῇ ἰνδίᾳ καὶ βαπτίζων πάντας εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος ἐτελεύτησεν δὲ ὁ ἔμπορος καὶ ὁ βασιλεὺς γουνδαφόρος ὁ ὠνησάμενος τὸν ἀπόστολον καὶ γὰδ ὁ ἀδελφὸς τοῦ βασιλέως καὶ πᾶσα ἡ γενεὰ αὐτῶν ἐβασίλευσεν δὲ ἕτερος βασιλεὺς ὀνόματι μισδαῖος ὁ δὲ θωμᾶς ἦν κηρύσσων τὸν λόγον τοῦ θεοῦ καὶ βαπτίζων ἐν τῇ τῶν ἰνδῶν χώρᾳ *post* ἀμήν (146, 20: *cf* 269, 10) *F* ‖ τὸ μαρτ. *S* ‖ ἁγ.] καὶ ἐνδόξου *add Z* ‖ ἀπ. Θ.] θ. τοῦ ἀπ. *Z* ‖ [22] Μισδ.] ἐν ταῖς ἡμέραις μισδέου *Z* τοῦ δὲ μισδέου *F* ‖ τ. β. *om F* ‖ ἡ] ἦν τίς *Z* ‖ [22–23] ἦν - ἥτις *om S* ‖ [22] ἦν πάνυ *om Z* ‖ [22–23] τῇ - σώμ. *om Z* ‖ [23] γν.] ἤκουεν *S* ‖ τὰ *om FZ* ‖ ἁγίου *Z* ‖ [24] λάθ.] δὲ *add S*

τὸν ἀπόστολον καὶ ηκουσεν τὸν λόγον τοῦ θεοῦ· ἦν δὲ ὄνομα αὐτῇ Μυγδονία· ὁμοίως δὲ καὶ Χαρίσιος ὁ ἐπὶ πάσης τῆς θεραπείας τοῦ βασιλέως, ἔχων καὶ αὐτὸς γυναῖκα ὀνόματι Τερτιανήν, ἥτις καὶ αὐτὴ σὺν τῇ βασιλίσσῃ ἤκουσεν παρὰ τοῦ Θωμᾶ τὸν λόγον τῆς ἁγνείας· καὶ ἐπίστευσαν τῷ Χριστῷ. καὶ συνέθεντο ἀλλήλαις ἐν ἁγνότητι δουλεύειν τῷ κυρίῳ· ἔδωκεν γὰρ αὐταῖς ὁ ἀπόστολος τὸ λουτρὸν καὶ τὴν ἐν Χριστῷ σφραγῖδα· καὶ οὐκέτι ἤρχοντο οὔτε ἐπὶ βρώσει οὔτε ἐπὶ κοίτῃ τῶν ἰδίων ἀνδρῶν. ὁ δὲ βασιλεὺς ἤρξατο τιμωρεῖσθαι τὴν ἑαυτοῦ γυναῖκα μανίᾳ τῆς ἀκολασίας φερόμενος. ὁ δὲ Χαρίσιος γνοὺς τὰ κατὰ τὸν μακάριον Θωμᾶν ἐμήνυσεν τῷ βασιλεῖ λέγων· Τὰς γυναῖκας ἡμῶν ἀνέπεισεν ὁ Θωμᾶς ὥστε μὴ κοινωνεῖν ἡμῖν. ἀλλὰ καὶ τὸν υἱόν σου καὶ πᾶσαν τὴν θεραπείαν σου μεταπείσας ἠπάτησεν. Ἀκούσας δὲ ταῦτα ὁ βασιλεὺς μεταπεμψάμενος τὸν ἀπόστολον Θωμᾶν ἐκέλευσεν ἐκδυθῆναι αὐτὸν καὶ στῆναι γυμνόν, καὶ λέγει αὐτῷ·

---

1 τ. ἀπ.] αὐτὸν S ‖ καὶ - λόγον om Z ‖ 1–2 ὄν. α.] τὸ ὄνομα αὐτῆς Z ‖ 2 μαγδωνία Z: cf 283, 9 ‖ τῆς om Z ‖ 3 τερτιανῆ S ‖ 4 ἥτις om FZ ‖ σ. τ. βασιλίδι ἤκ. κ. α. F σ. τ. β. κ. ἤκουεν (om αὐτὴ) Z ‖ 5 Θ.] ἀποστόλου S ‖ ἀληθείας F ‖ ἐπίστευσεν Z ‖ 5–6 καὶ σ. - κυρ. om Z ‖ 6–7 ἔδ. γ.] καὶ ἔδ. Z ‖ 7 αὐτὰς S αὐτοὺς Z ‖ ὁ ἀπ. om Z ‖ λ.] ἅγιον λ. F ‖ 8 κ. οὐκ.] οὐκ. οὖν F οὐκ. γὰρ Z ‖ οὔτε prius om SZ ‖ βρῶσιν Z ‖ κύτην Z ‖ 8–9 τ. ἰδ. om Z ‖ 9 ἀνδρός Z ‖ τιμωρεῖν SZ ‖ 10 γνοὺς om Z ‖ 11 Θ. om F ‖ 12 ἔπισεν Z ‖ 14 ἠπ.] ἐβάπτισεν Z ‖ μετ.] cf 275, 10

Appendix.

Περίοδοι καὶ μαρτύριον τοῦ ἁγίου Βαρνάβα τοῦ ἀποστόλου.

1 *Ἐπειδήπερ ἀπὸ τῆς καθόδου τῆς τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ παρουσίας, τοῦ ἀόκνου καὶ φιλανθρώπου καὶ ἰσχυροῦ καὶ ποιμένος καὶ διδασκάλου καὶ ἰατροῦ, τὸ ἀπόρρητον καὶ ὅσιον καὶ ἄμεμπτον μυστήριον τῶν τὴν ἐλπίδα ὁσίως κατεχόντων καὶ ἐσφραγισμένων χριστιανῶν ἐθεασάμην καὶ εἶδον ἐγώ, ᾧ καὶ ἐδούλευσα προθύμως, ἀναγκαῖον ᾠήθην ἃ ἤκουσα καὶ εἶδον μυστήρια* (2) *ἐγὼ Ἰωάννης ἐξηγήσασθαι, συνακολουθῶν Βαρνάβᾳ καὶ Παύλῳ τοῖς ἁγίοις ἀποστόλοις, ὑπηρέτης ὢν τὸ πρὶν μὲν Κυρίλλου τοῦ ἀρχιερέως τοῦ Διός, νῦν δὲ χάριν λαβὼν πνεύματος ἁγίου διὰ Παύλου καὶ Βαρνάβα καὶ Σιλᾶ τῶν ἀξίων τῆς κλήσεως, τῶν καὶ βαπτισάντων με ἐν Εἰκονίῳ.*

[8] cf act ap 12, 25

P Paris gr 1470 a 890

Σ { *B Batopaedianus s XI aut XII (inde a p 294, 30)*
M Messan 29 s XII
Q Paris gr 1219 s XI
U Vatic gr 821 s XIII
V Vatic gr 1667 s XI }

lat passio Barnabae latina utraque
lat c passio Barnabae latina Casinensis
lat n passio Barnabae latina ed Nausea

[1] *μ. κ. περίοδος M* ‖ *ἀπ. βαρν. (om alt τοῦ) Σ* ‖ [2] *del τῆς καθ.?? cf τῆς παρ.* ‖ [3] *φιλ.] εὐσπλάγχνου QUV εὐσπλάγχνου add M* ‖ [4] *καὶ ante ποιμ. del?* ‖ *κ. διδ. om Σ* ‖ [7] *ᾧ om MUV* ‖ [7–8] *ἃ ε. μ. κ. ἤκ. MQ(U) καὶ ἃ. ε. (sup scr κ. ἤκ.) μ. V: cf 293, 8; 17* ‖ [8] *ἐξηγ. ante ἐγὼ Σ: fort ante ἃ (7) ponend* ‖ [9] *ἁγ. (lat) om Σ* ‖ [10] *τ. Δ. (lat) om Σ* ‖ [11] *πν. ἁγ. λ. Σ* ‖ *διά τε πέτρου τοῦ ἀποστόλου κ. βαρν. κ. παύλου Σ nihil de Petro lat* ‖ [11–12] *κ. Σιλᾶ om Σ lat: del?* ‖ [12–13] *ἐν Εἰκ. (lat) om Σ*

3 *Μετὰ οὖν τὸ βαπτισθῆναί με εἶδον ἐν ὁράματι ἄνδρα τινὰ ἐφεστῶτα ἐν λευκῇ στολῇ περιβεβλημένον, καὶ εἶπέν μοι· Θάρσει Ἰωάννη· καὶ γὰρ τὸ ὄνομά σου μετονομασθήσεται Μᾶρκος, καὶ ἡ δόξα σου ἐν ὅλῳ τῷ κόσμῳ κηρυχθήσεται. καὶ | τὸ ἐν σοὶ σκότος παρῆλθεν ἀπὸ σοῦ, καὶ ἐδόθη σοι σύνεσις* 65 T *πρὸς τὸ γνῶναι τὰ μυστήρια τοῦ θεοῦ.*

4 *Ὡς δὲ τὸ ὅραμα εἶδον, σύντρομος γενόμενος ἀπῆλθον παρὰ τοὺς πόδας Βαρνάβα καὶ ἀπήγγειλα αὐτῷ ἃ εἶδον καὶ ἤκουσα παρὰ τοῦ ἀνδρὸς ἐκείνου μυστήρια. Παῦλος δὲ ὁ ἀπόστολος οὐκ ἦν ἔγγιστα ἡνίκα ἀνεθέμην τὰ μυστήρια. εἶπεν δέ μοι Βαρνάβας· Μηδενὶ ἐξείπῃς τὴν δύναμιν ἣν εἶδες. κἀμοὶ γὰρ τῇ νυκτὶ ταύτῃ παρέστη ὁ κύριος λέγων ὅτι Θάρσει· ὡς γὰρ ἔδωκας τὴν ψυχήν σου ὑπὲρ τοῦ ὀνόματός μου εἰς τὸ ἀποθανεῖν καὶ ἀπαλλοτριωθῆναι τοῦ σοῦ ἔθνους, οὕτως καὶ τελειωθήσῃ. πλὴν καὶ τὸν ὄντα μεθ' ὑμῶν ὑπηρέτην καὶ αὐτὸν συλλαβοῦ μεθ' ἑαυτοῦ· ἔχει γάρ τινα μυστήρια. Νῦν οὖν τέκνον φύλαξον σεαυτῷ τὰ ῥήματα ἃ εἶδες καὶ ἤκουσας· καιρὸς γάρ σε ἀποκαλύψαι μέλλει.*

5 *Ταῦτα δέ μου κατηχηθέντος παρ' αὐτοῦ, ἐμείναμεν ἐν Εἰκονίῳ ἡμέρας ἱκανάς· ἦν γὰρ ἐκεῖ ὅσιος ἀνὴρ καὶ εὐλαβής, ὅστις ἡμᾶς καὶ ὑπεδέξατο, οὗ καὶ τὸν οἶκον ἡγίασε Παῦλος. ἐκεῖθεν τοίνυν κατηντήσαμεν ἐν Σελευκείᾳ, καὶ προσμείναντες ἡμέρας τρεῖς ἐπλεύσαμεν εἰς Κύπρον, καὶ ἤμην ἐγὼ διακονῶν αὐτοῖς ἄχρις οὗ παρήλθομεν τὴν Κύπρον· ἀναχθέντες δὲ ἀπὸ τῆς Κύπρου κατήχθημεν ἐν Πέργῃ τῆς Παμφυλίας. κἀκεῖσε λοιπὸν παρέμεινα ὡσεὶ μῆνας δύο, βουλόμενος ἐπὶ τὰ δυτικὰ μέρη ἀποπλεῦσαι· καὶ οὐκ εἴασέν με τὸ πνεῦμα τὸ ἅγιον. ἐπι-*

[22] cf act ap 13, 4 ‖ [21] cf act ap 13, 13

---

[1] *οὖν] δὲ Σ lat* ‖ *ἐν ὁρ.* (*lat*) *om P: cf 7* ‖ [2] *στολὴν λευκὴν* (*om ἐν*) *M haud male: cf 296, 19; Mt 255, 9* ‖ [3] *μετονομάσθη Σ* uocaberis *lat* ‖ [6] *πρὸς τὸ γν.* (ut cognoscas *lat*)] *προγνῶναι P: cf 300, 23* ‖ [7—8] *ἀπελθὼν πρὸς Σ* ‖ [8] *καὶ prius om Σ* ‖ [10] *ἡνίκα* <*Βαρνάβᾳ*>*? add lat* ‖ *τὰ*] haec *lat τοιαῦτα add Σ: cf 7 τὸ* hanc *lat* ‖ *ῥήματα QU: cf 17* ‖ [11] *κ. γ.* (*lat*)] *γνῶθι γ. ὅτι κ. Σ* ‖ [12] *ὅτι om Σ* ‖ [14] *ἔθν. σου Σ* ‖ [15] *μεθ' prius*] *ἐγγὺς Σ: cf 10* ‖ [16] *μυστ.*] *θεϊκὰ add Σ* ‖ *οὖν om P lat n* (uero *c*) ‖ [19] *δι' ἐμοῦ κατηχηθέντες οὖν παρ' Σ* ‖ [20] *Εἰκ.* (*lat*)] *ἱεροσολύμοις Σ: cf act ap 12, 12; 25* ‖ [20—21] *ἦν - Π.* (*lat*)] *καὶ ἤλθομεν ἐν ἀντιοχείᾳ Σ: cf act ap 13, 1* ‖ [22] *καὶ*] *ἐκεῖ δὲ Σ* in qua *lat* ‖ [23] *ἀπεπλεύσαμεν* (*cf 296, 5; 298, 9 et 20; 294, 26; 299, 4; 5; 300, 23; al*) *ἐν κύπρῳ Σ* ‖ [24] *παρ.*] *περιήλθομεν πᾶσαν Σ* (*cf 294, 31*) egrederemur *lat: cf 300, 6 Σ; act ap 13, 6* ‖ [26] *δύο*] *καὶ ἀποχωρήσας ἀπ' αὐτῶν ὑπέστρεψα ἐν Ἱεροσόλυμα add Papebrochius ex act ap 13, 13* ‖ [27] *ἀπ.*] *πορεύεσθαι Σ* ire *lat*

στρέψας δὲ πάλιν ἐζήτησα τοὺς ἀποστόλους, καὶ μαθὼν ὅτι ἐν Ἀντιοχείᾳ εἰσὶν ἐπορεύθην πρὸς αὐτούς. |

66 T 6 Εὗρον δὲ τὸν Παῦλον ἀπὸ τοῦ κόπου τῆς ὁδοιπορίας ἐν Ἀντιοχείᾳ ἐπὶ τῆς κλίνης· ὃς καὶ ἰδών με σφόδρα ἐλυπήθη διὰ τὸ βραδῦναί με ἐν Παμφυλίᾳ. καὶ προσελθὼν ὁ Βαρνάβας παρεκάλεσεν αὐτόν, καὶ ἐγεύσατο ἄρτου· ὀλίγον δὲ ἔλαβεν αὐτόν. καὶ εὐηγγελίσαντο τὸν λόγον τοῦ κυρίου, καὶ πολλοὺς τῶν Ἰουδαίων καὶ Ἑλλήνων ἐφώτισαν. ἐγὼ δὲ μόνον προσεῖχον αὐτοῖς, καὶ ἐφοβούμην Παῦλον προσεγγίσαι αὐτῷ καὶ διὰ τὸ ἔχειν με ἱκανὸν χρόνον ἐν Παμφυλίᾳ διάγοντα καὶ πάνυ ταράσσεσθαι αὐτὸν κατ᾽ ἐμοῦ. μετάνοιαν δὲ ἐδίδων ἐπὶ τοῖς γόνασιν εἰς τὴν γῆν Παύλῳ, καὶ οὐκ ἠνείχετο· ὡς δὲ ἐπέμενον ἐπὶ σάββατα τρία τῇ παρακλήσει καὶ τῇ δεήσει γονυπετῶν, οὐκ ἠδυνήθην δυσωπῆσαι αὐτὸν ὑπὲρ ἐμαυτοῦ· ἡ δὲ πολλὴ λύπη αὐτοῦ ἦν πρός με διὰ τὸ ἔχειν με τὰς πλείους μεμβράνας ἐν Παμφυλίᾳ.

7 Ὡς δὲ ἐγένετο τοῦ τελέσαι αὐτοὺς διδάσκοντας ἐν Ἀντιοχείᾳ, τῇ μιᾷ τῶν σαββάτων καθεσθέντες ὁμοῦ συνεβουλεύσαντο πορεύεσθαι ἐπὶ τοὺς ἀνατολικοὺς τόπους, καὶ μετὰ ταῦτα ἔρχεσθαι ἐν Κύπρῳ καὶ ἐπισκέψασθαι πάσας τὰς ἐκκλησίας ἐν αἷς ἐλάλησαν τὸν λόγον τοῦ θεοῦ. παρεκάλει δὲ ὁ Βαρνάβας ἐλθεῖν τὸν Παῦλον πρότερον ἐν Κύπρῳ καὶ τοὺς ἰδίους αὐτοῦ ἐπισκέψασθαι ἐν τῇ κώμῃ αὐτοῦ, καὶ Λούκιος δὲ παρεκάλει ὥστε ἐπίσκεψιν λαβεῖν τὴν πόλιν αὐτοῦ Κορίνην. ὅραμα δὲ ἦν καθ᾽ ὕπνον ὀφθὲν τῷ Παύλῳ ὥστε σπεῦσαι αὐτὸν ἐπὶ Ἱερουσαλὴμ διὰ τὸ προσδέχεσθαι αὐτὸν τοὺς ἀδελφοὺς ἐκεῖ. Βαρνάβας δὲ παρεκάλει ὥστε ἐλθεῖν αὐτοὺς ἐν Κύπρῳ καὶ ποιῆσαι τὸν χειμῶνα, καὶ τότε ἀπελθεῖν αὐτοὺς εἰς Ἱερουσαλὴμ ἐν τῇ ἑορτῇ.

8 Πολλὴ τοίνυν φιλονεικία μεταξὺ αὐτῶν ἐγίνετο. Βαρ-
67 T νάβας δὲ παρεκάλει | κἀμὲ συνακολουθῆσαι αὐτοῖς διὰ τὸ ἐξ ἀρχῆς ὑπηρέτην αὐτῶν εἶναί με, καὶ ἐν τῇ Κύπρῳ πάσῃ ὑπη-

15 cf Tim 2, 4, 13 ‖ 22 cf act ap 13, 1 Rom 16, 21 ‖ 29 cf act ap 15, 36—39.

---

2 εἰσὶν] ἦσαν QV ‖ 3 ηὗρον UV: cf 296, 5; 15; 297, 19; 298, 17; 299, 1 | 4—25 ἐπὶ - ἐκεῖ om Σ ‖ 6 ἔλ. αὐτοῦ Tischendorf probabiliter ‖ 8—14 ἐγὼ - ἐμαυτοῦ om lat ‖ 9 scr Παῦλον, προσεγγίσαι αὐτῷ καὶ ⟨διαλέγεσθαι μὴ τολμῶν⟩? ‖ 10 scr διαγαγόντα? ‖ 11 ἐδίδον P ‖ 13 γονυπ|||τῶν P αι in ras p | 15 Παμφυλίᾳ ⟨καταλιπόντα⟩ uel ⟨κατεσχηκότα⟩? cf 10 ‖ 22—23 καὶ Λ. - Κ. om lat ‖ 23 Κυρήνην Tischendorf recte ut uid ‖ 25—295, 17 Β. - ἀνθρ. om lat | 26 εἰσελθεῖν α. εἰς κύπρον Σ: cf 293, 23 ‖ 27 ἐν om Σ ‖ 30 ἐπακολουθῆσαι Tischendorf ‖ 31 με αὐτῶν εἶναι Σ ‖ ⟨ὅτι⟩ ἐν??? ‖ ὑπηρετῆσαι BQUV recte??

ρέτησα αὐτοῖς ἄχρις οὗ κατήντησαν ἐν Πέργῃ τῆς Παμφυλίας, κἀκεῖ ἀπέμεινα ἡμέρας ἱκανάς. ὁ δὲ Παῦλος κατέκραζεν τοῦ Βαρνάβα λέγων ὅτι Ἀδύνατον τοῦτον ἐλθεῖν μεθ᾽ ἡμῶν. Καὶ οἱ ὄντες δὲ μεθ᾽ ἡμῶν ἐκεῖ παρεκάλουν ὥστε κἀμὲ συνακολουθῆσαι αὐτοῖς, διὰ τὸ εὐχήν μοι ὑπάρχειν ἕως τέλους αὐτοῖς ἀκολουθῆσαι· ὥστε λέγειν τὸν Παῦλον τῷ Βαρνάβᾳ ὅτι Εἰ βούλει λαβεῖν Ἰωάννην τὸν καὶ Μᾶρκον μετονομασθέντα μετὰ σεαυτοῦ, πορεύου ἑτέραν ὁδόν· οὐ γὰρ ἔλθῃ μεθ᾽ ἡμῶν. Βαρνάβας δὲ ἐν ἑαυτῷ γενόμενος εἶπεν ὅτι Τὸν ἅπαξ δουλεύσαντα τῷ εὐαγγελίῳ καὶ συνοδεύσαντα ἡμῖν οὐκ ἀποστρέφεται ἡ χάρις τοῦ θεοῦ. εἰ οὖν καὶ τοῦτο ἡδύ σοί ἐστι πάτερ Παῦλε, λαβὼν αὐτὸν πορεύομαι. Καὶ αὐτὸς ἔφη· Πορεύου ἐν τῇ χάριτι τοῦ Χριστοῦ, καὶ ἡμεῖς ἐν τῇ δυνάμει τοῦ πνεύματος.

9 Κλίναντες τοίνυν τὰ γόνατα προσηύξαντο τῷ θεῷ. καὶ ἀναστενάξας Παῦλος ἔκλαυσεν, ὁμοίως δὲ καὶ Βαρνάβας, λέγοντες πρὸς ἀλλήλους· Καλὸν μὲν ἦν ἡμᾶς κοινῶς καθὼς τὴν ἀρχὴν οὕτως καὶ τὸ τέλος ποιήσασθαι τὸ ἐν ἀνθρώποις. ἐπειδὴ δὲ οὕτως σοι ἔδοξε πάτερ Παῦλε, πρόσευξαι ὑπὲρ ἐμοῦ ἵνα τέλειός | 68 T μου ὁ κάματος γένηται εἰς αἴνεσιν· οἶδας γὰρ πῶς σοι ἐδούλευσα εἰς τὴν χάριν τοῦ Χριστοῦ τὴν δοθεῖσαν ἡμῖν. πορεύομαι γὰρ ἐν Κύπρῳ καὶ σπεύδω τελειωθῆναι· οἶδα γὰρ ὅτι οὐκέτι ὄψομαι τὸ πρόσωπόν σου πάτερ Παῦλε. Καὶ πεσὼν ἐπὶ τὴν γῆν εἰς τοὺς πόδας αὐτοῦ ἔκλαυσεν ἱκανῶς.

10 Ὁ δὲ Παῦλος ἔφη πρὸς αὐτόν· Κἀμοὶ τῇ νυκτὶ ταύτῃ παρέστη ὁ κύριος λέγων· Μὴ βιάσῃ Βαρνάβαν τοῦ μὴ πορευθῆναι εἰς Κύπρον· ἐκεῖ γὰρ αὐτῷ ἡτοίμασται τοῦ φωτίσαι πολλούς· καὶ σὺ δὲ ἐν τῇ δοθείσῃ σοι χάριτι πορεύου εἰς Ἱεροσόλυμα προσκυνῆσαι ἐν τῷ ἁγίῳ τόπῳ, κἀκεῖ σοι δειχθήσεται

---

[1] *κατηντήσαμεν BMQV* ‖ *εἰς πέργην* Σ: *cf* 293, 25 ‖ [2] *ἐπέμεινα MV haud male* ‖ *χρόνους ἱκανοὺς* Σ: *cf* 293, 20 ‖ [2] *τοῦ*] *τῷ* Σ ‖ [3] *μ. ἡμ. ἐλθ.* Σ ‖ [4] *δὲ μ. ἡμ.*] *ἀδελφοὶ* Σ ‖ *παρ.*] *ἔλεγον* Σ ‖ [4–5] *κ. σ. α.*] *με σὺν α. ἀκολουθῆσαι* Σ: *cf* 294, 30 ‖ [5] *διὰ - ἀκολ. om P* ‖ *ἀκολ. αὐτοῖς B (et ipse conieceram: cf P) om (M)* ‖ [6] *τῷ Β. om* Σ ‖ [7] *μετον. om* Σ *fort recte* ‖ [8] *ἑτ.*] *εἰς ἑτ. BMQV* ‖ *ἔλθῃς (Q)UV* ‖ [10] *ἡμῖν om P* ‖ [11–13] *εἰ - πν. om M* ‖ [11] *scr σοὶ τ. ἡ.?* ‖ [12] *ἔφη om P* ‖ [13] *Χρ.*] *θεοῦ BQUV: cf* 20 ‖ *τῷ ἁγίῳ πνεύματι (om τῇ δυν.) BQUV* ‖ [14] *τῷ θεῷ om* Σ ‖ [16] *ἀρχ.*] *ψυχὴν* Σ ‖ [17] *οὕτως om* Σ ‖ [18] *τελείως V* ‖ [19] *μου*] *μοι* Σ mea *lat* ‖ *εἰς ἀνάπαυσιν γέν.* Σ fiat acceptabilis in conspectu eius *lat* ‖ *scr ἄνεσιν??* ‖ *ἐδ.*] *καὶ add* Σ ‖ [20] *Χρ.*] *θεοῦ MV: cf* 13 ‖ *ἡμῖν (lat)*] *σοι* Σ ‖ [21] *τελ. κ. σπ.* Σ ‖ *ὅτι om P* ‖ [22–23] *τῆς γῆς BMUV* ‖ [23] amare (*πικρῶς?*) *lat* ‖ [26] *τοῦ om* Σ ‖ [28] *κακεῖθεν* Σ

ποῦ σοι τὸ μαρτύριον ἡτοίμασται. Ἠσπασάμεθα δὲ ἀλλήλους, καὶ παρέλαβέν με Βαρνάβας.

11 Καὶ κατελθόντες εἰς Λαοδίκειαν ἠρωτῶμεν περᾶσαι εἰς Κύπρον, καὶ εὑρόντες πλοῖον ἀπερχόμενον εἰς Κύπρον ἀνήλθομεν· καὶ πλευσάντων ἡμῶν ὁ ἄνεμος ἐναντίος εὑρέθη. ἤλθομεν δὲ ἐν τῷ Κορασίῳ, καὶ κατελθόντων ἡμῶν παρὰ τὸν αἰγιαλόν, ἔνθα πηγὴ ἦν, ἀνεψύξαμεν ἐκεῖ, μηδενὶ ἑαυτοὺς ἐμφανίζοντες διὰ τὸ μὴ γνῶναί τινα ὅτι ἀπεχωρίσθη Βαρνάβας τοῦ Παύλου. ἀναχθέντες δὲ ἀπὸ Κορασίου ἤλθομεν εἰς Παλαιὰς τῆς Ἰσαυρίας, κἀκεῖθεν ἤλθομεν ἐν νήσῳ τινὶ Πιτυούσῃ καλουμένῃ, καὶ χειμῶνος γενομένου ἐποιήσαμεν ἐκεῖ ἡμέρας τρεῖς· ὑπεδέξατο δὲ ἡμᾶς ἀνήρ τις εὐλαβὴς ὀνόματι Εὔφημος, ὃν καὶ πολλὰ κατήχησε Βαρνάβας εἰς τὴν πίστιν σὺν ὅλῳ τῷ οἴκῳ αὐτοῦ.

12 Ἐκεῖθέν τε παρεπλεύσαμεν τὰς Ἀκονησίας καὶ ἤλθομεν ἐν πόλει Ἀνεμουρίῳ, καὶ εἰσελθόντων ἡμῶν ἐν αὐτῇ εὕρομεν δύο Ἕλληνας· ἐλθόντες δὲ πρὸς ἡμᾶς ἐπηρώτων πόθεν καὶ τίνες ἐσμέν. εἶπεν δὲ αὐτοῖς Βαρνάβας· Εἰ βούλεσθε γνῶναι πόθεν
69 T καὶ τίνες | ἐσμέν, ἀπορρίψατε ἣν ἔχετε ἐσθῆτα, καὶ περιβάλλω ὑμᾶς ἐσθῆτα ἥτις οὐδέποτε ῥυπαίνεται, οὐδὲ ἔστιν ἐν αὐτῇ ῥυπαρία, ἀλλὰ πάντοτε λαμπρά ἐστιν. Ξενισθέντες δὲ ἐπὶ τῷ λόγῳ ἠρώτων ἡμᾶς· Τί ἐστι τὸ ἔνδυμα ἐκεῖνο ὃ μέλλει διδόναι; Εἶπεν δὲ αὐτοῖς Βαρνάβας· Ἐὰν ἐξομολογήσησθε τὰς ἁμαρτίας ὑμῶν καὶ συντάξησθε τῷ κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ,

---

[1] ἡτοιμάσθη *BQUV* ‖ δὲ] τοιγαροῦν *Σ* ‖ [2] καὶ - Β. *om lat* ‖ [3–4] καὶ - ἀνήλθομεν] κατ. δὲ κ. εὑρ. πλ. ἐν λαοδικία ἠρωτ. περ. εἰς κύπρον *Σ* ‖ [4–14] καὶ - Ἀκ. *om lat* ‖ [5] πλευσ. ἡμ. *om Σ* ‖ |||||||ν *P* ἡμῶ *in ras p* ‖ ηὑρέθη *BUV* (*cf* 294, 3) *al M* καὶ οὐκ ἠδυνήθημεν *add BQUV* περᾶσαι *add U* ‖ [6] *scr* Κορακησίῳ? (*cf Braunsberger der apostel Barn p* 114: *idem significari putat Papebrochius*) *an est idem ac* Ψευδοκοράσιον? *cf Steph Byz s u: cf* 9 ‖ εἰσελθόντων *BQUV* ἐξελθόντες *M* ‖ ἡμ. *om M* ‖ [7] ἐκεῖ] τὴν ὥραν *add Σ* (*in marg V*): ⟨μίαν ὥραν⟩?? *cf* 299, 25; 300, 8; 298, 3; 299, 12 ‖ ἐμφανίσαντες *Σ* ‖ [8–9] ἀν. - Κορ.] ἐκεῖθεν δὲ (τε *M*: *cf* 14) *Σ* ‖ [9] Κορ.] *cf* 6 ‖ [9–10] ἤλθομεν - κἀκ. *om P* ‖ [9] *scr* Παλαιὰν τ. Ἰ.? *an* Παλαιὰν Ἴσαυραν? παραλίας τ. Ἰ. *Lipsius II*, 2 *p* 282 ‖ [10] ἐλθόντες *Σ*: *cf* 9 - 10 *P* ‖ [11] ἐπ. ἐ.] παρεβάλομεν *BQUV* παρεμείναμεν *M* ‖ ὑπ. δὲ] καὶ ἐδέξατο *Σ* ‖ [12] εὐλ. *om Σ*: *cf* 293, 20 ‖ εὔφημος ὀνόματι *Σ* ‖ [12–13] ὃν - αὐτοῦ *om Σ* ‖ [14] τε] δὲ *Σ*: *cf* 8 - 9; 299, 18; 300, 3 ‖ ἀκονισίας *QU* ἀκινησίας *M* ‖ [15] ηὕρομεν *BUV*: *cf* 294, 3 ‖ [16] καὶ τίνες *om Σ*: *cf* 18 (qui estis et unde uel quae res uos attulit nostris oris *lat c* qui estis unde et quo *n*) ‖ [18] περιβαλῶ *Σ*: *cf* 297, 1 ‖ [20] ῥυπαρία] μῶμος *BMQU om* (*V*) ‖ [21] μ.] μέλλετε ἡμῖν *Σ fort recte: cf quae seq* ‖ [22] ἐξομολογεῖσθε *BMQU* ‖ [23] συντάσσησθε (*B*)*Q* συντάσσεσθε *MUV* ‖ ἡμῶν *om Σ*

λαμβάνετε τὸ ἔνδυμα ἐκεῖνο ὅπερ ἐστὶν ἄφθαρτον εἰς τὸν αἰῶνα.

13 *Κατανυχθέντες δὲ ὑπὸ τοῦ ἁγίου πνεύματος ἔπεσον εἰς τοὺς πόδας αὐτοῦ παρακαλοῦντες καὶ λέγοντες· Ἀξιοῦμέν σε πάτερ, δὸς ἡμῖν τὸ ἔνδυμα ἐκεῖνο· ἡμεῖς γὰρ πιστεύομεν ᾧ κηρύττεις ζῶντι θεῷ καὶ ἀληθινῷ. Καταγαγὼν δὲ αὐτοὺς κάτω εἰς τὴν πηγὴν ἐβάπτισεν αὐτοὺς εἰς ὄνομα πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος· καὶ ἔγνωσαν ἑαυτοὺς ὅτι ἐνεδύσαντο δύναμιν καὶ στολὴν ἁγίαν. λαβὼν δὲ παρ' ἐμοῦ μίαν στολὴν ἐνέδυσεν τὸν ἕνα, καὶ ἐκ τῆς ἰδίας στολῆς ἐνέδυσε τὸν ἕτερον. προσήνεγκαν δὲ χρήματα αὐτῷ, καὶ εὐθέως διέδωκεν αὐτὰ Βαρνάβας τοῖς πτωχοῖς· ἀφ' ὧν καὶ οἱ ναῦται πολλὰ ἠδυνήθησαν κερδᾶναι.*

14 *Κατελθόντες δὲ ἐν τῷ αἰγιαλῷ, ἐλάλει αὐτοῖς τὸν λόγον τοῦ θεοῦ· καὶ εὐλογήσας αὐτοὺς ἠσπασάμεθα αὐτοὺς καὶ ἀνήχθημεν ἐν τῷ πλοίῳ. ὁ δὲ εἷς αὐτῶν, ὁ ἐπικληθεὶς Στέφανος, ἐβούλετο συνακολουθῆσαι ἡμῖν· καὶ οὐκ εἴασεν ὁ Βαρνάβας. διαπερασάντων δὲ ἡμῶν κατεπλεύσαμεν ἐν Κύπρῳ διὰ νυκτός, καὶ ἐλθόντες ἐν τῷ λεγομένῳ Κρομμυακίτῃ εὕρομεν Τίμωνα καὶ Ἀρίστωνα τοὺς ἱεροδούλους, πρὸς οὓς καὶ ἐξενίσθημεν.*

15 *Τίμων δὲ συνείχετο πυρετῷ πολλῷ· ᾧ καὶ ἐπιθέντες τὰς χεῖρας εὐθέως ἀπεστήσαμεν τὸν πυρετὸν αὐτοῦ, ἐπικαλεσάμενοι τὸ ὄνομα τοῦ κυρίου Ἰησοῦ. ἦν δὲ ὁ Βαρνάβας μαθήματα παρὰ | Ματθαίου εἰληφὼς βίβλον τῆς τοῦ θεοῦ φωνῆς καὶ θαυμάτων* 70 T *καὶ διδαγμάτων σύγγραμμα· ταύτην ἐπετίθει τοῖς ἀσθενοῦσι Βαρνάβας κατὰ τὴν ἀπαντῶσαν ἡμῖν χώραν, καὶ εὐθέως τῶν παθῶν ἴασιν ἐποίει.*

[5–6] *ἡμ. - ἀλ. om Σ* cumque illi sponderent se (*om n*) cuncta perficere (patrare *n*) *lat* ‖ [7–8] *εἰς τὸ ὄν. τοῦ π. κ. τοῦ υ. κ. τοῦ ἁγ. Σ: cf 302, 4* ‖ [8–9] *δύν.* (uirtutem *lat*) *καὶ] τὴν Σ* ‖ [9] *ἁγ.] τὴν ἁγ. BMQV* ‖ [11] *δὲ αὐτῷ τὰ (om Q) χρ. αὐτῶν Σ* ‖ [12] *τοῖς om Σ fort recte* ‖ [12–17] *ἀφ' - B. om lat* ‖ [14] *ἐλάλει] ἠσπασάμεθα (αὐτοὺς add V αὐτοῖς add U) καὶ ἐλαλήσαμεν (κ. ἐλ. om M αὐτοῖς add Q αὐτοὺς add BM) Σ* ‖ [15] *ηὐλογήσαμεν Σ* ‖ [15–16] *ἠσπασ. - πλοίῳ om Σ* ‖ [16] *εἷς] ἐξ add Σ* ‖ *κληθεὶς Σ* ‖ [17] *ὁ om BQUV* ‖ [18] *διὰ ν. om Σ lat* ‖ [19] *κ. ἐ. - Κρ.]* ibique *lat* ‖ *κρομυακιάτη BU(V) κρομυατιακὴ M κρομυάκι Q* ‖ *ηὕρομεν B(U)V: cf 294, 3* ‖ [22] *αὐτοῦ] ἀπ' αὐτοῦ Σ* ‖ [23] *ὄμα P* ‖ *τοῦ om BQU* ‖ *κυρ. om Σ* ‖ *Ἰ.] χριστοῦ M χριστοῦ add Q* ‖ [24] *βιβλίον P: cf 25* ‖ [24–25] *θ. κ. διδ.] ποιημάτων BQUV ποιήματα M* ‖ [25] *συγγράμματα P(M)* ‖ *ἐπιτιθεὶς πᾶσι τ. ἀσθενοῦσιν Σ* ‖ [26] *B.] ὁ β. Σ* ‖ *καὶ om Σ*

16 *Γενομένων δὲ ἡμῶν ἐν Λαπίθῳ, καὶ εἰδωλομανίας ἐπιτελουμένης ἐν τῷ θεάτρῳ, οὐκ εἴασαν ἡμᾶς εἰσελθεῖν ἐν τῇ πόλει, ἀλλὰ πρὸς τῇ πύλῃ ἀνεψύξαμεν μικρόν· Τίμων δὲ μετὰ τὸ ἀναστῆναι αὐτὸν ἐκ τῆς νόσου ἦλθεν σὺν ἡμῖν. ἐξελθόντες δὲ τῆς Λαπίθου διὰ τῶν ὀρέων ὡδεύσαμεν, καὶ ἤλθομεν εἰς πόλιν Λαμπαδιστοῦ, ὅθεν ὑπῆρχεν καὶ Τίμων· πρὸς ὃν εὑρόντες καὶ Ἡράκλειον ὄντα ἐκεῖ ἐξενίσθημεν παρ' αὐτῷ.*

17 *Οὗτος ἦν ἀπὸ τῆς Ταμασέων, ὃς ἐληλύθει ἐπισκέψασθαι τοὺς οἰκείους αὐτοῦ· πρὸς ὃν ἀτενίσας ὁ Βαρνάβας ἀνεγνώρισεν αὐτόν, πρώην ἐπὶ τῆς Κιτιέων συντυχίαν πεποιηκὼς μετὰ Παύλου πρὸς αὐτόν· ᾧ καὶ πνεῦμα ἅγιον ἐδόθη ἐπὶ τοῦ βαπτίσματος, μετωνόμασέν τε αὐτὸν Ἡρακλείδην. χειροτονήσαντές τε αὐτὸν ἐπίσκοπον τῇ Κύπρῳ καὶ ἐκκλησίαν ἐπιστηρίξαντες ἐν Ταμάσῳ κατελείψαμεν αὐτὸν εἰς κατοίκησιν τῶν ἐκεῖσε κατοικούντων ἀδελφῶν.*

18 *Ἡμῶν δὲ διελθόντων τὸ ὄρος τὸ καλούμενον Χιονῶδες, κατηντήσαμεν ἐν Παλαιᾷ Πάφῳ, κἀκεῖ εὑρόντες Ῥόδωνά τινα ἱερόδουλον, ὃς καὶ αὐτὸς πιστεύσας συνηκολούθησεν ἡμῖν. συνηντήσαμεν δέ τινι Ἰουδαίῳ ὀνόματι Βαριησοῦ ἐρχομένῳ ἀπὸ Πάφου, ὅστις καὶ ἐγνώρισεν Βαρνάβαν ὄντα πρώην μετὰ Παύλου· οὗτος |*
71 T *οὐκ εἴασεν ἡμᾶς εἰσελθεῖν ἐν Πάφῳ, ἀλλ' ὑποστρέψαντες ἤλθομεν ἐν τῷ Κουρίῳ.*

[18] cf act ap 13, 6

---

[1] *ἐν] τῇ πόλει add Σ ‖ λαπίθων BQV: cf 5 ‖* [2] *εἴασεν (M)(V?) | εἰσ. om M: cf 21 ‖* [4] *σὺν] ἅμα Σ ‖* [5] *διοδεύσαντες (om καὶ) Σ ‖ πόλ.] κώμην Σ ‖* [7] *ἡρακλέωνα (uel -έονα uel -εῶνα) Σ* (Eraclium *lat*)*: cf 8 | αὐτοῦ UV ‖* [8] *οὗτος] ἡρακλέων add P (fort uar lectio ad 7) ‖ ταμασίων BQUV μασίας M ‖ ὃς om Σ ‖ ἐλθὼν Σ ‖* [10] *κητιαίων P: cf 300, 4; 9 ‖* [11–12] *ἔδωκαν μετονομάσαντες αὐτὸν (om ἐ. τ. β. et τε) Σ ‖* [13] *ἐπίσκ.] εἰς ἐπίσκ. BQU: cf 299, 15 ‖ ἐπιστηρίσαντες BQUV ἐν σπηλαίω add Σ: recte?? (cf 299, 17; 301, 11; 18 et 299, 17 ἐν . . . ἐν 300, 19 μετὰ . . . μετὰ) ‖* [14] *ἐν T.] ὄντα μάσω P ‖* [14–15] *κατελ. - ἀδελφῶν] καὶ τοῖς ἐκεῖ (ἐκεῖσε Q) οὖσιν ἀδελφοῖς κατηχηθεῖσιν μετ' αὐτοῦ παρεθέμεθα αὐτῷ τὸν λόγον τοῦ θεοῦ (Σ) ‖* [14] *κατοίκ.] scr διοίκησιν?* commonitionem *lat c* communionem *n* | [16] *δι. δὲ ἡμ. BQUV διελθόντες M ‖* [17] *παλαιῶ P ‖ ηὕραμεν BUV εὕραμεν Q εὕρομεν M: cf 294, 3 ‖ τινα* (quendam uirum *lat*) *om P |* [18] *ὅστις Σ fort recte: cf 20; 293, 21; et 294, 4; 298, 8; 9; 11 ‖* [19] *ἰουδ. τινὶ Σ ‖ βαρισσοῦ BUV βαρισοῦ M* Bariaeum *lat ‖ ἀπὸ τῆς π. Σ: cf 21 ‖* [21] *εἴ.] ἠθέλησεν P* (prohibuit *lat*)*: cf 2; 293, 27; 297, 17; 299, 10; 22 ‖ εἰσ.* (introire *lat*) *om BQUV: cf 2; 299, 10 ‖ εἰς τὴν πάφον Σ: cf 19*

19 *Καὶ εὕρομεν δρόμον τινὰ μιερὸν ἐν τῇ ὁδῷ πλησίον τῆς πόλεως ἐπιτελούμενον, ἔνθα γυναικῶν τε καὶ ἀνδρῶν πλῆθος γυμνῶν ἐπετέλουν τὸν δρόμον· καὶ πολλὴ ἀπάτη καὶ πλάνη ἐγίνετο ἐν τῷ τόπῳ ἐκείνῳ. στραφεὶς δὲ ὁ Βαρνάβας τούτῳ ἐπετίμησεν, καὶ ἔπεσεν τὸ ἀπὸ δυσμῶν μέρος, ὥστε πολλοὺς τραυματίας γενέσθαι· πολλοὶ δὲ ἐξ αὐτῶν καὶ ἀπέθανον, οἱ δὲ λοιποὶ ἔφυγον εἰς τὸ ἱερὸν τοῦ Ἀπόλλωνος τὸ ὂν πλησίον ἐν τῇ καλουμένῃ Ἱερᾷ. ἐλθόντων δὲ ἡμῶν ἐγγὺς τοῦ Κουρίου, πολὺ πλῆθος Ἰουδαίων ὄντων ἐκεῖ ὑποβληθέντες ὑπὸ τοῦ Βαριησοῦ ἔστησαν ἔξω τῆς πόλεως καὶ οὐκ εἴασαν ἡμᾶς εἰσελθεῖν εἰς τὴν πόλιν, ἀλλ' ὑπὸ δένδρον τὸ ὂν πλησίον τῆς πόλεως ἐποιήσαμεν τὴν ἡμέραν καὶ ἀνεψύξαμεν ἐκεῖ.*

20 *Τῇ δὲ ἐπιούσῃ ἤλθομεν ἐν κώμῃ τινί, ἔνθα Ἀριστοκλιανὸς κατέμενεν· οὗτος λεπρὸς ὢν ἐκαθαρίσθη ἐν Ἀντιοχείᾳ, ὃν καὶ ἐσφράγισε Παῦλος καὶ Βαρνάβας εἰς ἐπίσκοπον, καὶ ἀπέστειλαν εἰς τὴν κώμην αὐτοῦ ἐν Κύπρῳ διὰ τὸ πολλοὺς Ἕλληνας ὑπάρχειν ἐκεῖ. ἐξενίσθημεν δὲ ἐν τῷ σπηλαίῳ πρὸς αὐτὸν ἐν τῷ ὄρει, κἀκεῖ ἐμείναμεν ἡμέραν μίαν. ἐκεῖθέν τε ἤλθομεν ἐν Ἀμαθοῦντι, καὶ πολὺ πλῆθος ἦν Ἑλλήνων ἐν τῷ ἱερῷ ἐν τῷ ὄρει ἀσέμνων γυναικῶν τε καὶ ἀνδρῶν σπενδόντων. προλαβὼν δὲ κἀκεῖ ὁ Βαριησοῦς συνεσκεύασεν τὸ ἔθνος τῶν Ἰουδαίων, καὶ οὐκ εἴασεν ἡμᾶς εἰσελθεῖν εἰς τὴν πόλιν, εἰ μὴ γυνή τις χήρα ὡς ἐτῶν ὀγδοήκοντα ἔξω τῆς πόλεως οὖσα, καὶ αὐτὴ τοῖς εἰδώλοις μὴ προσκυνοῦσα, προσσχοῦσα ἡμῖν ἐδέξατο ἡμᾶς ἐν τῷ οἴκῳ αὐτῆς μίαν | ὥραν. ἐξερχομένων δὲ ἡμῶν τὸν κονιορτὸν* 72 T

[25] cf Matth 10, 14

---

[1] *ηὕρομεν BUV: cf 294, 3* ‖ [1–2] *μιαρὸν ἐν τῷ ὄρει (fort recte: cf 11; 17; 19; 301, 18) ἐπιτ. πλ. τ. π. Σ* ‖ [3] *ἐπετέλει Σ: cf 10* ‖ [3–4] *κ. π. - ἐκ. om Σ* ‖ [4] *τούτω ὁ βαρν. ἐπιστραφεὶς (cf 293, 23) ἐπετ. (om δὲ) Σ* ‖ *ante στρ. aliquid intercidisse uidetur* ‖ *τούτῳ]* templum *lat: circum memorat Lipsius p 286* ‖ [5] *ἔπ.] κατέπεσεν (Σ): cf 293, 23* ‖ *ὥστε] καὶ Σ* ‖ [6] *γεν.] ἐποίησεν BQUV al M* ‖ [7] *ἐν τῶ ἱερῶ Σ* ‖ [7]–300,[14] *τὸ ὂν - αὐταῖς om lat* ‖ [7] *τῶ ὄντι Σ* ‖ [7–8] *ἐν τ. κ. Ἱ. om Σ* ‖ [8] *ἐγγ.] πλησίον Σ* ‖ *κουρεῖον M (cf 298, 22) ἱεροῦ P: cf 9 ἐκεῖ* ‖ [9] *ὄντων] ὂν (Σ): ⟨τῶν⟩ ὄντων? cf 11* ‖ *ὑποβληθὲν Σ* ‖ [10] *βαρισσοῦ BUV βαρισοῦ M* ‖ *ἔστη BQUV om M: cf 3* ‖ *εἴασεν (M)V* ‖ [11] *ὑπὸ] τὸ add Σ: ὑπό ⟨τι⟩?* ‖ *ὂν] ἐν τῶ ὄρει add Σ fort recte: cf 1* ‖ [12] *ἑσπέραν Σ* ‖ [15] *ἐσφράγισαν BQUV* ‖ [16] *ἐν τῇ κώμῃ Σ* ‖ [18] *τε] δὲ QUV οὖν B(?): cf 296, 14* ‖ [19] *ἐν τῷ ἱερῷ om P: cf 300, 1; 298, 13* ‖ [20–21] *πρ. δὲ κ.] κακεῖ προσελθὼν οὖν (Σ)* ‖ [21] *βαρισσοῦς V βαρισοῦς MU et sic fere constanter* ‖ [23] *ἔ. τ. π. ο. om Σ* ‖ [24] *προσέχουσα P (προσχοῦσα Σ: cf II 1 praef p IX)* ‖ *ἡμῖν om Σ*

τῶν ποδῶν ἐξετινάξαμεν κατέναντι τοῦ ἱεροῦ ἐκείνου ἔνθα ἡ σπονδὴ τῶν ἱερέων ἐγίνετο.

21 Ἐκεῖθέν τε ἐξελθόντες ἤλθομεν διὰ τῶν ἐρήμων τόπων· ἠκολούθει δὲ ἡμῖν καὶ Τίμων. καὶ ἐλθόντων ἡμῶν εἰς Κιτιεῖς, πολλοῦ θορύβου γενομένου κἀκεῖ ἐν τῷ ἱπποδρομίῳ αὐτῶν, μαθόντες ἐξήλθομεν τὴν πόλιν, ἐκτιναξάμενοι τὸν κονιορτὸν τῶν ποδῶν ἡμῶν ἅπαντες· οὐδεὶς γὰρ ἡμᾶς ἐδέξατο, εἰ μὴ ἐν τῇ πύλῃ μίαν ὥραν ἀνεψύξαμεν πλησίον τοῦ ὑδραγωγίου.

22 Ἀναχθέντων δὲ ἡμῶν ἐν πλοίῳ ἀπὸ τῆς Κιτιέων, ἤλθομεν ἐπὶ Σαλαμίνῃ, καὶ κατήχθημεν ἐν ταῖς λεγομέναις Νήσοις, ἔνθα κατείδωλος ὁ τόπος ὑπῆρχεν· κἀκεῖ γὰρ πανηγύρεις καὶ σπονδαὶ ἐγίνοντο. εὑρόντες δὲ κἀκεῖ πάλιν Ἡρακλείδην, ἐδιδάξαμεν αὐτὸν πῶς κηρύσσειν τὸ τοῦ θεοῦ εὐαγγέλιον καὶ καθιστάναι ἐκκλησίας καὶ λειτουργοὺς ἐν αὐταῖς. εἰσελθόντων δὲ ἡμῶν ἐν Σαλαμίνῃ, κατηντήσαμεν εἰς τὴν συναγωγὴν τὴν πλησίον τῆς ἐπιλεγομένης Βιβλίας· κἀκεῖ εἰσελθόντων ἡμῶν ἀναπτύξας ὁ Βαρνάβας τὸ εὐαγγέλιον ὅπερ ἦν λαβὼν παρὰ Ματθαίου τοῦ συνεργοῦ ἤρξατο διδάσκειν τοὺς Ἰουδαίους.

23 Καταντήσαντος δὲ τοῦ Βαριησοῦ μετὰ δύο ἡμέρας μετὰ τὸ κατηχῆσαι Ἰουδαίους οὐκ ὀλίγους, θυμωθεὶς συνῆξε πᾶν τὸ πλῆθος τῶν Ἰουδαίων, καὶ κατασχόντες τὸν Βαρνάβαν ἐζήτησαν παραδοῦναι Ὑπάτῳ τῷ ἡγεμόνι τῆς Σαλαμίνης. καὶ δήσαντες αὐτὸν πρὸς τὸ ἀγαγεῖν πρὸς τὸν ἡγεμόνα, εὐσεβοῦς δὲ Ἰεβου-

[6] cf Matth 10, 14

---

[1] ἐξετ.] *βαρνάβας ἐξετίναξεν* (Σ)*: cf 6* ‖ [2] *μιαρῶν* Σ *μιερῶν Tischendorf recte ut uid: cf 299, 1 et 20* ‖ [3] τε] δὲ *MQUV: cf 296, 14* ‖ [4] *ἡμ. κ. T.] κ. τ. ἡμᾶς M κ. τ. μεθ' ἡμῶν BQUV* ‖ [5] *ἱπποδρομείω* (*P cf 301, 3*) *δρομίω* Σ ‖ [6] *παρήλθομεν* Σ ‖ [8] *scr ὑδραγωγείου?* ‖ [9] *τῆς] τῶν PMU: cf 4; 298, 8* ‖ [10] *σαλαμίνα B(M)UV σαλαμίναν Q: scr Σαλαμῖνι?* (*cf 15*) *an Σαλαμῖνα?* (*cf 293, 26; 294, 18; 301, 3*) *an Σαλαμίνην? cf 22* ‖ [11] *post ἔνθα fort aliquid intercidit* ‖ *καὶ ἐκεῖ* (Σ) ‖ [12] *κἀκ. πάλ. εὑρ.* (*om δὲ*) (Σ) ‖ [13] *πῶς] πῶς δεῖ MQU πῶς δὴ B σπουδῇ V del Tischendorf: recte??* ‖ *χριστοῦ* Σ ‖ *καὶ καθ.] καθιστᾶν τε V καθιστάντες BU καθιστᾶν ταῖς Q καθιστῶντες M* ‖ [14] *ἐκκλησίαις Q* ‖ [15] *σαλαμῆνα BV: scr Σαλαμῖνι? cf 10* ‖ [16] *Βυβλίας Vsener Venerem intellegens* ‖ [17—18] *τ. συν. om* Σ *καὶ* (*eras*) *add V* ‖ [20] *κατηχηθῆναι* Σ ‖ *ὀλ.] ὑπὸ βαρνάβα add* Σ ‖ *θυμ.] ὁ βαριησοῦς* (*βαριησσοῦς B βαρισσοῦς V βαρισοῦς M βαρσιησοῦς Q*) *add* Σ ‖ [21—22] *ἐζήτ. κατασχεῖν τ. βαρν. καὶ παραδ.* (Σ) ‖ [22] *Ὑ. τ. ἡγ.]* consuli *lat Ὑπατίῳ τ. ἡγ. Papebrochius τῷ ὑπάτῳ* [*τῷ ἡγεμόνι*] *suspicatur Lipsius II, 2 p 284 probabiliter* ‖ *δήσ.] ὡς ἔδησαν* Σ ‖ [23] *ἀπαγαγεῖν BQUV* (*cf 293, 23*) *αὐτὸν add QU* ‖ *εὐσ.]* quidam uir magnus et praepotens nomine Eusebius *lat: scr Εὐσεβίου? idem coniecit Papebrochius* ‖ *δὲ om* Σ ‖ *ἰεβουσσαίου* (*-έου V*) *QV ἰεβουσαίου B ἰεβοσαίου U*

σαίου συγγενοῦς Νέρωνος καταντήσαντος ἐν Κύπρῳ, μαθόντες
οἱ | Ἰουδαῖοι λαβόντες τὸν Βαρνάβαν νυκτὸς ἔδησαν ἐν σχοινίῳ 73 T
κατὰ τοῦ τραχήλου, καὶ σύραντες ἐπὶ τὸ ἱπποδρόμιον ἀπὸ τῆς συναγωγῆς καὶ περάσαντες ἔξω τῆς πύλης περιστάντες κατέκαυσαν αὐτὸν πυρί, ὥστε καὶ τὰ ὀστᾶ αὐτοῦ κονίαν γενέσθαι. εὐθέως δὲ αὐτῇ τῇ νυκτὶ λαβόντες τὴν κονίαν αὐτοῦ ἔβαλον ἐν σινδόνι, καὶ ἐν μολίβδῳ ἀσφαλισάμενοι ἐσκέπτοντο κατὰ τοῦ πελάγους ῥῖψαι αὐτόν.

24 Ἐγὼ δὲ εὑρὼν καιρὸν τῆς νυκτός, καὶ τοῦτον μετὰ Τίμωνος καὶ Ῥόδωνος βαστάσαι δυνηθείς, ἤλθομεν ἐν τόπῳ τινί, καὶ εὑρόντες σπήλαιον κατηγάγομεν αὐτὸν ἐκεῖ, ἔνθα τὸ ἔθνος τῶν Ἰεβουσαίων τὸ πρὶν κατῴκει· ἀποκεκρυμμένον δὲ τόπον εὑρόντες ἐν αὐτῷ ἀπεθέμεθα σὺν τοῖς μαθήμασιν οἷς παρέλαβεν παρὰ Ματθαίου. ἦν δὲ ὥρα τετάρτη τῆς νυκτὸς δευτέρας σαββάτων.

25 Ὡς δὲ ἐκρύβημεν ἐν τῷ τόπῳ, ζήτησιν οὐκ ὀλίγην ἐποιήσαντο οἱ Ἰουδαῖοι καθ' ἡμῶν, καὶ μόλις εὑρόντες κατεδίωξαν ἕως τῆς κώμης Λεδρῶν· καὶ εὑρόντες κἀκεῖ σπήλαιον πλησίον τῆς κώμης κατεφύγομεν ἐν αὐτῷ, καὶ οὕτως διελάθομεν αὐτούς. ἀπεκρύβημεν δὲ ἐν τῷ σπηλαίῳ τρεῖς ἡμέρας, καὶ ἀναχωρησάντων τῶν Ἰουδαίων ἐξελθόντες κατελείψαμεν τὸν τόπον νυκτός. προσλαβόμενοι δὲ Ἀρίστωνα καὶ Ῥόδωνα ἤλθομεν ἐν κώμῃ Λιμνῆτι.

26 Ἐλθόντες δὲ ἐπὶ τὸν αἰγιαλὸν εὕρομεν πλοῖον Αἰγύπτιον, καὶ ἀνελθόντες εἰς αὐτὸ κατήχθημεν ἐν Ἀλεξανδρείᾳ. κἀκεῖ

---

[3] *ἱπποδρομεῖον P: cf 300, 5* ‖ [4] *περιστ. om Σ* circumdantes *lat* ‖ [5]–302,[7] *ὥστε - αὐτοῦ*] sicque beato fine Christi testis perrexit ad dominum *lat n* ‖ [6] *τῇ αὐτῇ Σ* ‖ [7] *ἐσκέψαντο Σ* ‖ [9] *ἐγὼ - νυκτός*] *εὑρ. δὲ καιρ. τ. ν. ἐγὼ ἰωάννης ὁ καὶ μετονομασθεὶς μάρκος Σ* interim ego praefatus Iohannes qui et Marcus *lat c* ‖ [11] *καὶ - ἐκεῖ post κατῴκει (12) ponend?* ‖ [12] *ἰεβουσσαίων QV ἐβουσαίων M* ‖ [13] *σὺν*] *ἅμα Σ* ‖ [14] *δευτέρα Σ* ‖ [15] *σαββάτω BUV σαββάτου MQ μηνὶ παυνὶ ιζ' (εἰς τὰς δεκαέπτὰ U om V) κατ' αἰγυπτίους (ἑπτακαιδεκάτη add V) τῆς δὲ γενεᾶς ἔτους δωδεκάτου (ιβ' V* centesimo secundo *Sirletus, cf Papebrochius p 421, inepte uterque: ipse frustra quaesiui*) *κατὰ δὲ ῥωμαίους μηνὶ ἰουνίω ια' (δεκάτη πρώτη M εἰς τὰς ἕνδεκα U) add Σ* tertio idus iunias hoc est undecima die ipsius mensis *add lat c* ‖ [16]–302,[7] *ὡς - αὐτοῦ*] *de lat c cf Lipsius p 279* ‖ [16] *τῷ om Σ* ‖ *ἐποίησαν Σ* ‖ [17] *κατεδ.*] *ἡμᾶς add Σ* ‖ [18] *σπήλ.*] *ἐν τῷ ὄρει add Σ: cf 299, 1; 11* ‖ [19] *κώμ.*] *ἀνελθόντες add Σ* ‖ *διελ. αὐτ.*] *διειλήθησαν εἰς ἡμᾶς BQV δὲ (om M) ἔλιθασαν ἡμᾶς MU* ‖ [20] *ἡμ. τρ. Σ* ‖ [21] *νυκτός om Σ* ‖ [22–23] *προσλ. - Λιμν. om P* ‖ [24] *ἐλθ. - εὕρ.*] *εὑρόντες Σ δὲ (Σ)* ‖ [25] *καὶ om Σ* ‖ *ἀνήλθομεν ἐν αὐτῷ καὶ πλεύσαντες κατήχθ. Σ*

ἔμεινα ἐγὼ διδάσκων τοὺς ἐρχομένους ἀδελφοὺς τὸν λόγον τοῦ
74 T κυ|ρίου, φωτίζων αὐτοὺς καὶ εὐαγγελιζόμενος ἅπερ ἐδιδάχθην παρὰ τῶν ἀποστόλων τοῦ Χριστοῦ, τῶν καὶ βαπτισάντων με εἰς ὄνομα πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος, τῶν καὶ μετονομασάντων με Μᾶρκον ἐν τῷ ὕδατι τοῦ βαπτίσματος, ἐν ᾧ καὶ ἐλπίζω προσενέγκαι πολλοὺς εἰς τὴν δόξαν τοῦ θεοῦ διὰ τῆς χάριτος αὐτοῦ· ὅτι αὐτῷ πρέπει τιμὴ καὶ δόξα αἰώνιος. ἀμήν.

---

1 ἐγὼ om Σ ‖ ἐρχ.] προσφεύγοντας Σ ‖ 2 κυρ.] θεοῦ BV ‖ 3 παρὰ] ὑπὸ Σ: cf 293, 9; 19 ‖ 4 εἰς τὸ ὄν. τοῦ π. κ. τοῦ υ. κ. τοῦ ἁγ. Σ: cf 297, 7 ‖ 6 καὶ om Σ ‖ θεοῦ] κυρίου BQUV χριστοῦ M ‖ 7 ὅτι om BMUV ‖ πρ. τ. καὶ] ἡ Σ ‖ αἰ.] εἰς τοὺς αἰῶνας Σ τῶν αἰώνων add MQV ‖ 8 ἀμήν] περίοδοι καὶ μαρτύριον τοῦ ἁγίου ἀποστόλου βαρνάβα πέπληστai διὰ θεοῦ add P

INDEX LOCORVM

INDEX GRAECVS

Numeri sunt paginarum et uersuum. numeris inclinatis significantur res et uerba in imis paginis adnotata. de reliquis cf praef.

INDEX LATINVS

INDEX LIBRORVM MANV SCRIPTORVM

I. CODICES GRAECI

II. CODICES LATINI